ΒΑΡΣΑΝΟΥΦΙΟΥ ΚΑΙ ΙΩΑΝΝΟΥ

ΕΡΩΤΑΠΟΚΡΙΣΕΙΣ
(ΦΚΓ' – ΩΜΑ')

ΕΙΣΑΓΩΓΗ

ΚΕΙΜΕΝΟ – ΜΕΤΑΦΡΑΣΗ – ΣΧΟΛΙΑ

'Από τήν

ΖΑΧΑΡΙΑΔΟΥ ΣΤΑΥΡΟΥΛΑ

Θεολόγο

Φ Ι Λ Ο Κ Α Λ Ι Α
Τ Ω Ν
ΝΗΠΤΙΚΩΝ ΚΑΙ ΑΣΚΗΤΙΚΩΝ
10Γ

Ἐπόπτης Ἐκδόσεως

ΠΑΝΑΓΙΩΤΗΣ Κ. ΧΡΗΣΤΟΥ, Καθηγητὴς Πανεπιστημίου

Ἐπιμελητὴς Ἐκδόσεως

ΕΛΕΥΘΕΡΙΟΣ Γ. ΜΕΡΕΤΑΚΗΣ, Πτυχιοῦχος Θεολογίας

Ε Π Ε

ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ

«ΤΟ ΒΥΖΑΝΤΙΟΝ»

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»

ΘΕΣΣΑΛΟΝΙΚΗ 1989

ΕΡΩΤΑΠΟΚΡΙΣΕΙΣ

ΦΚΓ' – ΩΜΑ'

ΦΚΓ'

Ἐρώτησις

Ἐὰν κακοεκτῇ τις πρὸς τὸ σύνηθες βρῶμα, τί δεῖ αὐτὸν ποιῆσαι;

Ἀπόκρισις

Εἰς τὴν κακοεξίαν, ἔστιν ὅτε δύναταί τις ἀναγκάσαι μικρὸν τὸν λογισμόν, ἐὰν δὲ οὐ δύναται, συγκαταβῇ ὀλίγον· ἀσθένεια γάρ ἐστι καὶ αὕτη.

Σπούδασον, ἀδελφέ, μὴ εἰς λήθην βαλεῖν ταῦτα· καὶ πιστεύω εὐχαῖς ἁγίαις ὅτι εὑρίσῃ ὑπὸ Θεοῦ βοηθούμενος καὶ σῳζόμενος.

ΦΚΔ'

Ἐρώτησις

Συγχώρησόν μοι, κύριε ἀββᾶ, ἐπειδὴ οἱ πατέρες λέγουσι καταφρονεῖν τοῦ σώματος καὶ πάλιν λέγουσι τῇ διακρίσει κυβερνᾶν τὸ σῶμα, παρακαλῶ μαθεῖν τὴν τούτων διαφοράν.

Ἀπόκρισις

Περὶ ὧν ἠρώτησας ὁ Ἀπόστολος λέγει τὴν διαφορὰν τῶν ἀμφοτέρων, ἐν τῷ λέγειν αὐτὸν «τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίαν»· καὶ πάλιν ὁ αὐτὸς λέγει· «οὐδεὶς γὰρ τὴν ἑαυτοῦ σάρκα ἐμίσησε, ἀλλ' ἐκτρέφει καὶ θάλπει αὐτήν». Ἐὰν οὖν ἴδῃς ἐργαζομένην τὴν ἡδονήν, τότε καταφρόνησον τοῦ σώματος· ἐὰν δὲ ἴδῃς κεκαμμένον καὶ τεταλαιπωρημένον τὸ σῶμα, τότε θάλψον καὶ ἔκτρεφε ἐν φόβῳ Θεοῦ, ἵνα ὑπουργήσῃ σοι εἰς τὴν πνευματικὴν λειτουργίαν.

523

Ἐρώτησις

Ἐὰν κανεὶς συχαίνεται τὴ συνηθισμένη τροφή, τί πρέπει νὰ κάνει;

Ἀπόκριση

Στὴν περίπτωση τῆς συχαμάρας μπορεῖ κανεὶς ν' ἀναγκάσει λίγο τὸ λογισμό· ἐὰν ὅμως δὲν μπορεῖ, νὰ δείξει λίγη συγκατάβαση· διότι εἶναι ἀσθένεια καὶ αὐτή.

Φρόντισε, ἀδελφέ, νὰ μὴ τὰ ξεχάσεις αὐτά· καὶ πιστεύω ὅτι μὲ τὶς εὐχὲς τῶν ἁγίων θὰ τὰ διακρίνεις καλά, βοηθούμενος καὶ σωζόμενος ἀπὸ τὸν Θεό.

524

Ἐρώτηση

Συγχώρεσέ με, κύριε ἀββᾶ, ἐπειδὴ οἱ πατέρες λένε νὰ περιφρονεῖ κανεὶς τὸ σῶμα, καὶ πάλι λένε νὰ κυβερνᾶ μὲ διάκριση τὸ σῶμα, παρακαλῶ νὰ μάθω τὴ διαφορὰ αὐτῶν.

Ἀπόκριση

Γιὰ ὅσα ἐρώτησες ὁ Ἀπόστολος λέγει τὴ διαφορὰ αὐτῶν τῶν δύο μὲ αὐτὰ ποὺ λέγει· «νὰ μὴ προνοεῖτε γιὰ τὴ σάρκα ἀπὸ ἐπιθυμία»[1]· καὶ πάλι ὁ ἴδιος λέγει· «διότι κανεὶς δὲν μίσησε τὴ σάρκα του, ἀλλὰ τὴν τρέφει καὶ τὴν θάλπει»[2]. Ἐὰν λοιπὸν δεῖς νὰ δουλεύει ἡ ἡδονή, τότε περιφρόνησε τὸ σῶμα· ἐὰν ὅμως δεῖς κουρασμένο καὶ ταλαιπωρημένο τὸ σῶμα, τότε περίθαλψέ το καὶ τρέφε το μὲ φόβο Θεοῦ, γιὰ νὰ σὲ βοηθήσει στὴν πνευματικὴ λειτουργία.

1. Ρωμ. 13,14. 2. Ἐφ. 5,29.

ΦΚΕ'

Ἐρώτησις

Ἐπειδὴ εἴπατε, ὅτι δεῖ τὸ κεκαμμένον σῶμα θάλπειν διὰ διαίτης, ἆρα δεῖ παραιτεῖσθαι τὰ βλάπτοντα ἢ οὔ;

Ἀπόκρισις

Ἐὰν εὐεκτήσῃ ὁ ἄνθρωπος ἀπὸ τῶν βλαπτόντων αὐτὸν βρωμάτων οὐκ ἔστι τοῦτο ἁμαρτία, ἐὰν δὲ λάβῃ εἴ τι ἔρχεται, καταφρονῶν τῆς βλάβης τοῦ σώματος διὰ τὸν Θεόν, μείζων ἐκείνου ἐστί, ἐὰν μὴ κλαπῇ διὰ τῆς θύρας, ἤγουν τῆς ὑψηλοφροσύνης· ὀφείλει δὲ παραφυλάττεσθαι, τὸ μὴ κατὰ πάθος λαβεῖν. Τοῦτο γὰρ ἥττημά ἐστι καὶ βλάπτει μᾶλλον ἢ ὠφελεῖ· ὑγεία δὲ καὶ τὸ πάθος ἐκ τοῦ Θεοῦ ἐστι τοῦ εἰπόντος· «ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω· πατάξω, κἀγὼ ἰάσομαι καὶ οὐκ ἔστιν ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν μου». Ὅτε οὖν θέλει ὁ Θεὸς οἰκονομεῖ τὴν ὑγείαν διὰ τοῦ ἰατροῦ καὶ ὅτε θέλει διὰ λόγου, τὸ δὲ χρονίσαι τὸ πάθος ἢ μὴ χρονίσαι τοῦτο τῆς προγνώσεως τοῦ Θεοῦ ἐστι. Οἱ οὖν τελείως ἀφέντες τῷ Θεῷ, ἀμεριμνοῦσι, καὶ αὐτὸς ὡς θέλει καὶ ὡς συμφέρει ποιεῖ. Ἕκαστος οὖν ὡς δύναται, μᾶλλον δὲ ὡς ἔχει πίστιν, χρήσεται.

ΦΚS'

Ἐρώτησις

Τί ἐστι τὸ 'ὡς ἔχειν πίστιν'; Σαφήνισόν μοι αὐτό.

525

Ἐρώτηση

Ἐπειδὴ εἴπατε, ὅτι πρέπει νὰ θάλπομε τὸ κουρασμένο σῶμα μὲ δίαιτα, ἄραγε πρέπει ν' ἀποφεύγομε ἐκεῖνα ποὺ τὸ βλάπτουν ἢ ὄχι;

Ἀπόκριση

Αν γίνει εὐτραφὴς ὁ ἄνθρωπος ἀπὸ τὶς τροφὲς ποὺ τὸν βλάπτουν, αὐτὸ δὲν εἶναι ἁμαρτία· ἐὰν ὅμως λάβει ὅ,τι ἔρχεται, περιφρονώντας τὴ βλάβη τοῦ σώματος γιὰ τὸν Θεό, αὐτὸ εἶναι μεγαλύτερο ἀπὸ ἐκεῖνο, ἐὰν δὲν κλαπεῖ ἀπὸ τὴ θύρα, δηλαδὴ τὴν ὑψηλοφροσύνη· ὀφείλει ὅμως νὰ φυλάγεται, ὥστε νὰ μὴ λάβει ἀπὸ πάθος. Διότι αὐτὸ εἶναι ἧττα καὶ βλάπτει μᾶλλον παρὰ ὠφελεῖ· ἡ ὑγεία ὅμως καὶ τὸ πάθος ἐξαρτῶνται ἀπὸ τὸν Θεὸ ποὺ εἶπε, «ἐγὼ θὰ τὸν σκοτώσω καὶ θὰ τὸν ἐπαναφέρω στὴ ζωή· θὰ τὸν χτυπήσω καὶ ἐγὼ θὰ τὸν γιατρέψω καὶ δὲν ὑπάρχει κανένας ποὺ θὰ τὸν ἁρπάξει ἀπὸ τὰ χέρια μου»[3]. Ὅταν λοιπὸν θέλει ὁ Θεὸς οἰκονομεῖ τὴν ὑγεία μὲ τὸν γιατρὸ καὶ ὅταν θέλει τὴν οἰκονομεῖ μὲ τὸ λόγο· τὸ ἂν θὰ χρονίσει ὅμως τὸ πάθος ἢ ἂν δὲν χρονίσει, αὐτὸ εἶναι τῆς προγνώσεως τοῦ Θεοῦ. Ἐκεῖνοι λοιπὸν ποὺ ἀφέθηκαν ἐντελῶς στὸν Θεό, ἀμεριμνοῦν, καὶ αὐτὸς ἐνεργεῖ ὅπως θέλει καὶ ὅπως συμφέρει· ὁ καθένας λοιπὸν ἂς κάνει ὅπως μορεῖ, ἢ μᾶλλον 'ὅπως πιστεύει'.

526

Ἐρώτηση

Τί σημαίνει τὸ 'ὅπως πιστεύει'; Διασαφήνισέ μού το αὐτό.

---

3. Δευτ. 32,39.

Ἀπόκρισις

Εἰ ὁ Θεὸς ἡγίασε τὰ πάντα καὶ ἐκαθάρισεν εἰς μετάληψιν τῶν πιστῶν, μετὰ εὐχαριστίας ὀφείλει τις λαμβάνειν ἀπὸ τῶν εὑρισκομένων, μηδὲν διακρινόμενος. Τὰ γὰρ ἅγια καὶ καθαρά τινα οὐ βλάπτουσι, εἰμὴ ἡ συνείδησις αὐτοῦ καὶ ἡ ὑποψία, ἐν τῷ νομίζειν ὅτι βλάπτεται· εὑρίσκεται γὰρ διακρινόμενος τῇ πίστει καὶ διὰ τοῦτο πλεονάζει ἐν αὐτῷ τὸ πάθος. Ἐὰν οὖν πιστεύσῃ εἰς τὸν ἐλθόντα καὶ θεραπεύοντα πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ, δυνατός ἐστιν οὐ μόνον τὰ σωματικὰ πάθη ἰάσασθαι, ἀλλὰ καὶ τὰ τοῦ ἔσω ἀνθρώπου· ἐὰν δὲ διακριθῇ, τότε παραιτήσεται τὰ βλάπτοντα, καταγινώσκων ἑαυτοῦ, ὅτι οὐκ ἠδυνήθη βαστάσαι, ἀλλ' ἡττήθη τῷ λογισμῷ καὶ βεβαίαν οὐχ εὑρέθη ἔχων πίστιν· καὶ οὕτω δὲ φυλάξεται τὸ μὴ κατὰ πάθος λαβεῖν, ἐπεὶ βλάπτεται τὴν ψυχὴν καὶ τὸ σῶμα.

ΦΚΖ'

Ἐρώτησις

Ἐὰν πιστεύσῃ τις ὅτι οὐ βλάπτεται, αἰσθανθῇ δὲ ἑαυτὸν ὀδυνώμενον ὑπὸ τοῦ πάθους, τί ὀφείλει λογίσασθαι, ἵνα μὴ εἰς ἀπιστίαν ἐμπέσῃ;

Ἀπόκρισις

Ἐὰν πίστει φάγῃ, μείνῃ δὲ ὀδύνη, μὴ διακριθῇ· εἰδὼς γὰρ ὁ Θεός, ὅτι ἡ ὀδύνη αὕτη ἀπαλλάττει αὐτὸν πολλῶν τῆς ψυχῆς παθῶν, ἀφῆκεν αὐτὸν ἐν τῷ πάθει· ἐκεῖ οὖν μνημονεύσει τοῦ Ἀποστόλου λέγοντος· «ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι»· καὶ μὴ νομίσῃ τοῦτο αὐτῷ γενέθαι ἐκ τῶν δοκούντων βλάπτειν βρωμάτων, ἀλλὰ συγχώρησις Θεοῦ ἐστι. Κἂν γὰρ μεταλάβῃ τῶν νομιζομένων καλῶν καὶ ὠφελίμων, οὐδὲν δύναται ὠφελῆσαι αὐτόν, δίχα τῆς κελεύσεως τοῦ Θεοῦ.

4. Β' Κορ. 12,10.

Ἀπόκριση

Ὁ Θεὸς ἁγίασε τὰ πάντα καὶ τὰ καθάρισε γιὰ μετάληψη τῶν πιστῶν, καὶ ἑπομένως ὀφείλει κανεὶς νὰ λαμβάνει ἀπὸ τὰ εὑρισκόμενα μὲ εὐχαριστία χωρὶς νὰ κάνει καμμιὰ διάκριση. Διότι τὰ ἅγια καὶ καθαρὰ πράγματα δὲν τὸν βλάπτουν, ἀλλὰ ἡ συνείδησή του καὶ ἡ ὑποψία μὲ τὸ νὰ νομίζει ὅτι βλάπτεται· διότι κάνει διάκριση ὡς πρὸς τὴν πίστη καὶ γι' αὐτὸ πλεονάζει σ' αὐτὸν τὸ πάθος. Ἐὰν λοιπὸν πιστέψει σ' Ἐκεῖνον ποὺ ἦρθε καὶ θεράπευσε κάθε νόσο καὶ κάθε χαυνότητα στὸ λαό, εἶναι δυνατὸς νὰ γιατρέψει ὄχι μόνο τὰ σωματικὰ πάθη, ἀλλὰ καὶ τὰ πάθη τοῦ ἐσωτερικοῦ ἀνθρώπου· ἐὰν ὅμως κάνει διάκριση, τότε θ' ἀφήσει τὰ βλαβερά, κατακρίνοντας τὸν ἑαυτό του, διότι δὲν μπόρεσε νὰ βαστάξει, ἀλλὰ νικήθηκε ἀπὸ τὸν λογισμὸ καὶ δὲ βρέθηκε νὰ ἔχει βέβαιη πίστη. Ἔτσι λοιπὸν θὰ φυλαχθεῖ νὰ μὴ πάρει ἀπὸ πάθος, ἐπειδὴ βλάπτεται στὴν ψυχὴ καὶ τὸ σῶμα.

527

Ἐρώτηση

Ἐὰν κανεὶς πιστέψει ὅτι δὲν βλάπτεται, αἰσθανθεῖ ὅμως νὰ πονᾶ ἀπὸ τὸ πάθος, τί πρέπει νὰ σκεφθεῖ, γιὰ νὰ μὴ πέσει σὲ ἀπιστία;

Ἀπόκριση

Ἐὰν φάγει μὲ πίστη, μείνει ὅμως ἡ ὀδύνη, νὰ μὴ διακριθεῖ· διότι ὁ Θεός, γνωρίζοντας ὅτι αὐτὴ ἡ ὀδύνη τὸν ἀπαλλάσσει ἀπὸ πολλὰ πάθη τῆς ψυχῆς, τὸν ἄφησε στὸ πάθος· ἐκεῖ λοιπὸν θὰ θυμηθεῖ τὸν Ἀπόστολο ποὺ λέγει· «ὅταν ἀσθενῶ, τότε εἶμαι δυνατός»[4]· καὶ νὰ μὴ νομίσει ὅτι αὐτὸ τοῦ συνέβηκε ἀπὸ τὶς τροφὲς ποὺ φαίνονται ὅτι βλάπτουν, ἀλλ' εἶναι παραχώρηση τοῦ Θεοῦ. Διότι, καὶ ἂν ἀκόμη φάγει ἀπὸ αὐτὲς ποὺ θεωροῦνται καλὲς καὶ ὠφέλιμες, δὲν μπορεῖ νὰ ὠφεληθεῖ καθόλου χωρὶς τὴν ἐντολὴ τοῦ Θεοῦ.

ΦΚΗ'

Ἐρώτησις

Εἰ πίστεως χρεία ἐστί πῶς εἶπεν ὁ ἀββᾶς Ἡσαΐας, ὅτι "Ἐὰν εἰσέλθῃ βρῶμα εἰς τράπεζαν καὶ βλάπτῃ σε, βίασαι σεαυτὸν φαγεῖν αὐτό'; πίστεως γὰρ προκειμένης ἐβλάπτετο.

Ἀπόκρισις

Σχολαστικῷ τινι εἶπεν ὁ ἀββᾶς Ἡσαΐας ὑγιαίνοντι τὸ σῶμα καὶ δυναμένῳ λαβεῖν ἐκ τῶν εὑρισκομένων, ἵνα κόψῃ τὸ θέλημα αὐτοῦ.

Ὁ Κύριος ἐλεήσοι σε, τέκνον, καὶ ἐνδυναμώσοι σε.

ΦΚΘ'

Ἐρώτησις

Εἰπέ μοι, πάτερ, οἱ ἐν τῇ ἀρρωστίᾳ τῶν φαρμάκων καὶ τῶν βρωμάτων καταφρονήσαντες, ἆρα εἰς μέτρον εἰσὶ τελειότητος;

Ἀπόκρισις

Οἱ καταφρονήσαντες τῶν φαρμάκων καὶ τῶν βρωμάτων, εἰς μέτρον ἔφθασαν πίστεως, ἀλλ' οὐ τελειότητος.

ΦΛ'

Ἐρώτησις

Ἐὰν μὴ ἔχῃ τις τοιαύτην πίστιν, ἆρα ὀφείλει ἐπιτηδεύειν βρώματα ὠφελοῦντα τὴν ἀσθένειαν, ἢ μόνον τὰ βλάπτον-

528

Ἐρώτηση

Ἐὰν εἶναι ἀνάγκη πίστεως, πῶς ὁ ἀββᾶς Ἡσαΐας εἶπε, "Ἐὰν τοποθετηθεῖ στὸ τραπέζι τροφὴ καὶ σὲ βλάπτει, βίασε τὸν ἑαυτό σου νὰ τὴ φάγεις'; Διότι βλαπτόταν, ἀφοῦ ὑπῆρχε πίστη.

Ἀπόκριση

Ὁ ἀββᾶς Ἡσαΐας τὸ εἶπε σὲ κάποιον σχολαστικὸ ποὺ ἦταν ὑγιὴς στὸ σῶμα καὶ μποροῦσε νὰ πάρει ἀπὸ τὶς εὑρισκόμενες τροφές, γιὰ νὰ κόψει τὸ θέλημά του. Εἴθε νὰ σὲ ἐλεήσει, τέκνο μου, ὁ Κύριος καὶ νὰ σὲ ἐνδυναμώσει.

529

Ἐρώτηση

Πές μου, πάτερ, ἐκεῖνοι ποὺ περιφρόνησαν κατὰ τὴν ἀρρώστια τὰ φάρμακα καὶ τὶς τροφές, ἄραγε εἶναι στὸ μέτρο τῆς τελειότητας;

Ἀπόκριση

Ἐκεῖνοι ποὺ περιφρόνησαν τὰ φάρμακα καὶ τὶς τροφὲς ἔφθασαν στὸ μέτρο τῆς πίστεως, ἀλλ' ὄχι τῆς τελειότητας.

530

Ἐρώτηση

Ἐὰν κανεὶς δὲν ἔχει τέτοια πίστη, ἄραγε πρέπει νὰ χρησιμοποιεῖ τροφὲς ποὺ ὠφελοῦν τὴν ἀσθένεια, ἢ μόνο ν'

τα, ἵνα παραιτῆται; Κἂν τύχῃ τι μήτε βλάπτον μήτε πάνυ ὠφελοῦν, ὀφείλει ἀδεῶς αὐτοῦ μεταλαμβάνειν;

Ἀπόκρισις

Τὰ μόνον βλάπτοντα, ἵνα παραιτῆται· ἐὰν δὲ εὑρεθῇ μήτε βλάπτον μήτε ὠφελοῦν, μὴ λάβῃ εἰς χορτασίαν, ἀλλὰ παραμικρόν· καὶ γάρ, ἐὰν εἰς κόρον λάβῃ τις, καὶ ἀπὸ τοῦ ὠφελοῦντος βλάπτεται.

ΦΛΑ'

Ἐρώτησις

Ἐὰν δὲ συμβῇ δύο βρώματα ἰσοδύναμα, τὸ ἓν εὐτελὲς καὶ τὸ ἄλλο πολυτελέστερον, ἆρα ὀφείλει διὰ τοῦ εὐτελετέρου ποιῆσαι τὴν χρείαν; Ἐὰν δὲ καὶ τὸ εὐτελέτερον ἡδύτερον ᾖ, ποῖον χρὴ λαβεῖν;

Ἀπόκρισις

Ἐὰν δύο πρόκεινται βρώματα ἴσα, ἐκ τῶν δύο λάβῃ πρὸς ὀλίγον· ἐὰν δὲ οὐ πρόκεινται τὰ δύο, τὸ εὐτελέστερον ἐπιτηδεύσῃ. Ἐὰν δὲ ἡδὺ ᾖ τοῦτο καὶ πρόκειται τὸ πολυτελέστερον, αὐτὸ μᾶλλον λάβῃ· ἐὰν δὲ οὐ πρόκειται, τὸ εὐτελέστερον καὶ ἡδὺ ἐπιτηδεύσῃ καὶ λάβῃ ἀπ' αὐτοῦ, ἀπομαχόμενος πρὸς τὸ ἡδύ, φυλάττων δὲ τὸ εἶναι παραμικρόν. Τί γάρ; οὐκ ἀπαιτεῖ ἡ νόσος πολλάκις πρᾶγμα ἔχον ἀηδίαν πολλήν, καὶ ἀναγκάζεται λαβεῖν ὁ ἄνθρωπος πρὸς τὸ ὑγιάναι; Οὕτω κἂν ἔχῃ ἡδύτητα τὸ πρᾶγμα καὶ χρεία γένηται αὐτοῦ, δεῖ λαβεῖν· προσέχειν δὲ ὀφείλει μόνον ὁ ἄνθρωπος, ὡς εἴπομεν, μὴ ἡττηθῆναι τῇ

ἀποφεύγει ἐκεῖνες ποὺ τὸν βλάπτουν; Καὶ ἂν τύχει κάτι ποὺ δὲν βλάπτει οὔτε ὠφελεῖ πολύ, πρέπει νὰ τὸ τρώγει μὲ εὐχαρίστηση;

Ἀπόκριση

Μόνο ν' ἀποφεύγει τὶς τροφὲς ποὺ βλάπτουν· ἐὰν ὅμως βρεθεῖ κάτι ποὺ δὲν βλάπτει οὔτε ὠφελεῖ, νὰ μὴ πάρει γιὰ χορτασμό, ἀλλὰ λίγο μόνο· διότι, ἂν πάρει κανεὶς γιὰ κορεσμό, βλάπτεται καὶ ἀπὸ ἐκεῖνο ποὺ ὠφελεῖ.

531

Ἐρώτηση

Ἐὰν ὅμως συμβεῖ νὰ παρατεθοῦν μπροστά του δύο τροφὲς ἰσοδύναμες, ἡ μία εὐτελὴς καὶ ἡ ἄλλη πολυτελέστερη, ἄραγε ὀφείλει νὰ ἱκανοποιήσει τὴν ἀνάγκη μὲ τὴν εὐτελέστερη; Ἐὰν ὅμως καὶ ἡ εὐτελέστερη εἶναι πιὸ εὐχάριστη, ποιά πρέπει νὰ λάβει;

Ἀπόκριση

Ἐὰν εἶναι παρατιθεμένες δύο ἴσες τροφές, νὰ πάρει λίγο καὶ ἀπὸ τὶς δύο· ἐὰν ὅμως δὲν εἶναι παρατιθεμένες καὶ οἱ δύο, νὰ χρησιμοποιήσει τὴν εὐτελέτερη. Ἐὰν αὐτὴ εἶναι εὐχάριστη καὶ εἶναι στὴ διάθεσή του καὶ ἡ πολυτελέστερη, μᾶλλον νὰ πάρει αὐτήν· ἐὰν ὅμως δὲν ὑπάρχει ἡ πολυτελής, νὰ προτιμήσει τὴν εὐχάριστη καὶ νὰ πάρει ἀπ' αὐτήν, πολεμώντας τὴν εὐχαρίστηση καὶ φροντίζοντας νὰ μὴ χορτάσει ἐντελῶς. Τί δηλαδή; Δὲν ἀπαιτεῖ πολλὲς φορὲς ἡ νόσος κάτι ποὺ ἔχει πολλὴ ἀηδία, κι ὅμως ἀναγκάζεται νὰ τὸ πάρει ὁ ἄνθρωπος γιὰ νὰ βρεῖ τὴν ὑγεία του; Ἔτσι καὶ ἂν κάτι ἔχει εὐχαρίστηση καὶ ὑπάρξει ἀνάγκη αὐτοῦ, πρέπει νὰ τὸ πάρει· ὀφείλει μόνο νὰ προσέχει ὁ ἄνθρωπος, γιὰ νὰ μὴ νικηθεῖ ἀπὸ τὴν ἡδονή· ἀλλὰ

ἡδονῇ· ἀλλ' ὅμως οὕτω παρέλθῃ μεμφόμενος ἑαυτόν, καὶ κατακρίνων ἤδη τότε.

ΦΛΒ'

Ἐρώτησις

Ἐπειδὴ τὸ κεχρῆσθαι ἰατρῷ ἐν τῷ ὀνόματι τοῦ Θεοῦ, καθὼς εἴπατε, οὐκ ἔστιν ἀπόβλητον, καὶ πάλιν τὸ μετὰ πίστεως καὶ ταπεινοφροσύνης ἐᾶσαι τὸ πᾶν τῷ Θεῷ κάλλιόν ἐστι, λέγει δέ μοι ὁ λογισμός, ὅτι 'ἐὰν συμβῇ σοι σωματικὸν πάθος, ὀφείλεις δεῖξαι αὐτὸ ἰατρῷ· οὐκ ἔστι γὰρ τῶν μέτρων σου ἐκτὸς φαρμάκων θεραπευθῆναι', καὶ πάλιν ὁ λογισμὸς λέγει μοι, 'μὴ τούτοις χρήσασθαι, ἀλλὰ τῷ ἁγιάσματι μᾶλλον τῶν ἁγίων, καὶ αὐτῷ μόνῳ ἀρκεσθῆναι', παρακαλῶ, πάτερ οἰκτίρμον, εἰπέ μοι τί μᾶλλον τούτων κρατήσω;

Ἀπόκρισις

Ἀδελφέ, ἐπειδὴ βλέπω σε πολὺ φροντίζοντα τῆς θεραπείας τῶν παθῶν τοῦ σώματος, νομίζω ὅτι οἱ πατέρες τούτων φροντίδα οὐ ποιοῦσιν. Ὁ οὖν δεύτερος λογισμὸς καλλίων ἐστὶ τοῦ πρώτου· πίστιν γὰρ ἔχει τελείαν εἰς Θεόν· ὁ δὲ ἄλλος, ἀπιστίαν. Ὁ μὲν ἔχει ὑπομονήν, τὴν φέρουσαν εἰς δοκιμήν, ἐξ ἧς γεννᾶται ἡ ἐλπὶς ἡ μὴ καταισχύνουσα· ὁ δὲ ἔχει ὀλιγωρίαν, τὴν ἀδελφὴν τῆς μικροψυχίας, ἐν ᾗ οἰκεῖ ἡ ὀλιγοπιστία, ἡ μήτηρ τῆς διχοστασίας, ἡ ἀπαλλοτριοῦσα τοῦ Θεοῦ καὶ καταφέρουσα εἰς ἀπώλειαν τοὺς ἀνθρώπους. Ὁ μὲν φίλους ποιεῖ Θεοῦ τοὺς ἀνθρώπους, ὁ δὲ ἐχθρούς· ὁ μὲν βασιλείας οὐρανῶν ἐστι πρόξενος, ὁ δὲ γεέννης· ὁ μὲν ὑψοῖ τὴν κεφαλὴν καὶ τὴν πρὸς τὸν Δεσπότην ἡμῶν Θεὸν δίδωσι παρρησίαν, ὁ δὲ μετ' αἰσχύνης ποιεῖ κλῖναι τὴν κεφαλὴν καὶ ἀπαρρησίαστον πρὸς τὸν Θεὸν ἱστᾷ τὸν ἄνθρωπον. Ὁ μὲν συνάγει τὸν νοῦν τοῦ πᾶσαν

θὰ προχωρήσει ἔτσι, κατηγορώντας καὶ κατακρίνοντας ἀμέσως τότε τὸν ἑαυτό του, διότι τὸ πῆρε.

532

Ἐρώτηση

Ἐπειδὴ τὸ νὰ χρησιμοποιεῖ κανεὶς γιατρὸ στὸ ὄνομα τοῦ Θεοῦ, ὅπως εἴπατε, δὲν εἶναι ἀπόβλητο· καὶ πάλι τὸ νὰ ἐμπιστευθεῖ μὲ πίστη καὶ ταπεινοφροσύνη τὸ κάθε τι στὸ Θεὸ εἶναι καλύτερο, ὅμως μοῦ λέγει ὁ λογισμός, 'Ἐὰν σοῦ συμβεῖ σωματικὸ πάθος, ὀφείλεις νὰ τὸ δείξεις στὸ γιατρό, διότι δὲν εἶναι στὰ μέτρα σου νὰ θεραπευθεῖς χωρὶς φάρμακα', καὶ πάλι ὁ λογισμὸς μοῦ λέγει νὰ μὴ χρησιμοποιήσω αὐτά, ἀλλὰ μᾶλλον τὸ ἁγίασμα τῶν ἁγίων καὶ νὰ ἀρκεσθῶ μόνο σ' αὐτό, παρακαλῶ, οἰκτήρμων πάτερ, πές μου ποιό ἀπ' αὐτὰ νὰ προτιμήσω περισσότερο;

Ἀπόκριση

Αδελφέ, ἐπειδὴ σὲ βλέπω νὰ φροντίζεις πολὺ γιὰ τὴ θεραπεία τῶν παθῶν τοῦ σώματος, νομίζω ὅτι οἱ πατέρες δὲν φροντίζουν γι' αὐτά. Ὁ δεύτερος λοιπὸν λογισμὸς εἶναι καλύτερος ἀπὸ τὸν πρῶτο, διότι περικλείει τέλεια πίστη στὸ Θεό, ἐνῶ ὁ ἄλλος ἔχει ἀπιστία. Ἐκεῖνος ἔχει ὑπομονή, ποὺ ὁδηγεῖ σὲ δοκιμασία, ἀπὸ τὴν ὁποία γεννιέται ἡ ἐλπίδα ποὺ δὲν ντροπιάζει· αὐτὸς ἔχει ὀλιγωρία, τὴν ἀδελφὴ τῆς μικροψυχίας, μέσα στὴν ὁποία κατοικεῖ ἡ ὀλιγοπιστία, ἡ μητέρα τῆς διχοστασίας, αὐτὴ ποὺ ἀποξενώνει ἀπὸ τὸν Θεὸ καὶ ὁδηγεῖ τοὺς ἀνθρώπους σὲ ἀπώλεια. Ἐκεῖνος κάνει τοὺς ἀνθρώπους φίλους τοῦ Θεοῦ, ἐνῶ αὐτὸς ἐχθρούς· ἐκεῖνος εἶναι πρόξενος τῆς βασιλείας τῶν οὐρανῶν, ἐνῶ αὐτὸς τῆς κολάσεως· ἐκεῖνος ὑψώνει τὴν κεφαλὴ καὶ δίνει τὴν παρρησία πρὸς τὸν Δεσπότη μας Θεό, ἐνῶ αὐτὸς κάνει τὴν κεφαλὴ νὰ σκύβει μὲ ντροπὴ καὶ τὸν ἄνθρωπο νὰ στέκεται ἀπαρρησίαστος πρὸς τὸν Θεό. Ἐκεῖνος συγ-

αὐτοῦ τὴν μέριμναν ἐπιρρίψαι πρὸς Κύριον, ὁ δὲ εἰς αἰχμαλωσίαν καὶ ἄλλας κακὰς ἀδολεσχίας ἐμβάλλει τὴν καρδίαν τοῦ ἀνθρώπου· ὁ μὲν εἰς οἰκοδομὴν ποιεῖ τὸ γινόμενον, ὁ δὲ εἰς χαύνωσιν τῶν θεωρούντων· ὁ μὲν φρονήσεως γέμει, ὅτι δύναται ὁ βλέπων τὰ κρυπτὰ πάθη θεραπεῦσαι καὶ τὸ ἐμὸν πάθος, ὁ δὲ ἀφροσύνην περὶ Θεοῦ, ἢ θεραπεύει ἢ οὔ. Ὁ μὲν εἰρηνικὴν κατάστασιν ἔχει καὶ διδάσκει τὸ μὴ ἀκηδιᾶν, ὁ δὲ ταραχώδη· ὁ μὲν πελασθῆναι εἰς χώρας καὶ πόλεις ποιεῖ τοὺς ἀνθρώπους, ὁ δὲ ἀπαλλαγῆναι τούτων πάντων· ὁ μὲν λύπην ἐμβάλλει εἰς τὴν καρδίαν τήκων αὐτήν, ὁ δὲ εὐχαριστίαν, τὴν καλῶς πρεσβεύουσαν ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας πρὸς τὸν μέγαν ἰατρὸν τὸν βαστάζοντα ἡμῶν τὰ πάθη.

Ἐγὼ τέως, ἀδελφέ μου γνήσιε, ὁπότε ὀκνηρὸς ἐγενόμην, οὐκ ἔδειξα ἐμαυτὸν ἰατρῷ, οὐδὲ φάρμακον ἐπέθηκα τραύματι, οὐ κατὰ ἀρετήν, ἀλλὰ κατὰ ὀκνηρίαν, παραιτούμενος τὸ πελασθῆναι ἐν κώμαις καὶ πόλεσι, καὶ τὸ βαρῆσαί τινα, καὶ τὸ ποιῆσαι σκυλλῆναι πρός με τὸν ἀνάξιον, φοβούμενος τὴν μέλλουσαν ἔσεσθαι ἀπολογίαν ἐν τῇ προσδοκωμένῃ ὥρᾳ τοῖς κατ' ἐμέ· ὁ δὲ δυνάμενος κατὰ ἀρετὴν ὑπενεγκεῖν, μακάριός ἐστι· συμμέτοχος γὰρ γίνεται τῆς τοῦ ἁγίου Ἰὼβ ὑπομονῆς.

Μνημονεύω δέ, ὅτι καὶ πολλαὶ γυναῖκες ὑπέμειναν καρτεροῦσαι ἐν τοῖς σωματικοῖς πάθεσιν, ἀφεῖσαι τὸ πᾶν τῷ Θεῷ, καὶ αἰσχύνομαι ἐγὼ ὀνόματι ἀνὴρ λεγόμενος. Ἡ αἱμορροοῦσα ἀφεῖσα τὴν προτέραν αὐτῆς κατάστασιν, μαθοῦσα ὅτι οὐδὲν ἠδυνήθησαν αὐτὴν ὠφελῆσαι οἱ σωματικοὶ ἰατροί, οἷς καὶ τὰ αὐτῆς ἐδαπάνησεν, ἔλαβε κατάστασιν ἄλλην καὶ προσέδραμε πρὸς τὸν μέγαν καὶ πνευματικὸν ἰατρὸν τὸν ἐπουράνιον, τὸν τὰς ψυχὰς καὶ τὰ σώματα θεραπεύοντα, καὶ πρὸ κελεύσεως ἀφῆκε τοὺς ἀνθρώπους τοῦ κόσμου, τοὺς γόητας, τοὺς ἐγγαστριμύθους, τοὺς μάντεις, ἰδοῦσα ὅτι μάταιος ἦν αὐτῶν ἡ τέχνη, καὶ προσέρ-

5. Ματθ. 9,20-22.

κεντρώνει τὸ νοῦ ὥστε νὰ ἐπιρρίψει ὅλη τὴ μέριμνά του στὸν Κύριο, ἐνῶ αὐτὸς ὁδηγεῖ τὴν καρδιὰ τοῦ ἀνθρώπου σὲ αἰχμαλωσία καὶ σὲ ἄλλες κακὲς ἐνασχολήσεις. Ἐκεῖνος κάνει τὸ γινόμενο πρὸς οἰκοδομή, ἐνῶ αὐτὸς πρὸς χαύνωση ἐκείνων ποὺ βλέπουν. Ἐκεῖνος εἶναι γεμᾶτος μὲ φρόνηση, διότι μπορεῖ βλέποντας τὰ κρυφὰ πάθη νὰ θεραπεύσει καὶ τὸ δικό μου πάθος, ἐνῶ αὐτὸς εἶναι γεμᾶτος μὲ ἀφροσύνη γιὰ τὸν Θεὸ εἴτε θεραπεύει εἴτε ὄχι. Ἐκεῖνος ἔχει εἰρηνικὴ κατάσταση καὶ διδάσκει νὰ μὴ μᾶς κυριεύει ἀκηδία, ἐνῶ αὐτὸς ταραχώδη· ἐκεῖνος κάνει τοὺς ἀνθρώπους νὰ μεταβοῦν σὲ χῶρες καὶ πόλεις, ἐνῶ αὐτὸς τοὺς κάνει ν' ἀπαλλαγοῦν ἀπ' ὅλα αὐτά· ἐκεῖνος ἐμβάλλει λύπη στὴν καρδία, λειώνοντάς την, ἐνῶ αὐτὸς ἐμβάλλει τὴν εὐχαριστία ποὺ πρεσβεύει καλῶς ὑπὲρ τῆς σωτηρίας τῶν ἀνθρώπων πρὸς τὸν μεγάλο γιατρὸ ποὺ βαστάζει τὰ πάθη μας.

Ἐγὼ μέχρι τώρα, γνήσιε ἀδελφέ μου, ὅταν γινόμουν ὀκνηρὸς δὲν ἔδειχνα τὸν ἑαυτό μου σὲ γιατρό, οὔτε ἔβαλα φάρμακο πάνω στὸ τραῦμα, ὄχι ἀπὸ ἀρετή, ἀλλὰ ἀπὸ ὀκνηρία, ἀποφεύγοντας νὰ μεταβῶ σὲ κωμοπόλεις καὶ πόλεις καὶ νὰ ἐπιβαρύνω κάποιον καὶ νὰ τὸν κάνω ν' ἀσχοληθεῖ μὲ μένα τὸν ἀνάξιο, φοβούμενος τὴ μέλλουσα ἀπολογία ποὺ θὰ γίνει κατὰ τὴν προσδοκώμενη ὥρα γιὰ τὰ ἔργα μου· ἐνῶ αὐτὸς ποὺ μπορεῖ νὰ τὰ ὑποφέρει μὲ ἀρετή, εἶναι μακάριος· διότι γίνεται συμμέτοχος τῆς ὑπομονῆς τοῦ ἁγίου Ἰώβ.

Θυμᾶμαι ὅμως, ὅτι καὶ πολλὲς γυναῖκες ὑπέμειναν μὲ καρτερία στὰ σωματικὰ πάθη, ἀφήνοντας τὸ πᾶν στὸ Θεό, καὶ ντρέπομαι ἐγὼ ποὺ ὀνομάζομαι ἄνδρας. Ἡ αἱμορραγοῦσα, ἀφοῦ ἄφησε τὴν προηγούμενη κατάστασή της καὶ ἔμαθε ὅτι δὲν μπόρεσαν νὰ τὴν ὠφελήσουν καθόλου οἱ σωματικοὶ γιατροί, στοὺς ὁποίους δαπάνησε τὴν περιουσία της, πῆρε ἄλλη ἀπόφαση καὶ ἔτρεξε πρὸς τὸν μεγάλο καὶ πνευματικὸ γιατρό, τὸν ἐπουράνιο, ποὺ θεραπεύει τὶς ψυχὲς καὶ τὰ σώματα, καὶ τὸ πάθος τότε, ἐπειδὴ φοβήθηκε, ἔφυγε πρὶν ἀπὸ τὴν παράκληση[5]. Καὶ ἡ Χαναναία ἄφησε τοὺς ἀνθρώπους τοῦ κόσμου, τοὺς γόητες, τοὺς ἐγγαστρίμυθους, τοὺς μάντεις, ἐπειδὴ κατάλαβε ὅτι ἡ τέχνη τους ἦταν ἀνώφελη, καὶ προσῆλθε στὸν Δεσπότη, κράζοντας,

χεται τῷ Δεσπότῃ κράζουσα, «ἐλέησόν με, υἱὲ Δαβίδ», καὶ ἀπὸ περάτων γῆς μέχρι τῶν περάτων αὐτῆς κεκήρυκται πᾶσι τὸ γεγονὸς αὐτῇ παρὰ τοῦ φιλανθρώπου ἰατροῦ.

Ἀφῶ τὰς λοιπὰς καὶ ἀδολεσχῶ εἰς ταύτας, εἴ πως δυνηθῶ ὀψέ ποτε καταντῆσαι εἰς τὴν αὐτῶν πίστιν καὶ τοῦ μακαρισμοῦ μὴ ἀποτύχω. Ἀρκοῦσί μοι αἱ δύο αὗται εἰς ἔλεγχον αἰσχύνης καὶ οὐ χρεία ἐνεγκεῖν τὴν πίστιν καὶ τὴν ταπείνωσιν τοῦ ἑκατοντάρχου εἰς τὸ μέσον· ὅτι οὐ μόνον ἀφεὶς τοὺς ἰατροὺς καὶ τοὺς ἄλλους πρὸς τὸν Δεσπότην ἦλθεν, ἀλλὰ καὶ ἔκρινεν ἑαυτὸν ἀνάξιον τοῦ εἰσενεγκεῖν αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ καὶ πίστει ἔλεγεν αὐτῷ, «λόγῳ μόνον εἰπὲ καὶ ἰαθήσεται ὁ παῖς μου»· μεγάλη πίστις, καὶ ὑπὸ τοῦ Σωτῆρος ἡμῶν ἐπηνέθη.

Ταῦτα δὲ λέγω ἐμαυτὸν καταισχύνων, ὅτι οὐκ ἐπιποθῶ, οὐ ζηλῶ, οὐ σπουδάζω, οὐ προσπίπτω καὶ οὐκ οἶδα ὁ ἄθλιος πότε φθάνει με ἡ ἀπόφασις· πότε γίνεταί μου ἡ κλῆσις· πότε ἔρχεται ὁ φοβερὸς καὶ ἀπότομος ἄγγελος μετ' ἐπιτιμίας λαβεῖν τὴν ταλαίπωρόν μου ψυχήν· πότε κλείεται ἡ θύρα καὶ μένω κράζων μετὰ τῶν πέντε παρθένων, καὶ οὐδείς μου ὑπακούει. Ὅτι δάκνουσί με μὲν πρὸς τὸ παρὸν ταῦτα, δῆλον· καὶ ὅτι νικᾷ με ἡ χαυνότης καὶ ὀκνηρία, οὐκ ἔστι κρυπτόν.

Τί οὖν; ἀπελπίσω ἐμαυτόν; Μὴ γένοιτο! αὕτη γὰρ ἡ ἁμαρτία εἰς θάνατόν ἐστιν. Ἀλλὰ παρακλήθητι, ἀδελφέ, ὡς ἐπὶ νεκρῷ καὶ τάφῳ ὀζωμένῳ ἐκχέαι ἐπ' ἐμοὶ πικρῶς τὰ δάκρυα· οἴδαμεν γὰρ ὡς ἀνύουσιν, ὅτι ἐδίδαξεν ἡ πεῖρα τοῦ κλαυθμοῦ Πέτρου, καὶ εὖξαι ὑπὲρ ἐμοῦ τοῦ ταῦτα λέγοντος, ποιοῦντος δὲ οὐδὲν ἀγαθόν, ἵνα καὶ εἰς ἐμὲ σπλαγχνισθῇ ὁ ἀγαθὸς ἰατρὸς καὶ θεραπεύσῃ μου τὰ πάθη ψυχῆς τε καὶ σώματος.

Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

6. Ματθ. 15,21–28.
7. Ματθ. 8,8.

«ἐλέησέ με, υἱὲ τοῦ Δαβίδ»· καὶ αὐτὸ ποὺ τῆς συνέβηκε ἀπὸ τὸν φιλάνθρωπο γιατρὸ ἔχει κηρυχθεῖ ἀπὸ τὰ πέρατα μέχρι τὰ πέρατα τῆς γῆς[6].

Θ' ἀφήσω τὶς ὑπόλοιπες καὶ θὰ ἀσχοληθῶ μ' αὐτές, μήπως καὶ μπορέσω κάποτε νὰ φθάσω στὴν πίστη τους καὶ νὰ ἐπιτύχω τὸν μακαρισμό. Μοῦ ἀρκοῦν αὐτὲς οἱ δύο γιὰ ἔλεγχο τῆς ντροπῆς μου καὶ δὲν εἶναι ἀνάγκη ν' ἀναφέρω τὴν πίστη καὶ τὴν ταπείνωση τοῦ ἑκατόνταρχου· διότι αὐτὸς ὄχι μόνο ἄφησε τοὺς γιατροὺς καὶ τοὺς ἄλλους καὶ πῆγε πρὸς τὸν Δεσπότη, ἀλλὰ καὶ ἔκρινε τὸν ἑαυτό του ἀνάξιο νὰ τὸν βάλει μέσα στὸ σπίτι του καὶ τοῦ ἔλεγε μὲ πίστη· «πὲς μόνο ἕνα λόγο καὶ θὰ γιατρευτεῖ τὸ παιδί μου»[7]. Μεγάλη πίστη καὶ ἐπαινέθηκε ἀπὸ τὸν Σωτήρα μας.

Καὶ τὰ λέγω αὐτὰ γιὰ νὰ κατακρίνω τὸν ἑαυτό μου· διότι δὲν ποθῶ τὴν πίστη τους, δὲν τὴ ζηλεύω, δὲν προσπαθῶ, δὲν προσπίπτω καὶ δὲν γνωρίζω ὁ ἄθλιος πότε θὰ μοῦ ἔρθει ἡ ἀπόφαση, πότε θὰ μοῦ γίνει ἡ κλήση, πότε θὰ ἔρθει ὁ φοβερὸς καὶ αἰφνίδιος ἄγγελος νὰ πάρει μὲ ἐπιτιμία τὴν ταλαίπωρη ψυχή μου· πότε θὰ κλείσει ἡ θύρα καὶ θὰ μείνω κράζοντας μὲ τὶς πέντε παρθένες[8], καὶ κανεὶς δὲν θὰ μὲ ὑπακούει. Εἶναι φανερὸ λοιπὸν ὅτι μὲ δαγκώνουν πρὸς τὸ παρὸν αὐτὰ καὶ δὲν εἶναι κρυφὸ ὅτι μὲ νικᾶ ἡ χαυνότητα καὶ ἡ ὀκνηρία.

Τί λοιπόν; θὰ παραδώσω τὸν ἑαυτό μου στὴν ἀπελπισία; Μὴ γένοιτο! διότι αὐτὴ ἡ ἁμαρτία ὁδηγεῖ στὸ θάνατο. Ἀλλὰ σὲ παρακαλῶ, ἀδελφέ, χῦσε γιὰ μένα πικρὰ τὰ δάκρυα σὰν πρὸς νεκρὸ καὶ σὰν μέσα σὲ τάφο ποὺ μυρίζει· διότι γνωρίζομε ὅτι τὰ δάκρυα κατορθώνουν πολλά, ὅπως μᾶς τὸ δίδαξε ἡ πείρα τοῦ κλαυθμοῦ τοῦ Πέτρου[9]. Καὶ προσευχήσου γιὰ μένα ποὺ τὰ λέγω αὐτά, ἀλλὰ δὲν κάμω κανένα ἀγαθό, γιὰ νὰ μὲ εὐσπλαγχνισθεῖ καὶ μένα ὁ ἀγαθὸς γιατρὸς καὶ νὰ μοῦ θεραπεύσει τὰ πάθη τῆς ψυχῆς καὶ τοῦ σώματος.

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

---

8. Ματθ. 9,22.
9. Ματθ. 25,1-13.

ΦΛΓ'

Ἐρώτησις

Ἰδοὺ εἰς τὸν Θεὸν καὶ εἰς τὰς χεῖράς σου ἐμαυτὸν παραδίδωμι· φρόντισον οὖν μοι, πάτερ εὔσπλαγχνε, διὰ τὸν Κύριον.

Ἀπόκρισις

Ἀδελφέ, οὕτω πιστεύων, οὐκ ἀθετῇ παρὰ τοῦ Χριστοῦ, τοῦ εἰπόντος τῇ ἁμαρτωλῷ, «ἡ πίστις σου σέσωκέ σε». Τὸ πᾶν οὖν ἄφες τῷ Θεῷ, ὅτι αὐτῷ μέλει περὶ ἡμῶν. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΦΛΔ'

Ἐρώτησις

Ἀδελφὸς ἠρώτησε τὸν αὐτὸν γέροντα λέγων.

Ἐάν τις ἔχῃ πάθος δεόμενον χειρουργίας, εἰ ὀφείλει χειρουργηθῆναι; καὶ εἰ δεῖ γνώμῃ γενέσθαι τοῦτο τῶν πατέρων;

Ἀπόκρισις

Χρή, τέκνον, τὸν ἔχοντα οἱονδήποτε πάθος ἐρωτᾶν περὶ αὐτοῦ τινα τῶν πατέρων, καὶ κατὰ γνώμην αὐτοῦ ποιεῖν πάντα. Ἐνίοτε γὰρ εὑρίσκεται ἔχων χάρισμα ὁ γέρων καὶ ἐργάζεται λεληθότως τὴν ἴασιν, καὶ οὐκ ἀεὶ χρήζει σαρκικῶν ἰατρῶν.

ΦΛΕ'

Ἐρώτησις

Ἐὰν φαίνηταί μοι πρᾶγμα καλόν, τυχὸν τὸ ἐγκρατεύσα-

---

10. Ματθ. 26,69–75.

533

Ἐρώτηση

Νά, παραδίδω τὸν ἑαυτό μου στὸν Θεὸ καὶ στὰ χέρια σου· φρόντισέ με λοιπόν, εὔσπλαγχνε πάτερ, στὸ ὄνομα τοῦ Κυρίου.

Ἀπόκριση

Ἀδελφέ, πιστεύοντας ἔτσι, δὲν θ᾽ ἀπορριφθεῖς ἀπὸ τὸν Χριστὸ ποὺ εἶπε στὴν ἁμαρτωλή, «ἡ πίστη σου σὲ ἔχει σώσει»[10]. Ἄφησε λοιπὸν τὸ κάθε τι στὸν Θεό, διότι αὐτὸς φροντίζει γιὰ μᾶς.

Σ᾽ αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες.

534

Ἐρώτηση

Ἀδελφὸς ἐρώτησε τὸν ἴδιο γέροντα λέγοντας.

Ἐὰν κανεὶς ἔχει πάθος ποὺ χρειάζεται ἐγχείρηση, ὀφείλει νὰ χειρουργηθεῖ; καὶ πρέπει αὐτὸ νὰ γίνει μὲ τὴ γνώμη τῶν πατέρων;

Ἀπόκριση

Τέκνο μου, αὐτὸς ποὺ ἔχει ὁποιοδήποτε πάθος πρέπει νὰ ἐρωτᾶ γι᾽ αὐτὸ κάποιον ἀπὸ τοὺς πατέρες καὶ νὰ ἐνεργεῖ πάντα κατὰ τὴ γνώμη αὐτοῦ. Διότι μερικὲς φορὲς μπορεῖ νὰ ἔχει χάρισμα ὁ γέροντας καὶ νὰ κάμει κρυφὰ τὴ γιατρειά. Δὲν χρειάζονται λοιπὸν πάντοτε σαρκικοὶ γιατροί.

535

Ἐρώτηση

Ἐὰν μοῦ φαίνεται ἕνα πρᾶγμα καλό, γιὰ παράδειγμα, τὸ

σθαι ἢ ἀσκῆσαι ἡσυχίαν, ἢ δοῦναί τινι εὐποιΐαν καὶ τὰ τοιαῦτα, ἆρα χρὴ ἀπ' ἐμαυτοῦ ποιῆσαι, ἢ γενέσθαι γνώμη πατέρων;

Ἀπόκρισις

Τῷ μὴ λαβεῖν γνώμην πατέρων περὶ πράγματος νομιζομένου καλοῦ, τὰ ἔσχατα αὐτοῦ εἰς κακὸν ἔρχεται, καὶ παραβαίνει τις τὴν ἐντολὴν τὴν λέγουσαν· «υἱέ, μετὰ βουλῆς πάντα ποίει» καὶ τὸ «ἐπερώτησον τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι τοὺς πρεσβυτέρους σου καὶ ἐροῦσί σοι»· καὶ οὐδαμοῦ εὑρήσεις τὴν Γραφὴν ἐπιτρέπουσάν τινι ἀφ' ἑαυτοῦ τι ποιεῖν· τὸ γὰρ μὴ λαβεῖν γνώμην ὑπερηφανία ἐστί, καὶ ὁ τοιοῦτος εὑρίσκεται πολέμιος τῷ Θεῷ· ὁ Θεὸς γὰρ «ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν». Καὶ τίς ἂν εἴη ταπεινός, εἰ μὴ ὁ κλίνων τὸν αὐχένα πρὸς τοὺς γέροντας καὶ λαμβάνων τὴν αὐτῶν γνώμην κατὰ φόβον Θεοῦ;

ΦΛΣ'

Ἐρώτησις

Ἐάν τις ὑπονοῆται εἶναι αἱρετικός, ὁμολογῇ δὲ τὴν ὀρθὴν πίστιν, ἆρα δεῖ πιστεύειν αὐτῷ ἢ οὔ;

Ἀπόκρισις

Οἱ πατέρες οὐκ ἀπήτησαν, εἰμὴ ὀρθὴν ἀπολογίαν πίστεως. Ἐὰν οὖν κατὰ ἀλήθειαν εὑρεθῇ τις βλασφημῶν τὸν Χριστὸν εἰς τὸ στόμα αὐτοῦ καὶ δίχα ζῶν αὐτοῦ, ἀπὸ τούτου χρὴ φυγεῖν καὶ μὴ ἐγγίζειν αὐτῷ. Περὶ γὰρ καρδίας, πᾶς ὁ μὴ φυλάσσων τὰς ἐντολὰς τοῦ Χριστοῦ αἱρετικός ἐστι, καὶ ἐὰν ὁ ἄνθρωπος μὴ πιστεύσῃ ἐν τῇ καρδίᾳ αὐτοῦ, οἱ λόγοι οὐδὲν ὠφελοῦσιν αὐτόν.

---

11. Παρ. 24,71. (Μασ. 31,4)
12. Δευτ. 32,7. 13. Παρμ. 3,34.

νὰ ἐγκρατεύομαι, ἢ νὰ ἀσκήσω ἡσυχία, ἢ νὰ δώσω σὲ κάποιον ἐλεημοσύνη καὶ τὰ ὅμοια, ἄραγε πρέπει νὰ τὸ κάνω ἀπὸ μόνος μου; ἢ νὰ ἐνεργήσω μὲ τὴ γνώμη τῶν πατέρων;

Ἀπόκριση

Αν δὲν πάρεις τὴ γνώμη τῶν πατέρων γιὰ κάποιο πρᾶγμα ποὺ θεωρεῖται καλό, τὸ τέλος του καταντᾶ σὲ κακό, καὶ παραβαίνει κανεὶς τὴν ἐντολὴ ποὺ λέγει· «υἱέ μου, νὰ τὰ κάνεις ὅλα μὲ συμβουλή»[11]· καὶ τὸ «ρώτησε τὸν πατέρα σου, καὶ θὰ σοῦ ἀναγγείλει τοὺς πρεσβυτέρους σου καὶ θὰ σοῦ ποῦν»[12]. Πουθενὰ δὲν θὰ βρεῖς τὴ Γραφὴ νὰ ἐπιτρέπει κάποιον νὰ κάνει κάτι ἀπὸ μόνος του· διότι τὸ νὰ μὴ πάρεις γνώμη εἶναι ὑπερηφάνεια, καὶ ὁ τέτοιος ἄνθρωπος εἶναι ἐχθρὸς γιὰ τὸν Θεό· διότι ὁ Θεὸς «ἀντιτάσσεται στοὺς ὑπερήφανους καὶ δίνει χάρη στοὺς ταπεινούς»[13]. Καὶ ποιός θὰ μποροῦσε νὰ εἶναι ταπεινός, ἐὰν ὄχι αὐτὸς ποὺ σκύβει τὸν αὐχένα στοὺς γέροντες καὶ δέχεται τὴ γνώμη τους μὲ φόβο Θεοῦ;

536

Ἐρώτηση

Ἐὰν κανεὶς θεωρεῖται ὅτι εἶναι αἱρετικός, ὁμολογεῖ ὅμως τὴν ὀρθὴ πίστη, ἄραγε πρέπει νὰ τὸν πιστεύομε ἢ ὄχι;

Ἀπόκριση

Οἱ πατέρες δὲν ζήτησαν τίποτε ἄλλο, παρὰ μόνο ὀρθὴ ἀπολογία πίστεως. Ἐὰν λοιπὸν πραγματικὰ βρεθεῖ κάποιος νὰ βλασφημεῖ τὸν Χριστὸ μὲ τὸ σῶμα του καὶ νὰ ζεῖ χωρὶς αὐτόν, πρέπει νὰ φύγομε ἀπὸ αὐτὸν καὶ νὰ μὴ τὸν πλησιάζομε. Διότι σχετικὰ μὲ τὴν καρδιά, ὅποιος δὲν φυλάγει τὶς ἐντολὲς τοῦ Χριστοῦ εἶναι αἱρετικός· καὶ ἐὰν ὁ ἄνθρωπος δὲν πιστέψει μὲ τὴν καρδιά του, τὰ λόγια δὲν τὸν ὠφελοῦν καθόλου.

ΦΛΖ'

Ἐρώτησις

Ἐὰν ἀββᾶς τις εὑρεθῇ αἵρεσιν ἔχων, ἆρα ὀφείλει ἀπ' αὐτοῦ ἀναχωρεῖν ὁ ἀδελφός;

Ἀπόκρισις

Ἐὰν ἀκριβῶς φανερωθῇ ὅτι ἔχει τὴν αἵρεσιν, δεῖ ἀναχωρεῖν ἐξ αὐτοῦ· ἐὰν δὲ ἐξ ὑπονοίας μόνης, οὐ δεῖ ἀναχωρεῖν οὐδὲ ἀναζητεῖν τὰ κατ' αὐτόν· τὰ γὰρ κρυπτά, τῷ Θεῷ, τὰ φανερά, τοῖς ἀνθρώποις.

ΦΛΗ'

Ἐρώτησις

Ἐὰν μὲν ὁ ἀββᾶς ὀρθῶς φορνῇ, ἐν δὲ τῷ τόπῳ ἐκείνῳ προσδοκᾶται κινεῖσθαι αἵρεσιν καὶ δέος μήποτε ἀνάγκη γένηται τοῦ παραβῆναι τὴν ὀρθὴν πίστιν καὶ οὐ βούλεται μεταστῆναι ὁ ἀββᾶς, ὁ δὲ ἀδελφὸς γινώσκων τὴν ἑαυτοῦ ἀσθένειαν θέλει ἀναχωρῆσαι εἰς ἕτερον τόπον, ἆρα καλῶς ποιεῖ ἢ οὔ;

Ἀπόκρισις

Πρὸ καιροῦ τοῦ φανερωθῆναι τὴν αἵρεσιν τὴν φέρουσαν τὴν ἀνάγκην, οὐκ ὀφείλει τις ἀναχωρῆσαι, μήποτε πληρωθῇ περὶ αὐτοῦ τὸ «φεύγει ὁ ἀσεβὴς μηδενὸς διώκοντος»· ἐὰν δὲ φανερωθῇ, τότε ὀφείλει μετὰ γνώμης πατέρων πνευματικῶν πρᾶξαι τοῦτο κατὰ φόβον Θεοῦ.

537

Ἐρώτηση

Ἐὰν βρεθεῖ κάποιος ἀββᾶς νὰ ἔχει αἵρεση, ἄραγε ὁ ἀδελφὸς ὀφείλει ν' ἀπομακρύνεται ἀπὸ αὐτόν;

Ἀπόκριση

Ἐὰν φανερωθεῖ ἀκριβῶς ὅτι ἔχει τὴν αἵρεση, πρέπει νὰ φύγει ἀπὸ αὐτόν· ἐὰν ὅμως ὑπάρχει ὑπόνοια μόνο, δὲν πρέπει ν' ἀναχωρεῖ οὔτε ν' ἀναζητεῖ μόνος του τὴ διαβίωση· διότι τὰ κρυφὰ ἀνήκουν στὸν Θεό, ἐνῶ τὰ φανερὰ στοὺς ἀνθρώπους.

538

Ἐρώτηση

Ἐὰν ὁ ἀββᾶς φρονεῖ ὀρθά, σ' ἐκεῖνον ὅμως τὸν τόπο ἀναμένεται νὰ κινηθεῖ αἵρεση καὶ ὑπάρχει φόβος μήπως ποτὲ παραστεῖ ἀνάγκη παραβιάσεως τῆς ὀρθῆς πίστεως καὶ δὲ θέλει νὰ φύγει ὁ ἀββᾶς, ὁ ἀδελφὸς ὅμως, γνωρίζοντας τὴ δική του ἀσθένεια, θέλει ν' ἀναχωρήσει σὲ ἄλλον τόπο· ἄραγε κάνει καλὰ ἢ ὄχι;

Ἀπόκριση

Πρὶν ἀπὸ τὸν καιρὸ τῆς φανερώσεως τῆς αἱρέσεως ποὺ φέρει τὴν ἀνάγκη, δὲν πρέπει κανεὶς ν' ἀναχωρήσει, μήπως καὶ πραγματοποιηθεῖ σ' αὐτὸν τό, «φεύγει ὁ ἀσθενὴς χωρὶς νὰ τὸν διώκει κανείς»[14]· ἐὰν ὅμως φανερωθεῖ, τότε ὀφείλει μὲ τὴ γνώμη τῶν πνευματικῶν πατέρων νὰ τὸ κάνει αὐτὸ μὲ φόβο Θεοῦ.

---

14. Παρμ. 28,1.

ΦΛΘ'

Ἐρώτησις

Τί οὖν ὅτε ἐν τῷ τόπῳ οὔκ εἰσί τινες πατέρες είς οὓς πληροφορεῖται, ὅτι δύνανται διακρῖναι τὸ πρᾶγμα; ἆρα χρὴ αὐτὸν ἐξελθεῖν τέως διὰ τὸν κίνδυνον τῆς αἱρέσεως καὶ ἀπελθεῖν ἀλλαχοῦ, ἔνθα εἰσὶν οἱ δυνάμενοι διακρίναι, κᾀκεῖ ἐρωτῆσαι αὐτοὺς περὶ τούτου;

Ἀπόκρισις

Ναί, ὀφείλει οὕτω ποιῆσαι καὶ τὰ λεγόμενα παρ' αὐτῶν πληρῶσαι.

ΦΜ'

Ἐρώτησις

Ἐάν τις συνοδεύσῃ μοι τῶν πατέρων καὶ φιλονεικῇ βαστάσαι, ὃ ἐγὼ βαστάζω, καὶ οὐ πρέπει οὐδὲ οἰκοδομεῖ τοὺς ὁρῶντας, ὅτι μείζων μού ἐστι, τί ποιήσω;

Ἀπόκρισις

Βάλε μετάνοιαν μετὰ ταπεινώσεως, ἵνα σὺ βαστάσῃς, ἐὰν δὲ μὴ οὕτως ἀνάσχηται, βάλε ἐκ δευτέρου μετάνοιαν λέγων· 'Οὐκοῦν, συγχώρησόν μοι διὰ τὸν Κύριον, ὅτι οὐ δυνάμεθα ὁμοῦ περιπατῆσαι· σκάνδαλον γὰρ παρακολουθεῖ τοῖς ὁρῶσι'. Καὶ ἐὰν μετὰ τὴν μετάνοιαν φιλονεικήσῃ, μὴ ἀνάσχῃ αὐτοῦ· τοῦτο γὰρ διαβόλου ἐστί.

539

Ἐρώτηση

Τί λοιπόν; Ὅταν στὸν τόπο δὲν ὑπάρχουν πατέρες στοὺς ὁποίους νὰ μπορεῖ νὰ ἐμπιστεύεται ὅτι μποροῦν νὰ διακρίνουν τὸ πρᾶγμα, ἄραγε πρέπει νὰ φύγει αὐτὸς τότε ἐξαιτίας τοῦ κινδύνου τῆς αἱρέσεως καὶ νὰ μεταβεῖ ἀλλοῦ, ὅπου βρίσκονται ἐκεῖνοι ποὺ μποροῦν νὰ διακρίνουν, καὶ πηγαίνοντας ἐκεῖ νὰ τοὺς ἐρωτήσει γι' αὐτὸ τὸ πρᾶγμα;

Ἀπόκριση

Ναί, ὀφείλει νὰ ἐνεργήσει ἔτσι καὶ νὰ πραγματοποιήσει τὰ λεγόμενα ἀπὸ αὐτούς.

540

Ἐρώτηση

Ἐὰν μὲ συνοδέψει κάποιος ἀπὸ τοὺς πατέρες καὶ ἐπιμείνει νὰ βαστάξει αὐτὸ ποὺ βαστάζω ἐγώ, καὶ δὲν πρέπει νὰ γίνει αὐτό, οὔτε καὶ οἰκοδομεῖ ἐκείνους ποὺ βλέπουν, διότι εἶναι μεγαλύτερός μου, τί νὰ κάνω;

Ἀπόκριση

Βάλε μετάνοια μὲ ταπείνωση, γιὰ νὰ τὸ βαστάξεις ἐσύ. Ἐὰν ὅμως δὲν δέχεται ἔτσι, βάλε μετάνοια γιὰ δεύτερη φορὰ λέγοντας· 'Συγχώρεσέ με λοιπὸν στὸ ὄνομα τοῦ Κυρίου, ποὺ δὲν μποροῦμε νὰ περπατήσομε μαζί· διότι προκαλεῖται σκάνδαλο σ' αὐτοὺς ποὺ βλέπουν'. Καὶ ἐὰν ἐπιμείνει μετὰ τὴ δεύτερη μετάνοια, μὴ δεχθεῖς· διότι αὐτὸ εἶναι τοῦ διαβόλου.

ΦΜΑ'

Ἐρώτησις

Καὶ ἆρα οὐ συμφέρει κόψαι τὴν φιλονεικίαν καὶ ἐᾶσαι αὐτὸν βαστάσαι, κἂν σκάνδαλον τοῖς ὁρῶσι γίνεται; Φαίνεται γὰρ ἐνταῦθα ἡ φιλονικεία κακωτέρα εἶναι ἐκείνου, ἐν δύο δὲ κακοῖς, τάχα δεῖ τὸ ἔλαττον ἐπιλέξασθαι.

Ἀπόκρισις

Η φολονικεία, ἡ μετὰ τὴν μετάνοιαν γινομένη, φανεροῖ ὅτι κατὰ διάβολόν ἐστι, καὶ οὐ χρὴ ἀκολουθῆσαι αὐτῇ· οἱ πατέρες γὰρ λέγουσιν, ὅτι τὰ περισσὰ τῶν δαιμόνων εἰσί.

ΦΜΒ'

Ἐρώτησις

Ἀδελφὸς ἠρώτησε τὸν μέγαν Γέροντα, εἰ συμφέρει αὐτῷ ἡσυχάσαι.

Ἀπόκρισις

Ο τὴν ὁδὸν τοῦ Θεοῦ θέλων ὁδεῦσαι, μὴ ἀπαιτήσῃ ἑαυτῷ τὴν τιμήν. Ἡ ὁδὸς δὲ τοῦ Θεοῦ ποία ἐστίν, εἰμὴ ἵνα βάλῃ τίς ποτε τὸ θέλημα ἐν πᾶσιν ὀπίσω καὶ τὸ ἔχειν ἑαυτὸν ὑστερώτατον πάντων καὶ ἐλαχιστότερον πάντων; Ὁ τοιοῦτος δύναται ὁδεῦσαι τὴν ὁδὸν ταύτην· ἐὰν γὰρ μή τις κόψῃ τὸ θέλημα αὐτοῦ καὶ θῇ τὴν ἐλπίδα αὐτοῦ ἐπὶ τὸν Κύριον, οὐ δύναται. Καὶ εἰς αὐτὸν πληροῦται ὁ λόγος τοῦ Εὐαγγελίου, «ζητεῖτε καὶ εὑρήσετε, κρούετε καὶ ἀνοιγήσεται ὑμῖν». Ἡ ζωὴ καὶ σωτηρία αὕτη ἐστίν, ἣν ζήλωσον κτήσασθαι· ἄλλη γὰρ ὁδὸς οὐκ ἔστιν, εἰμὴ αὕτη. Ἀδελφέ, μὴ χλευασθῇς.

---

15. Ἡ λέξη 'φιλονεικία' χρησιμοποιεῖται ἐδῶ μὲ τὴν ἔννοια τοῦ κακῶς ἐννοουμένου, φιλότιμου· τῆς ἐπίμονης ἐξυπηρετήσεως. 16. Ματθ. 7,7.

541

Ἐρώτηση

Ἄραγε δὲ συμφέρει νὰ κόψω τὴ φιλονεικία[15], καὶ νὰ τὸν ἀφήσω νὰ τὸ βαστάξει, ἀκόμα κι ἂν προξενεῖται σκάνδαλο σ' αὐτοὺς ποὺ βλέπουν; Διότι ἐδῶ φαίνεται ὅτι ἡ φιλονεικία εἶναι πιὸ κακὴ ἀπὸ τὸ σκάνδαλο, καὶ ἀνάμεσα σὲ δύο κακά, ἴσως πρέπει νὰ διαλέξω τὸ λιγότερο κακό.

Ἀπόκριση

Η φιλονεικία ποὺ γίνεται μετὰ τὴ μετάνοια, φανερώνει ὅτι γίνεται ὑποκεινούμενη ἀπὸ τὸν διάβολο, καὶ δὲν πρέπει νὰ τὴν ἀκολουθήσεις· διότι οἱ πατέρες λένε, ὅτι τὰ ἐπὶ πλέον εἶναι τῶν δαιμόνων.

542

Ἐρώτηση

Κάποιος ἀδελφὸς ἐρώτησε τὸν μεγάλο Γέροντα, ἐὰν τὸν συμφέρει νὰ ἡσυχάσει.

Ἀπόκριση

Αὐτὸς ποὺ θέλει νὰ περπατήσει τὴν ὁδὸ τοῦ Θεοῦ, νὰ μὴ ἀπαιτήσει γιὰ τὸν ἑαυτό του τὴν τιμή. Καὶ ἡ ὁδὸς τοῦ Θεοῦ ποιά εἶναι, παρὰ τὸ νὰ βάλει κανεὶς κάποτε τὸ θέλημα σὲ ὅλα πίσω καὶ τὸ νὰ θεωρεῖ τὸν ἑαυτό του κατώτατο ὅλων καὶ ἐλαχιστότερο ὅλων; Ὁ τέτοιος ἄνθρωπος μπορεῖ νὰ βαδίσει αὐτὴ τὴν ὁδό· διότι, ἐὰν κανεὶς δὲν κόψει τὸ θέλημά του καὶ δὲν στηρίξει τὴν ἐλπίδα του στὸν Κύριο, δὲν μπορεῖ. Σ' αὐτὸν πραγματοποιεῖται ὁ λόγος τοῦ Εὐαγγελίου, «ζητεῖτε καὶ θὰ βρεῖτε· χτυπᾶτε καὶ θὰ σᾶς ἀνοιχθεῖ ἡ πόρτα»[16]. Ἡ ζωὴ καὶ ἡ σωτηρία εἶναι αὐτή, τὴν ὁποία πόθησε νὰ ἀποκτήσεις· διότι δὲν ὑπάρχει ἄλλη ὁδός, παρὰ αὐτὴ μόνο. Ἀδελφέ, μὴ χλευασθεῖς.

ΦΜΓ'

Ἐρώτησις

Τί ποιήσω, πάτερ, ὅτι οἱ πόλεμοι θλίβουσί με καὶ σφίγγουσι κατ' ἐμοῦ; καὶ εἰπέ μοι, τί ἐστι τὸ σημεῖον τοῦ ἔχειν με τὴν ἐλπίδα πρὸς τὸν Θεὸν καὶ τὸ σημεῖον τῆς συγχωρήσεως τῶν ἁμαρτιῶν; καὶ πῶς ἐστι τὸ καθίσαι με κατὰ Θεόν;

Ἀπόκρισις

Ἀδελφέ, ὁ καιρὸς τῶν πολέμων καιρὸς ἐργασίας ἐστί. Μὴ παραλυθῇς, ἀλλ' ἔργασαι, πολέμησον· ὅταν σφίγξῃ ὁ πόλεμος, σφίγξον καὶ σύ, κράζων· 'Κύριε Ἰησοῦ Χριστέ, σὺ βλέπεις τὴν ἀδυναμίαν καὶ τὴν θλῖψίν μου, βοήθησόν μοι καὶ ῥῦσαί με ἀπὸ τῶν καταδιωκόντων με, ὅτι πρὸς σὲ κατέφυγον'· καὶ εὖξαι λαβεῖν δύναμιν δουλεῦσαι τῷ Θεῷ ἐν καρδίᾳ καθαρᾷ.

Τὸ σημεῖον ὅτι ἔχει τις τὴν ἐλπίδα πρὸς τὸν Θεόν ἐστι τὸ ἐκτινάξαι ἑαυτὸν ἀπὸ παντὸς λογισμοῦ τῆς φροντίδος τῆς σαρκός, καὶ μὴ λογίσασθαι, ὅτι ἔχει ὅλως τί ποτε τοῦ αἰῶνος τούτου, ἐπεὶ εἰς αὐτὸν ἔχει τὴν ἐλπίδα, καὶ οὐκ εἰς τὸν Θεόν.

Τὸ σημεῖον τῆς συγχωρήσεως τῶν ἁμαρτιῶν ἐστι τὸ τινὰ μισῆσαι αὐτὰ καὶ μηκέτι ποιῆσαι αὐτά· ἐὰν δὲ ἀκμὴν μελετᾷ εἰς αὐτὰ καὶ συντίθεταί ἡ καρδία αὐτοῦ ἐν αὐτοῖς ἢ καὶ πράττῃ, σημεῖόν ἐστιν ὅτι ἀκμὴν οὐ συνεχωρήθησαν αὐτῷ, ἀλλὰ ἐνέχεται αὐτοῖς.

Τὸ καθίσαι κατὰ Θεόν ἐστι, τὸ κατακρίναι τινὰ ἑαυτὸν ὅταν ἡδύνηται τῇ καρδίᾳ ἐν τῇ καλλονῇ τοῦ κελλίου, ἢ ἐν τῇ σωματικῇ ἀναπαύσει αὐτοῦ, λέγοντα, 'Οὐαί μοι τῷ ἁμαρτωλῷ, ὅτι εὑρίσκω πράγματα εἰς κατάκριμά μου, καὶ ἀνάξιός εἰμι αὐτῶν, καὶ ἄλλοι ἄξιοι θλίβονται, πελαζόμενοι καὶ μὴ εὑρίσκοντες

543

Ἐρώτηση

Τί νὰ κάνω, πάτερ, ποὺ οἱ πόλεμοι μὲ θλίβουν καὶ μὲ περισφίγγουν; Καὶ πές μου, ποιά εἶναι ἡ ἔνδειξη ὅτι ἔχω τὴν ἐλπίδα στὸν Θεὸ καὶ ποιά ἡ ἔνδειξη τῆς συγχωρήσεως τῶν ἁμαρτιῶν; καὶ ἐπίσης πῶς ἐννοεῖται τὸ νὰ κάθομαι κατὰ Θεόν;

Ἀπόκριση

Ἀδελφέ, ὁ καιρὸς τῶν πολέμων εἶναι καιρὸς ἐργασίας. Νὰ μὴ παραλυθεῖς, ἀλλὰ νὰ ἐργασθεῖς· πολέμησε· ὅταν σφίξει ὁ πόλεμος, σφίξε καὶ σὺ κράζοντας· 'Κύριε Ἰησοῦ Χριστέ, ἐσὺ βλέπεις τὴν ἀδυναμία καὶ τὴ θλίψη μου, βοήθησέ με καὶ προστάτεψέ με ἀπὸ αὐτοὺς ποὺ μὲ καταδιώκουν, διότι κατέφυγα σὲ σένα'· καὶ προσευχήσου νὰ λάβεις δύναμη γιὰ νὰ ὑπηρετήσεις τὸν Θεὸ μὲ καθαρὴ καρδιά.

Ἡ ἔνδειξη ὅτι ἔχει κάποιος τὴν ἐλπίδα πρὸς τὸν Θεὸ εἶναι, τὸ νὰ ἐκτινάξει τὸν ἑαυτό του ἀπὸ κάθε λογισμὸ τῆς φροντίδας τῆς σάρκας, καὶ νὰ μὴ σκεφθεῖ, ὅτι ἔχει ὁπωσδήποτε κάτι ἀπὸ αὐτὸν τὸν αἰώνα, διότι ἔτσι ἔχει τὴν ἐλπίδα σ' αὐτὸν καὶ ὄχι στὸν Θεό.

Ἡ ἔνδειξη τῆς συγχωρήσεως τῶν ἁμαρτιῶν εἶναι, τὸ νὰ τὶς μισήσει καὶ ποτὲ πιὰ νὰ μὴ τὶς κάνει· ἐὰν ὅμως μελετᾶ ἀκόμα αὐτὲς καὶ συμφωνεῖ ἡ καρδιά του μ' αὐτὲς ἢ καὶ τὶς πράττει, εἶναι ἔνδειξη ὅτι ἀκόμα δὲν τοῦ συγχωρήθηκαν, ἀλλὰ ὑπόκειται σ' αὐτές.

Τὸ νὰ κάθεται σύμφωνα μὲ τὸν Θεὸν σημαίνει τὸ νὰ κατακρίνει κάποιος τὸν ἑαυτό του ὅταν εὐχαριστεῖται στὴν καρδιὰ μὲ τὴν ὀμορφιὰ τοῦ κελλιοῦ ἢ μὲ τὴ σωματική του ἀνάπαυση, λέγοντας, 'ἀλλοίμονο σὲ μένα τὸν ἁμαρτωλό, διότι βρίσκω πράγματα γιὰ κατάκριμά μου καὶ εἶμαι ἀνάξιος αὐτῶν, ἐνῶ ἄλλοι ποὺ εἶναι ἄξιοι θλίβονται καὶ τυραννοῦνται χωρὶς νὰ βρί-

σαρκικὴν ἀνάπαυσιν. Κύριε Ἰησοῦ Χριστέ, συγχώρησόν μοι καὶ περὶ τούτου, διὰ τὸ ὄνομά σου τὸ ἐπικληθὲν εἰς ἡμᾶς'.

Ὁ Κύριος ἐνισχύσοι σε καὶ ἐνδυναμώσοι σε, τέκνον, ἵνα προκόψῃς καὶ ἔλθῃς εἰς μέτρον τέλειον. Ἀμήν.

ΦΜΔ'

Ἐρώτησις

Ἀδελφὸς ἠρώτησε τὸν ἄλλον γέροντα Ἰωάννην.

Πάτερ, εὔχου ὑπὲρ ἐμοῦ διὰ τὸν Κύριον καὶ εἰπέ μοι, εἰ καλόν ἐστι τὸ ἡμᾶς αἰτεῖν τοὺς πατέρας πολλάκις εὔχεσθαι ὑπὲρ ἡμῶν, κἂν ἤδη διαβεβαιώσαντο τοῦτο ποιεῖν· ἢ μή τι δοκοῦμεν αὐτοὺς πειράζειν;

***Ἀπόκρισις** Ἰωάννου.*

Ἀδελφέ, πολλάκις ἔγραψά σοι περὶ τῆς εὐχῆς, ὅτι ἀπὸ τῆς ἐντολῆς τοῦ Θεοῦ χρεωστοῦμεν εὔχεσθαι ὑπὲρ ἀλλήλων, μάλιστα ὅταν καὶ αἰτώμεθα ὑπὸ ἀλλήλων τοῦτο ποιῆσαι, ὑπερχρεῶσται εὑρισκόμεθα. Οὐ δυνάμεθα οὖν μὴ ποιῆσαι τὴν δύναμιν ἡμῶν.

Περὶ δὲ τοῦ αἰτεῖν εὐχὴν τοὺς πατέρας ἡμῶν, συμφέρει· φησὶ γὰρ «εὔχεσθε ὑπὲρ ἀλλήλων», και πάλιν «οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες», καὶ οὐ χρὴ ἀμελῆσαι, μνημονεύοντας τῆς ἀναιδείας τῆς χήρας πρὸς τὸν ἄδικον ἄρχοντα, καὶ εἰ οἶδεν ὁ Πατὴρ ἡμῶν ὁ οὐράνιος ὧν χρείαν ἔχομεν πρὸ τοῦ αἰτῆσαι αὐτόν, διότι οὐκ εἶπε 'μὴ αἰτήσητε, οἶδα γὰρ τί θέλετε πρὸ τοῦ αἰτήσασθαί με', ἀλλ' αὐτὸς εἶπεν «αἰτεῖτε καὶ λαμβάνετε» καὶ τὰ ἑξῆς. Ὥστε οὖν καλόν ἐστι τὸ αἰτεῖν, ἵνα

---

17. Ἰακ. 5,16.
18. Λουκᾶ 5,31.

σκουν σαρκικὴ ἀνάπαυση. Κύριε Ἰησοῦ Χριστέ, συγχώρεσέ με καὶ γι' αὐτό, ἐξαιτίας τοῦ ὀνόματός σου ποὺ τὸ ἐπικαλούμαστε'.

Ὁ Κύριος εἴθε νὰ σὲ ἐνισχύσει καὶ νὰ σ' ἐνδυναμώσει, τέκνο μου, ὥστε νὰ προκόψεις καὶ νὰ φθάσεις σὲ τέλειο μέτρο. Γένοιτο.

544

Ἀδελφὸς ἐρώτησε τὸν ἄλλο γέροντα Ἰωάννη.

Πάτερ, προσευχήσου γιὰ μένα στὸ ὄνομα τοῦ Κυρίου, καὶ πές μου, ἐὰν εἶναι καλὸ τὸ νὰ ζητοῦμε ἐμεῖς πολλὲς φορὲς ἀπὸ τοὺς πατέρες νὰ προσεύχονται γιὰ μᾶς, καὶ ὅταν ἤδη μᾶς διαβεβαίωσαν ὅτι τὸ κάνουν· ἢ μήπως φαινόμαστε ὅτι τοὺς πειράζομε;

Ἀπόκριση Ἰωάννου.

Αδελφέ, πολλὲς φορὲς σοῦ ἔγραψα γιὰ τὴν προσευχή, ὅτι ἀπὸ τὴν ἐντολὴ τοῦ Θεοῦ χρωστᾶμε νὰ προσευχόμαστε ὁ ἕνας γιὰ τὸν ἄλλον, καὶ κυρίως ὅταν μᾶς παρακαλοῦν ἄλλοι νὰ τὸ κάνομε αὐτό, εἴμαστε ὑπερχρεῶστες. Δὲν μποροῦμε λοιπὸν νὰ μὴ κάνομε ἐκεῖνο ποὺ ἐπιτρέπει ἡ δύναμή μας.

Σχετικὰ μὲ τὸ νὰ ζητοῦμε προσευχὴ ἀπὸ τοὺς πατέρες μας, μᾶς συμφέρει· διότι λέγει «νὰ προσεύχεσθε ὁ ἕνας γιὰ τὸν ἄλλο»[17], καὶ ἐπίσης, «δὲν ἔχουν ἀνάγκη γιατροῦ οἱ ὑγιεῖς, ἀλλὰ οἱ ἀσθενεῖς»[18], καὶ δὲν πρέπει νὰ ἀμελοῦμε, ἐνθυμούμενοι τὴν ἀναίδεια τῆς χήρας πρὸς τὸν ἄδικο ἄρχοντα. Καὶ μολονότι ὁ οὐράνιος πατέρας γνωρίζει ὅσα ἔχομε ἀνάγκη πρὶν τοῦ τὰ ζητήσομε, διότι δὲν εἶπε, 'μὴ ζητήσετε, διότι γνωρίζω τί θέλετε πρὶν μοῦ τὰ ζητήσετε', ἀλλ' εἶπε, «ζητεῖτε καὶ θὰ λάβετε»[19] καὶ τὰ ἑξῆς. Ὥστε λοιπόν, εἶναι καλὸ τὸ νὰ ζητοῦμε, γιὰ νὰ λάβο-

19. Ἰω. 16,24.

λάβωμεν κατὰ τὴν αὐτοῦ ἐπαγγελίαν· αἰτῶν δὲ τὴν εὐχὴν οὕτως εἰπέ· "Ἀββᾶ, κακῶς ἔχω, δέομαί σου, εὖξαι ὑπὲρ ἐμοῦ ὡς οἶδας, ὅτι χρῄζω ἐλέους Θεοῦ"· καὶ ὡς θέλει ὁ Θεὸς ποιεῖ μετὰ σοῦ τὸ ἔλεος· αὐτοῦ γάρ ἐστιν ἡ φιλανθρωπία καὶ αὐτοῦ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΦΜΕ'

Ἐρώτησις

Ἐὰν συνεσθίων τις τοῖς ἀδελφοῖς, τάχιον λάβῃ τὴν χρείαν αὐτοῦ, καλόν ἐστιν αἰτῆσαι τὸν ἀββᾶν ἵνα ἀναστῇ, ἢ μείνῃ μέχρι πάντες ἀναστῶσιν; ἐὰν δὲ τὸ μέτρον τοῦ ἄρτου συγκαταμερίσῃς πᾶσι τοῖς ἑψητοῖς, ποῖον βέλτιον;

Ἀπόκρισις

Κ*αθήμενός τις εἰς τὴν τράπεζαν, ἐὰν ἴδῃ ὅτι ἐγένετο αὐτοῦ ἡ χρεία καὶ οὐ δύναται καθίσαι μὴ τρώγων, αἰτήσῃ ἵνα ἀναστῇ· τὸ δὲ καθίσαι καὶ μὴ φαγεῖν, μεῖζον αὐτοῦ ἐστι· τὸ δε ἐπεκτεῖναι τὸ βουκίον αὐτοῦ εἰς ὅλα τὰ ἑψητά, τοῦτο κάλλιον τῶν δύο ἐστίν.*

ΦΜS'

Ἐρώτησις

Ἀδελφοὶ βουλόμενοι ἐγκρατεύσασθαι, ἠρώτησαν τὸν ἀββᾶν, εἰ ἐπιτρέπει αὐτοῖς προανίστασθαι τῶν ἀδελφῶν ἀπὸ τῶν τραπεζίων, διὰ τὸ μὴ δύνασθαι καθημένους περιγενέσθαι τῆς κοιλίας. Καὶ τοῦ ἀββᾶ ἐπιτρέψαντος αὐτοῖς ἀναστῆναι, τινὲς διεκρίθησαν καὶ κατελάλουν αὐτῶν, μὴ συν-

με σύμφωνα μὲ τὴν ὑπόσχεσή του. Ζητώντας λοιπὸν τὴν προσευχή του λέγε τὰ ἑξῆς· 'Ἀββᾶ, βρίσκομαι σὲ κακὴ κατάσταση, καὶ σὲ παρακαλῶ, προσευχήσου γιὰ μένα ὅπως γνωρίζεις, διότι χρειάζομαι τὸ ἔλεος τοῦ Θεοῦ'. Ὁ Θεὸς τότε ὅπως θέλει σοῦ προσφέρει τὸ ἔλεος· διότι δική του εἶναι ἡ φιλανθρωπία, καὶ δική του ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

545

Ἐρώτηση

Ἐὰν κανεὶς τρώγει μαζὶ μὲ τοὺς ἀδελφοὺς καὶ ἱκανοποιήσει γρήγορα τὴν ἀνάγκη του, εἶναι καλὸ νὰ ζητήσει ἀπὸ τὸν ἀββᾶ νὰ σηκωθεῖ, ἢ πρέπει νὰ μείνει μέχρι ποὺ νὰ σηκωθοῦν ὅλοι, ἐὰν πάλι ἐπεκτείνει τὴ μερίδα τοῦ ἄρτου σὲ ὅλα τὰ φαγητά, ποιό εἶναι καλύτερο;

Ἀπόκριση

Ὅταν κάθεται κανεὶς στὸ τραπέζι, ἐὰν δεῖ ὅτι ἱκανοποιήθηκε ἡ ἀνάγκη του καὶ δὲν μπορεῖ νὰ καθίσει χωρὶς νὰ τρώγει, νὰ ζητήσει νὰ σηκωθεῖ· τὸ νὰ κάθεται ὅμως καὶ νὰ μὴ τρώγει, εἶναι ἀνώτερο ἀπὸ αὐτό. Τὸ νὰ ἐπεκτείνει τὴ μπουκιά του σὲ ὅλα τὰ φαγητά, αὐτὸ εἶναι προτιμότερο ἀπὸ τὰ δύο.

546

Ἐρώτηση

Ἀδελφοί, ποὺ ἤθελαν νὰ ἐγκρατεύσουν, ἐρώτησαν τὸν ἀββᾶ, ἂν τοὺς ἐπιτρέπει νὰ σηκώνονται ἀπὸ τὸ τραπέζι πρὶν ἀπὸ τοὺς ἀδελφούς, ἐπειδὴ δὲν μποροῦν καθήμενοι νὰ ὑπερνικήσουν τὴν κοιλιά. Καὶ ἐνῶ ὁ ἀββᾶς τοὺς ἐπέτρεψε νὰ σηκωθοῦν, μερικοὶ ἐξέλαβαν τὸ πρᾶγμα διαφορετικὰ καὶ τοὺς κατηγόρησαν, χωρὶς νὰ καταλάβουν τὴν

ιέντες τὴν ἐκ τούτου ὠφέλειαν· καὶ ἔπεμψαν ἐρωτῶντες τὸν αὐτὸν γέροντα περὶ τούτου.

Ἀπόκρισις

Εκεῖνοι μὲν ὡς ἐργάται καὶ προσέχοντες ταῖς ἑαυτῶν ψυχαῖς, ποιοῦσι τοῦτο ἀγωνιζόμενοι εἰς ἐγκράτειαν, μήποτε ἐν τῷ καθέζεσθαι λιμβευθῶσιν ἔτι μεταλαβεῖν τῶν παραθεμένων· τῶν γὰρ τελείων ἐστὶ τὸ μεῖναι ἐν τῇ τραπέζῃ καὶ μὴ ἡττηθῆναι τῇ κοιλίᾳ· ὑμεῖς δὲ ἀργοί ἐστε, ὅτι οὐ συνήκατε εἰς τοὺς λόγους τῶν πατέρων τοὺς λέγοντας, 'μὴ εἴποις, διατί τοῦτο, ἀλλὰ σεαυτῷ πρόσχες', οἵτινες πάλιν παραινοῦσι μὴ καταλαλῆσαί τινος, πληροῦντες τὸν προφητικὸν λόγον «ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων» καὶ ἐνεπέσατε εἰς τὴν ἀπόφασιν τὴν λέγουσαν «ὁ κακὸς ἄνθρωπος ἐκ τοῦ κακοῦ θησαυροῦ αὐτοῦ ἐκβάλλει τὰ κακά». Διατί οὐχὶ μᾶλλον ἐνεθυμήθητε περὶ τῶν ἀδελφῶν ἀγαθὰ εἰς οἰκοδομήν, ὅτι ἡμεῖς ἀμελοῦμεν, καὶ οἱ ἀδελφοὶ ἡμῶν ἐγκρατεύονται, καθὼς αὐτοὶ οἱ ἐγειρόμενοι ἀδελφοὶ τὰ ἀγαθὰ λογίζονται περὶ ἡμῶν λέγοντες, 'Οὐαὶ ἡμῖν, ὅτι ἀπὸ ἀσθενείας ἐγειρόμεθα, οἱ δὲ ἀδελφοὶ ἡμῶν κἂν περισσότερον ἡμῶν φάγωσιν, οὐ βλάπτονται, πάντα γὰρ μετὰ διακρίσεως ποιοῦσι'; Καὶ ἐν τούτῳ αὐτοὶ μὲν φεύγουσι τὴν ἀπειλὴν τῆς κατακρίσεως, τὴν λέγουσαν «μὴ κρίνετε καὶ οὐ μὴ κριθῆτε», ὑμεῖς δὲ περιπίπτετε αὐτῇ, κρίνοντες τοὺς ἀδελφοὺς ὑμῶν τοὺς ὑπὲρ ὑμᾶς, παραβαίνοντες τὸν λόγον τοῦ Ἀποστόλου λέγοντος· «ὁ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω».

Μᾶλλον δὲ ὀφείλετε αὐτοὶ μεταλαμβάνοντες περισσότερον ἐκείνων, λυπεῖσθαι μὲν ὡς ἡττημένοι τῇ κοιλίᾳ, εὐχαριστεῖν δὲ τῷ Θεῷ ἐπὶ τῇ μεταλήψει, καὶ δύναται ἡμᾶς (ὁ Θεὸς δηλαδὴ)

---

20. Ψαλμ. 16,4.
21. Λουκᾶ 6,45.

ὠφέλεια ἀπὸ αὐτό· καὶ ἔστειλαν καὶ ἐρώτησαν τὸν ἴδιο γέροντα γι' αὐτό.

Ἀπόκριση

Ἐκεῖνοι οἱ ἀδελφοί, σὰν ἐργάτες τῆς ἀρετῆς καὶ προσέχοντας τὶς ψυχές τους, τὸ κάνουν αὐτὸ ἀγωνιζόμενοι γιὰ ἐγκράτεια, μήπως μὲ τὸ νὰ κάθονται κυριευθοῦν ἀπὸ λαιμαργία καὶ πάρουν περισσότερο ἀπὸ τὰ παρατιθέμενα· διότι τὸ νὰ μείνουν στὸ τραπέζι καὶ νὰ μὴ νικηθοῦν ἀπὸ τὴν κοιλιὰ εἶναι γνώρισμα τῶν τελείων. Ἐσεῖς ὅμως εἶσθε ἀργοί, διότι δὲν καταλάβατε τὰ λόγια τῶν πατέρων ποὺ λένε, 'νὰ μὴ πεῖς, γιατί αὐτό, ἀλλὰ νὰ προσέχεις τὸν ἑαυτό σου'. Οἱ ἴδιοι πάλι συμβουλεύουν νὰ μὴ κατακρίνομε κανένα, πραγματοποιώντας τὸν προφητικὸ λόγο, «γιὰ νὰ μὴ πεῖ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων»[20]. Ἐσεῖς ὅμως πέσατε στὴν ἀπόφαση ποὺ λέγει, «ὁ κακὸς ἄνθρωπος βγάζει τὰ κακὰ ἀπὸ τὸν κακὸ θησαυρό του»[21]. Γιατί δὲν θυμηθήκατε μᾶλλον χάριν τῶν ἀδελφῶν ἀγαθὰ γιὰ οἰκοδομή, ἀφοῦ ἐμεῖς ἀμελοῦμε καὶ οἱ ἀδελφοί μας ἐγκρατεύονται, ὅπως αὐτοὶ οἱ ἀδελφοὶ ποὺ σηκώνονται σκέφτονται τὰ ἀγαθὰ γιὰ μᾶς λέγοντας, 'ἀλλοίμονο σὲ μᾶς, ποὺ σηκωνόμαστε ἀπὸ ἀσθένεια, ἐνῶ οἱ ἀδελφοί μας, κι ἂν φάγουν περισσότερο ἀπὸ μᾶς δὲ βλάπτονται, διότι ὅλα τὰ κάνουν μὲ διάκριση; Καὶ ἔτσι, αὐτοὶ ἀποφεύγουν τὴν ἀπειλὴ τῆς κατακρίσεως ποὺ λέγει «νὰ μὴ κρίνετε καὶ δὲν θὰ κριθεῖτε»[22], ἐνῶ ἐσεῖς πέφτετε σ' αὐτὴν κρίνοντας τοὺς ἀδελφούς σας, ποὺ εἶναι πάνω ἀπὸ σᾶς, παραβαίνοντας τὸν λόγο τοῦ Ἀποστόλου ποὺ λέγει· «ἐκεῖνος ποὺ τρώγει νὰ μὴ ἐξευτελίζει αὐτὸν ποὺ δὲν τρώγει»[23].

Μᾶλλον λοιπὸν ὀφείλετε νὰ λυπᾶσθε ἐσεῖς περισσότερο ἀπὸ ἐκείνους τρώγοντας, ἐπειδὴ νικιέστε ἀπὸ τὴν κοιλιά, νὰ εὐχαριστεῖτε ὅμως τὸν Θεὸ γιὰ τὴν μετάληψη καὶ μὲ τὴν εὐχα-

22. Λουκᾶ 6,37.
23. Ρωμ. 14,3.

ἐλευθερῶσαι διὰ τῆς εὐχαριστίας τοῦ πολέμου τῆς κοιλίας καὶ τῆς κατακρίσεως τῆς πρὸς τοὺς ἀδελφούς. Ἐὰν δὲ θέλητε συνιέναι, εἰς διάκρισιν ἔρχονται τὰ πράγματα διακρῖναι τὸ ἀγαθὸν ἀπὸ τοῦ κακοῦ, κατὰ τὸν Ἀπόστολον λέγοντα, «πάντα δοκιμάζετε, τὸ καλὸν κατέχετε». Τῆς οὖν δοκιμασίας τοῦ ἀββᾶ τοῦτο τὸ πρᾶγμά ἐστι χωρὶς πάσης ἀντιλογίας.

ΦΜΖ'

Ἐρώτησις

Ἀδελφὸς ἠρώτησε τὸν μέγαν Γέροντα λέγων.

Δογματικὰ βιβλία ἔχω καὶ ἀναγινώσκων εἰς αὐτά, αἰσθάνομαι ὡς μεταφερόμενον τὸν νοῦν μου εἰς τὴν θεωρίαν αὐτῶν ἀπὸ τῶν ἐμπαθῶν λογισμῶν· ἔστι δ' ὅτε ἐπιτιμᾷ μοι ὁ λογισμὸς λέγων, 'οὐκ ὀφείλεις τοιαῦτα ἀναγινώσκειν, ἄθλιος ὢν καὶ ἀκάθαρτος'.

***Ἀπόκρισις** Βαρσανουφίου.*

Οὐκ ἤθελον ἐν τούτοις, διὰ τὸ αὐτὰ ἄνω αἴρειν τὸν νοῦν, ἀλλ' ἐν τοῖς λόγοις τῶν γερόντων, ὅτι ταῦτα ταπεινοῖ κάτω τὸν νοῦν· ἐγὼ δὲ οὐχ ὡς ἀτιμάζων αὐτὰ εἶπον, ἀλλ' ὡς συμβουλεύων, ἔστι γὰρ τροφὴ καὶ τρυφή.

ΦΜΗ'

Ἀδελφός τις ξένος ἀσθενήσας ἦλθεν εἰς τὸ κοινόβιον θεραπευθῆναι καὶ ἐδόθη εἰς κελλίον ἀδελφοῦ καὶ βαρέως ἤνεγκεν ὁ ἀδελφός· καὶ μαθὼν ὁ γέρων ἐδήλωσεν αὐτῷ ταῦτα.

ριστία ὁ Θεὸς μπορεῖ νὰ σᾶς ἐλευθερώσει ἀπὸ τὸν πόλεμο τῆς κοιλιᾶς καὶ ἀπὸ τὴν κατάκριση πρὸς τοὺς ἀδελφούς. Ἐὰν ὅμως θέλετε νὰ δείξετε κατανόηση, ἔρχονται σὲ διάκριση τὰ πράγματα γιὰ νὰ διακρίνετε τὸ ἀγαθὸ ἀπὸ τὸ κακό, σύμφωνα μὲ τὸν Ἀπόστολο ποὺ λέγει, «ὅλα νὰ τὰ δοκιμάζετε καὶ νὰ κρατᾶτε τὸ καλό»[24]. Αὐτὸ τὸ πράγμα, χωρὶς καμμιὰ ἀντίρρηση, ἀνήκει στὴν κρίση τοῦ ἀββᾶ.

547

Ἐρώτηση

Ἀδελφὸς ἐρώτησε τὸν μεγάλο Γέροντα, λέγοντας.

Ἔχω δογματικὰ βιβλία καὶ διαβάζοντάς τα αἰσθάνομαι σὰν νὰ μεταφέρεται ὁ νοῦς μου ἀπὸ τοὺς ἐμπαθεῖς λογισμοὺς στὴ θεωρία αὐτῶν· μερικὲς φορὲς ὅμως μὲ ἐπιτιμᾶ ὁ λογισμὸς λέγοντας, 'δὲν πρέπει νὰ διαβάζεις τέτοια βιβλία, διότι εἶσαι ἄθλιος καὶ ἀκάθαρτος'.

Ἀπόκριση Βαρσανουφίου.

Δὲν ἤθελα νὰ ἀσχολεῖσαι μὲ αὐτά, διότι αὐτὰ κάνουν τὸν νοῦ νὰ ὑψηλοφρονεῖ, ἀλλὰ μὲ τὰ λόγια τῶν γερόντων, διότι αὐτὰ ταπεινώνουν τὸν νοῦ. Ἐγὼ ὅμως δὲν τὰ εἶπα αὐτὰ γιὰ νὰ σὲ ἀτιμάσω, ἀλλὰ γιὰ νὰ σὲ συμβουλέψω, διότι ὑπάρχει τροφὴ καὶ τρυφή.

548

Κάποιος ξένος ἀδελφός, ἐπειδὴ ἀσθένησε ἦλθε στὸ κοινόβιο γιὰ νὰ θεραπευθεῖ καὶ δόθηκε στὸ κελλὶ κάποιου ἀδελφοῦ καὶ ὁ ἀδελφὸς δυσαρεστήθηκε. Ὅταν τὸ ἔμαθε ὁ Γέροντας τοῦ δήλωσε αὐτά.

24. Α' Θεσ. 5,21.

Ἀπόκρισις

Ερεύνησον τὸν λογισμόν σου, ἀδελφέ, καὶ μάθε, εἰ ἦν ὁ ἀδελφός σου ὁ σαρκικός, οὐκ εἶχες αὐτὸν δέξασθαι ἐπάνω τῶν βλεφάρων σου; Ἴδε οὖν τὰ σαρκικὰ ἐργάζονται μετὰ σοῦ· ἀπέλαβες γὰρ τὸν πνευματικόν σου ἀδελφόν· πάντες γὰρ ἕν ἐσμεν ἐν Χριστῷ. Πρόσεχε οὖν σεαυτῷ, ἀδελφέ, ἐν φόβῳ Θεοῦ.

Ταῦτα ἀκούσας ὁ ἀδελφὸς πάνυ κατενύγη, καὶ ὠφεληθεὶς ἐδήλωσε τῷ γέροντι, λέγων· 'Συγχώρησόν μοι, κύριε ἀββᾶ, καὶ εὖξαι ὑπὲρ ἐμοῦ καὶ δέχομαι τὸν ἀδελφόν μου μετὰ χαρᾶς μεγάλης'.

ΦΜΘ'

Ἐρώτησις

Ἀδελφὸς γενόμενος τοῦ αὐτοῦ γέροντος, πρὶν αὐτὸν ἡσυχάσαι ἐν τῷ κοινοβίῳ, ἐξενίτευσε, καὶ ἐπανελθὼν ἐξουθένει τινὰ ἀδελφὸν εὐλαβῆ, ὡς ἰδιώτην ὄντα καὶ εὐτελῆ· ἐπέμενε δὲ αἰτῶν τὸν γέροντα ὁδηγῆσαι αὐτὸν ὡς τὸ πρῶτον εἰπών· 'Ὁ Θεὸς ἤνεγκέ με εἰς τὴν σὴν ἁγιωσύνην'.

***Ἀπόκρισις** Βαρσανουφίου.*

Λέγει ὁ Ἀπόστολος· «ἡ βασιλεία τοῦ Θεοῦ οὐκ ἐν λόγῳ»· εἶπεν ὁ ἀββᾶς Μακάριος, Τὸν ὀρθῶς πιστεύοντα καὶ ἐν εὐσεβείᾳ ἐργαζόμενον, Ἰησοῦς οὐ παραδίδωσιν εἰς πάθη καὶ χεῖρας δαιμόνων. Ὁ Κύριος εἶπεν ὅτι «ἐν ταῖς ἡμέραις Ἠλιοὺ πολλαὶ χῆραι ἦσαν ἐν τῷ Ἰσραὴλ καὶ πρὸς οὐδεμίαν αὐτῶν ἐπέμφθη, εἰμὴ πρὸ τὴν ἐν Σαρεπτᾷ τῆς Σιδῶνος, καίτοι ἦν Ἑλληνίς». Καὶ πάλιν εἶπεν· «ἐν ταῖς ἡμέραις Ἐλισσαιὲ πολλοὶ λεπροὶ ἦσαν ἐν τῷ Ἰσραὴλ καὶ οὐδεὶς αὐτῶν

Ἀπόκριση

Ερεύνησε τὸν λογισμό σου, ἀδελφέ, καὶ μάθε· ἐὰν ἦταν ὁ σαρκικός σου ἀδελφός, δὲν θὰ τὸν δεχόσουν πάνω ἀπὸ τὰ βλέφαρά σου; Δὲς λοιπόν, τὰ σαρκικὰ ἐργάζονται μαζί σου· διότι δέχθηκες τὸν πνευματικό σου ἀδελφό, καὶ ὅλοι εἴμαστε ἕνα στὸ ὄνομα τοῦ Χριστοῦ. Πρόσεχε λοιπὸν τὸν ἑαυτό σου, ἀδελφέ, μὲ φόβο Θεοῦ.

Ὅταν τὰ ἄκουσε αὐτὰ ὁ ἀδελφὸς κυριεύθηκε ἀπὸ μεγάλη κατάνυξη, καὶ ὠφελημένος δήλωσε στὸν Γέροντα, λέγοντας· 'Συγχώρεσέ με, κύριε ἀββᾶ, καὶ προσευχήσου γιὰ μένα· δέχομαι τὸν ἀδελφό μου μὲ μεγάλη χαρά'.

549

Ἀδελφὸς ποὺ ἦταν τοῦ ἰδίου γέροντα, πρὶν αὐτὸς ἡσυχάσει στὸ κοινόβιο, ξενιτεύθηκε καὶ ὅταν ἐπανῆλθε ἐξευτέλιζε κάποιον εὐλαβῆ ἀδελφό, σὰν ἀνόητο καὶ εὐτελῆ· ἐπέμενε ὅμως νὰ ζητᾶ ἀπὸ τὸν γέροντα νὰ τὸν ὁδηγήσει ὅπως πρῶτα, λέγοντας· 'Ὁ Θεὸς μὲ ὁδήγησε στὴν ἁγιωσύνη σου'.

Ἀπόκριση Βαρσανουφίου.

Ὁ Ἀπόστολος λέγει· «ἡ βασιλεία τοῦ Θεοῦ ὄχι μὲ λόγο»[25]· ὁ ἀββᾶς Μακάριος εἶπε, αὐτὸν ποὺ πιστεύει ὀρθὰ καὶ ἐργάζεται μὲ εὐσέβεια, ὁ Ἰησοῦς δὲν τὸν παραδίδει στὰ πάθη καὶ στὰ χέρια τῶν δαιμόνων. Ὁ Κύριος εἶπε ὅτι «κατὰ τὶς ἡμέρες τοῦ Ἠλία πολλὲς χῆρες ὑπῆρχαν στὸ Ἰσραὴλ καὶ σὲ καμμιὰ ἀπὸ αὐτὲς δὲν στάλθηκε, παρὰ μόνο σ' ἐκείνην ποὺ ἦταν στὰ Σαρεπτὰ τῆς Σιδώνας, ἂν καὶ ἦταν Ἑλληνίδα»[26]. Καὶ πάλι εἶπε· «κατὰ τὶς ἡμέρες τοῦ Ἐλισσαίου ὑπῆρχαν πολλοὶ λεπροὶ στὸ Ἰσραὴλ καὶ κανένας ἀπὸ αὐτοὺς δὲν κα-

25. Α΄ Κορ. 4,20.
26. Γ΄ Βασ. 17,9.

ἐκαθαρίσθη, εἰμὴ Νεεμὰν ὁ Σύρος», καίτοι ἦν ἀλλογενής, ἀλλ' ἐπίστευσεν. Ὥστε ἐνόμισα ὅτι ἐξενίτευσας καὶ ὅτι ἀφῆκας τὰ δικαιώματα καὶ ἐκέρδανας ταπείνωσιν. Καὶ ὡς βλέπω ἐκ τῶν λογισμῶν σου, ὅτι ἐκεῖνος αὐτὸς εἶ, ἢ καὶ χείρων· εἰ τὰ μωρὰ καὶ ἐξουθενημένα καὶ οὐδαμινὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός, δῆλόν ἐστιν, ὅτι τὰ ἔνδοξα καὶ ἔχοντα καύχημα παρὰ ἀνθρώποις ἀπεβάλετο.

Οὐ τοίνυν τὰ ἀρέσκοντα τοῖς ἀνθρώποις ἀρέσκει τῷ Θεῷ, ἀλλὰ τὰ ἄτιμα τοῖς ἀνθρώποις διὰ τὸν Θεόν, ἔχει μακαρισμὸν ἐνώπιον τοῦ Θεοῦ, καθὼς λέγει, ὅτι «μακάριοί ἐστε, ὅταν ἀφορίσωσιν ὑμᾶς οἱ ἄνθρωποι καὶ μισήσωσι καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρόν, ἕνεκεν τοῦ ὀνόματός μου. Χάρητε καὶ σκιρτήσατε, ὅτι οὕτως ἐποίουν τοῖς προφήταις οἱ πατέρες αὐτῶν». Συνεστράφης μεθ' ἡμῶν οὐκ ὀλίγον χρόνον· ἐρεύνησον τὴν καρδίαν σου, ποῖον λόγον ἢ ποίαν συμβουλίαν ἔσχες παρ' ἡμῶν τὴν ἀποσχίζουσαν ἐκ τῆς ὁδοῦ τοῦ Θεοῦ; Καὶ ἡ σκέπη ἡ γενομένη ἐπὶ σὲ πόθεν σοι ἐγένετο, εἰ μὴ ἐκ τῆς θλίψεως ἧς ἐβάστασας; ὅτι ἐδίωξέ σε ὁ γέρων εἰς τὴν σὴν ὠφέλειαν. Εἰπέ μοι, ἀδελφέ, τὴν ἀρχὴν τοῦ ἀνθρώπου ὁ Θεὸς ζητεῖ ἢ τὰ ἔσχατα αὐτοῦ τῆς ἐκβάσεως; Σὺ οὖν οἶδας τί ἐκέρδανας εἰς τὸν χρόνον τῆς ξενιτείας σου· πάλιν οἶδας ὅτι συνοικοῦντί σοι μετ' ἐμοῦ τότε, εἶπον ὅτι, Ἐὰν ἀκούῃς μου εἰς ἓν καὶ ἀντιλέγῃς μοι εἰς ἕν, εἰς ὃ ἀκούεις, τὸ θέλημά σού ἐστιν εἰς αὐτό· καὶ οὐκ ἔχω κρίμα δοῦναι ὑπὲρ σοῦ ἢ ἀπολογίαν. Εἰ ὁ Θεὸς ἤνεγκέ σε, αὐτὸς καὶ κυβερνᾷ σε, εἰ δὲ τῷ θελήματί σου, γέγραπται «ἐξαπέστειλα αὐτοῖς κατὰ τὰ ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν». Ὥστε οὖν εὖξαι ὑπὲρ ἐμοῦ καὶ ἀμερίμνει ἀφ' ἡμῶν· κἀγὼ θέλω εἰς πάντα ἀμεριμνῆσαι ἐν Κυρίῳ.

θαρίσθηκε, παρὰ ὁ Νεεμὰν ὁ Σύρος»[27], ἂν καὶ ἦταν ἀλλόφυλος, ἀλλὰ πίστεψε. Νόμισα λοιπὸν ὅτι ἀποδήμησες καὶ ὅτι ἄφησες τὰ δικαιώματα[28] καὶ κέρδισες τὴν ταπείνωση. Ὅπως ὅμως βλέπω ἀπὸ τοὺς λογισμούς σου, εἶσαι ὁ ἴδιος ἢ καὶ χειρότερος· ἐὰν ὁ Θεὸς διάλεξε τὰ μωρὰ καὶ ἐξουθενωμένα καὶ τιποτένια τοῦ κόσμου, εἶναι φανερό, ὅτι ἀπέβαλε τὰ ἔνδοξα καὶ αὐτὰ ποὺ ἔχουν τὸ καύχημα ἀπὸ τοὺς ἀνθρώπους.

Δὲν ἀρέσουν λοιπὸν στὸν Θεὸ αὐτὰ ποὺ ἀρέσουν στοὺς ἀνθρώπους, ἀλλὰ ἐκεῖνα ποὺ οἱ ἄνθρωποι θεωροῦν ἄτιμα ἐξαιτίας τοῦ Θεοῦ, ἔχουν μακαρισμὸ ἐνώπιον τοῦ Θεοῦ, ὅπως λέγει· «θὰ εἶστε μακάριοι, ὅταν σᾶς ἀφορίσουν οἱ ἄνθρωποι καὶ σᾶς μισήσουν καὶ δυσφημήσουν τὸ ὄνομά σας ὡς πονηρό, ἐξαιτίας τοῦ ὀνόματός μου. Χαρεῖτε καὶ σκιρτήσατε ἀπὸ χαρά, διότι τὸ ἴδιο ἔκαναν οἱ πατέρες αὐτῶν καὶ στοὺς προφῆτες»[29]. Συναναστράφηκες μ' ἐμᾶς ὄχι λίγο καιρό· ἐρεύνησε τὴν καρδιά σου, ποιό λόγο ἢ ποιά συμβουλὴ εἶχες ἀπὸ μᾶς ποὺ σὲ ἀποσποῦσε ἀπὸ τὸν δρόμο τοῦ Θεοῦ; Καὶ ἡ προστασία ποὺ γινόταν σὲ σένα, ἀπὸ ποῦ σοῦ γινόταν, ἐὰν ὄχι ἀπὸ τὴ θλίψη ποὺ βάσταξες; Διότι ὁ γέροντας σὲ ἔδιωξε γιὰ τὴ δική σου ὠφέλεια. Πές μου, ἀδελφέ, τὴν ἀρχὴ τοῦ ἀνθρώπου ζητεῖ ὁ Θεὸς ἢ τὰ ἔσχατα ἀποτελέσματα τῆς διαγωγῆς του; Ἐσὺ λοιπὸν γνωρίζεις τί κέρδισες στὸ χρόνο τῆς ξενιτειᾶς σου· γνωρίζεις ἐπίσης ὅτι ὅταν συγκατοικοῦσες μὲ μένα τότε, σοῦ εἶπα· 'ἂν μὲ ἀκοῦς σὲ ἕνα καὶ μοῦ ἀντιλέγεις σὲ ἕνα, σ' ἐκεῖνο ποὺ ἀκοῦς, σ' αὐτὸ βρίσκεται τὸ θέλημά σου, καὶ δὲν ἔχω νὰ δώσω γιὰ σένα κρίμα ἢ ἀπολογία'. Ἐὰν σὲ ἔφερε ὁ Θεός, αὐτὸς καὶ σὲ κυβερνᾶ· ἐὰν ὅμως ἀκολουθεῖς τὸ θέλημά σου, ἔχει γραφεῖ· «ἔστειλα σ' αὐτοὺς πράγματα σύμφωνα μὲ τὶς ἐπιθυμίες τῶν καρδιῶν τους»[30]. Ὥστε λοιπὸν προσευχήσου γιὰ μένα καὶ ἀμερίμνα ἀπὸ μᾶς· καὶ ἐγὼ θέλω νὰ ἀμεριμνήσω γιὰ ὅλα στὸ ὄνομα τοῦ Κυρίου.

27. Δ' Βασ. 5,8 ἑξῆς.
28. Τὶς ἀξιώσεις καὶ ἀπαιτήσεις δηλαδή.
29. Λουκᾶ 6,22.
30. Ψαλμ. 80,13.

ΦΝʹ

Ἀδελφοὶ ἐξελθόντες ἀπὸ κοινοβίου τινὸς ἠγόρασαν ἑαυτοῖς κελλία ἐν τοῖς τόποις ἐν οἷς ἦν τὸ κοινόβιον, δίχα γνώμης τοῦ ἀββᾶ αὐτῶν, καὶ λυπηθεὶς πρὸς αὐτοὺς ὁ ἀββᾶς ὡς παραβάντας τὴν ἀκολουθίαν, ἐβούλετο διῶξαι αὐτοὺς ἐκεῖθεν· αὐτοὶ δὲ ἀντειπεῖν ἐπεχείρησαν. Καὶ ἠρωτήθη ὁ αὐτὸς Γέρων περὶ τούτου, εἰ καλῶς ἐποίησαν ὁ ἀδελφοί, καὶ τί χρὴ γενέσθαι.

Ἀπόκρισις

Παντὶ εὑρίσκομεν, ὅτι ἡ ἀντιλογία πολλοὺς ἀνθρώπους ἀπώλεσεν, ὡς καὶ τοὺς περὶ Δαθὰν καὶ Ἀβειρών, τοὺς ἀντιστάντας τῷ Μωϋσῇ. Καὶ τοῦτο σημεῖόν ἐστι κακόν· ὅτι εἰ τὸν ἀββᾶν αὐτῶν οὐ διετράπησαν, τίνα ἔχουσι διατραπῆναι; Τὸ δὲ μὴ διατρέπεσθαί τινι, σημεῖόν ἐστιν ἀνταρσίας λογισμοῦ, καὶ αὕτη ἡ ἀνταρσία τῆς νουθεσίας ἐστὶ τοῦ διαβόλου. Ἐξ ἀρχῆς γὰρ ἀντῆρεν ὁ διάβολος, καὶ οἱ τὸ αὐτὸ ποιοῦντες, τέκνα αὐτοῦ γίνονται.

Καὶ ποῖα γίνεται τούτοις; Οἱ τοιοῦτοι ἐξορίᾳ ἐξώρισαν ἑαυτοὺς τῆς ταπεινώσεως, φράξαντες τὰ ὦτα αὐτῶν μὴ ἀκοῦσαι τοῦ λέγοντος· «ἐὰν διώξωσιν ὑμᾶς εἰς τὴν πόλιν ταύτην, φεύγετε εἰς τὴν ἄλλην», καὶ «τῷ θέλοντι κριθῆναί σοι καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον». Οἱ δὲ τῷ κακῷ ὑπετάγησαν, τὸ δὲ κακὸν οὐδὲν ἀγαθὸν γεννᾷ· φησὶ γὰρ «οὐ δύναται σαπρὸν δένδρον καρποὺς καλοὺς ποιεῖν»· κατεπάτησαν δὲ τὴν ἀκολουθίαν τῶν πατέρων ἐν τῇ παραβάσει αὐτῶν. Οἱ πατέρες γὰρ λέγουσιν ὅτι, ‘Ἐὰν ἀπέλθῃς οἰκῆσαι εἰς τόπον, πρότερον

550

Κάποιοι ἀδελφοί, ἀφοῦ ἔφυγαν ἀπὸ κάποιο κοινόβιο, ἀγόρασαν δικά τους κελλιὰ στοὺς τόπους ὅπου ἦταν τὸ κοινόβιο χωρὶς τὴ γνώμη τοῦ ἀββᾶ τους. Λυπημένος ὁ ἀββᾶς ἐξαιτίας τους, ἐπειδὴ παρέβηκαν τοὺς κανονισμούς, ἤθελε νὰ τοὺς διώξει ἀπὸ ἐκεῖ, καὶ αὐτοὶ ἐπιχείρησαν νὰ φέρουν ἀντίρρηση. Ἐρωτήθηκε τότε ὁ ἴδιος Γέροντας γι' αὐτό, ἐὰν ἔκαναν καλὰ οἱ ἀδελφοί, καὶ τί πρέπει νὰ γίνει.

Ἀπόκριση

Βρίσκομε παντοῦ, ὅτι ἡ ἀντιλογία ἀπώλεσε πολλοὺς ἀνθρώπους· ὅπως καὶ τοὺς γύρω ἀπὸ τὸν Δαθὰν καὶ τὸν Ἀβειρών, ποὺ ἀντιστάθηκαν στὸν Μωϋσῆ. Καὶ αὐτὸ εἶναι κακὸ σημάδι· διότι, ἂν δὲν σεβάσθηκαν τὸν ἀββᾶ τους, ποιόν ἔχουν νὰ σεβασθοῦν; Τὸ νὰ μὴ σέβεσαι κάποιον, εἶναι σημάδι ἀνταρσίας τοῦ λογισμοῦ, καὶ αὐτὴ ἡ ἀνταρσία προέρχεται ἀπὸ νουθεσία τοῦ διαβόλου. Διότι ἀπὸ τὴν ἀρχὴ ἔφερε ἀντίρρηση ὁ διάβολος, καὶ αὐτοὶ ποὺ κάνουν τὸ ἴδιο, γίνονται τέκνα του.

Καὶ τί γίνεται μ' αὐτούς; Οἱ τέτοιοι ἄνθρωποι ἐξόρισαν τοὺς ἑαυτούς τους ἀπὸ τὴν ταπείνωση, ἀφοῦ ἔφραξαν τὰ αὐτιά τους γιὰ νὰ μὴ ἀκούσουν αὐτὸν ποὺ λέγει, «ἂν σᾶς διώξουν σ' αὐτὴ τὴν πόλη, νὰ φύγετε στὴν ἄλλη»[31], καὶ «σ' αὐτὸν ποὺ θέλει νὰ κριθεῖ μαζί σου καὶ νὰ πάρει τὸν χιτώνα σου, ἄφησέ του καὶ τὸ ἱμάτιό σου»[32]. Αὐτοὶ ὑποτάχθηκαν στὸ κακό, καὶ τὸ κακὸ δὲ γεννᾶ κανένα καλό· διότι λέγει, «δὲ μπορεῖ τὸ σάπιο δένδρο νὰ κάνει καλοὺς καρπούς»[33]· καταπάτησαν τὴν ἐντολὴ τῶν πατέρων μὲ τὴν παράβασή τους. Διότι οἱ πατέρες λένε, 'Ἐὰν ἀπομακρυνθεῖς γιὰ νὰ κατοικήσεις σὲ τόπο, ρώτησε προηγουμένως μήπως λυπᾶται κάποιος ἀπὸ τὴν δική σου ἐγκατάστα-

31. Ματθ. 10,23.
32. Ματθ. 5,40.
33. Ματθ. 18,2.

ἐρώτησον μήποτέ τις λυπῆται ἐν τῇ σῇ οἰκήσει'. Καὶ εἰ περὶ ἄλλων ἐντέλλονται τοῦτο οἱ πατέρες, πόσῳ μᾶλλον ἔνθα ἐστὶ λύπη τῷ ἡγουμένῳ τοῦ τοιούτου ἀνθρώπου.

Τὸ γοῦν πέρας τοῦ πράγματος τούτου οὕτως ὀφείλει γενέσθαι, ἵνα αὐτοὶ μὲν ὡς ἁμαρτήσαντες λάβωσι καὶ ἄλλους καὶ παρακαλέσωσι τὸν ἀββᾶν αὐτῶν συγχωρῆσαι αὐτοῖς καὶ μὴ ἀνταποδοῦναι κακὸν ἀντὶ κακοῦ, ὁ δὲ συγχωρήσει αὐτοῖς· γέγραπται γὰρ «ὅτι ὀφείλομεν ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν». Καὶ ὁ Κύριος λέγει· «ἐὰν μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος ἀφήσει τὰ παραπτώματα ὑμῶν»· καὶ πάλιν· «γίνεσθε τέλειοι ὡς ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστι». Καὶ οὕτω δοξάζεται ὁ Θεός, ἐκ τοῦ γενέσθαι τοῦτο εἰς οἰκοδομὴν πολλῶν.

ΦΝΑ'

Ὁ ἀββᾶς τούτου τοῦ κοινοβίου, ἐν ᾧ ἦσαν οἱ γέροντες, διετάξατο πρᾶγμα γενέσθαι, καί τινες τῶν ἀδελφῶν, ἔχοντες θέλημα, βαρέως ἤνεγκαν καὶ ἐγόγγυζον· καὶ τοῦτο μαθὼν ὁ αὐτὸς μέγας Γέρων ἐδήλωσεν αὐτοῖς τὴν ἀπόκρισιν ταύτην.

Ἀπόκρισις

Αδελφοί, εἶπεν ὁ Κύριος «τὰ ἐμὰ πρόβατα τῆς φωνῆς μου ἀκούουσι, καὶ ἐμοὶ ἀκολουθοῦσι», καὶ τὰ λοιπά. Εἴ τις οὖν ἀληθινὸς μαθητής ἐστιν, ἐν πᾶσιν ὑπακούει τῷ ἀββᾷ αὐτοῦ ἕως θανάτου, καὶ εἰς πάντα, ἃ ποιεῖ ὁ ἀββᾶς αὐτοῦ, οἰκοδομεῖται, καὶ οὐ τολμᾷ διακρῖναι τὸ λεγόμενον, οὐδὲ εἰπεῖν, 'Διατί τοῦτο; εἰς τί τοῦτο;' ἐπεὶ οὐκ ἔστι μαθητὴς τοῦ ἀββᾶ αὐτοῦ, ἀλλὰ κριτής. Ταῦτα δὲ πάντα οὐ γίνεται, εἰ μὴ ἀπὸ τοῦ κακίστου θελήματος τοῦ ἀνθρώπου. Ἐὰν οὖν ὁ ἀββᾶς τινος

---

34. Ρωμ. 15,1.
35. Ματθ. 6,15.

ση'. Καὶ ἐὰν αὐτὸ τὸ διατάζουν οἱ πατέρες γιὰ ἄλλους, πόσο μᾶλλον ὅπου ὑπάρχει λύπη στὸν ἡγούμενο αὐτοῦ τοῦ ἀνθρώπου;

Ἡ λύση λοιπὸν αὐτοῦ τοῦ πράγματος πρέπει νὰ γίνει ὡς ἑξῆς· αὐτοί, ἀφοῦ ἁμάρτησαν, πρέπει νὰ πάρουν μαζί τους καὶ ἄλλους, καὶ νὰ παρακαλέσουν τὸν ἀββᾶ τους νὰ τοὺς συγχωρήσει καὶ νὰ μὴ ἀνταποδώσει κακὸ ἀντὶ κακοῦ· καὶ αὐτὸς θὰ τοὺς συγχωρήσει, διότι ἔχει γραφεῖ· «ἐμεῖς οἱ δυνατοὶ ὀφείλομε νὰ βαστάζομε τὶς ἀδυναμίες τῶν ἀδυνάτων»[34]. Καὶ ὁ Κύριος λέγει· «ἐὰν δὲν συγχωρήσετε στοὺς ἀνθρώπους τὰ παραπτώματά τους, οὔτε ὁ Πατέρας σας ὁ οὐράνιος θὰ συγχωρήσει τὰ παραπτώματά σας»[35]· καὶ πάλι· «γίνεσθε τέλειοι, ὅπως εἶναι τέλειος ὁ οὐράνιος Πατέρας σας»[36]. Καὶ ἔτσι δοξάζεται ὁ Θεός, μὲ τὸ νὰ γίνει αὐτὸ πρὸς οἰκοδομὴ πολλῶν.

551

Ὁ ἀββᾶς αὐτοῦ τοῦ κοινοβίου, στὸ ὁποῖο ἦταν οἱ γέροντες, διέταξε κάτι νὰ γίνει· μερικοὶ ἀπὸ τοὺς ἀδελφοὺς ποὺ εἶχαν ἐγωϊστικὸ θέλημα ἔφεραν βαρέως αὐτὸ καὶ δυσανασχετοῦσαν· ὅταν τὸ ἔμαθε αὐτὸ ὁ μεγάλος Γέροντας τοὺς δήλωσε αὐτὴν τὴν ἀπάντηση.

Ἀπόκριση

Αδελφοί, ὁ Κύριος εἶπε, «τὰ δικά μου πρόβατα ἀκοῦν τὴ φωνή μου καὶ μὲ ἀκολουθοῦν»[37] καὶ τὰ λοιπά. Ὅποιος λοιπὸν εἶναι ἀληθινὸς μαθητὴς ὑπακούει τὸν ἀββᾶ του σὲ ὅλα μέχρι θανάτου, καὶ μὲ ὅλα ὅσα κάνει ὁ ἀββᾶς του οἰκοδομεῖται καὶ δὲν τολμᾶ ν' ἀμφισβητήσει τὸ λεγόμενο, οὔτε νὰ πεῖ, 'γιατί αὐτό; πρὸς τί τοῦτο;' διότι ἔτσι δὲν εἶναι μαθητὴς τοῦ ἀββᾶ του, ἀλλὰ κριτής. Ὅλα αὐτὰ δὲν γίνονται ἀπὸ ἄλλο λόγο, παρὰ ἀπὸ τὸ κάκιστο θέλημα τοῦ ἀνθρώπου. Ἐὰν λοιπὸν ὁ ἀβ-

36. Ματθ. 5,48.
37. Ἰω. 10,27.

εἴπῃ γενέσθαι πρᾶγμα, ἀντιλέξῃ δὲ ὁ μαθητής, φανερόν ἐστιν ὅτι τὸν λόγον αὐτοῦ θέλει στῆσαι καὶ καταργῆσαι τὸν λόγον τοῦ ἀββᾶ· διακρίνει οὖν ὁ τοιοῦτος, τίς ἐστιν ὁ ἀββᾶς ἐκεῖνος, οὗ κατηργήθη ὁ λόγος, ἢ οὗ ὁ λόγος ἐγένετο.

Εἴ τις οὖν θέλει τὸ ἴδιον θέλημα ποιῆσαι, υἱός ἐστι τοῦ διαβόλου, καὶ εἴ τις ποιεῖ τὸ θέλημα τοῦ τοιούτου, τὸ θέλημα τοῦ διαβόλου ποιεῖ· ἐὰν δὲ καὶ ποιήσῃ οὗτος τὸ θέλημα αὐτοῦ, οὐδὲ οὕτω λαμβάνει ἀνάπαυσιν. Καὶ τί ἐστι τὰ μεταξύ, ἀλλ' ἢ ἀνηκοΐα, ἥτις ἐστὶν ἀπώλεια ψυχῆς;

Εἴ τις οὖν βλέπει ἑαυτὸν εἰς τὸν ἀββᾶν αὐτοῦ σκανδαλιζόμενον, ὀφείλει ἀναχωρῆσαι ἀπ' αὐτοῦ καὶ μὴ ἀπολέσαι τὴν ψυχὴν αὐτοῦ καὶ βαστάξαι τὸ κρῖμα ἄλλων, οὓς διαστρέφει, μὴ γινώσκων εἰ καλῶς ἢ κακῶς ἐποίησεν ὁ ἀββᾶς, ἀλλὰ σκανδαλιζόμενος ἀκαίρως διὰ τὸ ἴδιον θέλημα. Εἰ γὰρ καὶ ἐγένετο αὐτοῦ τὸ θέλημα, δικαιότερος τοῦ αὐτοῦ ἀββᾶ οὐδεὶς ἦν. Εἰ δὲ καὶ κάλλιον τοῦ ἀββᾶ αὐτοῦ οἶδε τὸ συμφέρον, καὶ τί ἔτι μαθητεύεται παρ' αὐτοῦ; Ἀπέλθῃ καὶ αὐτὸς καὶ μαθητεύσῃ ἄλλους. Μὴ πλανᾶσθε ὑπὸ τοῦ διαβόλου καὶ μείνετε ἔχοντες τὸ θέλημα ὑμῶν εἰς βλάβην ὑμῶν· οὐδέποτε γὰρ γίνεται θέλημα ὑμῶν· κακία γὰρ κακίαν οὐκ ἀναιρεῖ, ἀλλ' ὅταν ἀφῆτε τὸ θέλημα ὑμῶν τῷ Θεῷ, αὐτὸς ποιεῖ ὡς θέλει.

Ἐγώ, ἀδελφοί, ὡς οἶδεν ὁ Θεός, φειδόμενος ἔγραψα ὑμῖν. Εἴ τις οὖν δέχεται, ἔσται αὐτῷ εἰς σωτηρίαν, καὶ εἴ τις οὐ δέχεται, ἐὰν θέλῃ πτύσαι εἰς τὰ γραφέντα, ἐν αὐτῷ ἐστι· καθὼς ἤδη τινὲς εἰς τὴν καρδίαν, τινὲς δὲ καὶ ἐν τῷ στόματι κατελάλησαν ἡμῶν. Συγχωρήσατέ μοι.

ΦΝΒ'

Ἀπόκρισις *τοῦ αὐτοῦ μεγάλου Γέροντος πρός τινα τῶν πατέρων ἐρωτήσαντα,*

Εἰ χρὴ σφοδρῷ ἐπιτιμίῳ παιδεῦσαι τὸν ἴδιον μαθητὴν ἀντιλέγοντα.

βᾶς πεῖ σὲ κάποιον νὰ γίνει κάτι, φέρει ὅμως ἀντίρρηση ὁ μαθητής, εἶναι φανερὸ ὅτι θέλει νὰ ἐπιβάλει τὸν λόγο του καὶ νὰ καταργήσει τὸν λόγο τοῦ ἀββᾶ· ἂς διακρίνει λοιπὸν αὐτὸς ὁ ἄνθρωπος ποιός εἶναι ἐκεῖνος ὁ ἀββᾶς τοῦ ὁποίου ὁ λόγος καταργήθηκε ἢ αὐτὸς τοῦ ὁποίου ὁ λόγος ἔγινε.

Ὅποιος λοιπὸν θέλει νὰ κάνει τὸ δικό του θέλημα, εἶναι γιὸς τοῦ διαβόλου· καὶ ὅποιος κάνει τὸ θέλημα αὐτοῦ, κάνει τὸ θέλημα τοῦ διαβόλου· καὶ ἂν αὐτὸς κάνει τὸ θέλημα αὐτοῦ, οὔτε ἔτσι δὲν βρίσκει ἀνάπαυση. Καὶ τί εἶναι τὰ ἐνδιάμεσα, παρὰ ἀνυπακοή, ἡ ὁποία εἶναι ἀπώλεια ψυχῆς;

Ὅποιος λοιπὸν βλέπει τὸν ἑαυτό του νὰ σκανδαλίζεται μὲ τὸν ἀββᾶ του, ὀφείλει ν' ἀπομακρυνθεῖ ἀπ' αὐτόν, γιὰ νὰ μὴ χάσει τὴν ψυχή του καὶ νὰ μὴ βαστάξει τὸ κρῖμα ἄλλων, τοὺς ὁποίους διαστρέφει, ἀφοῦ δὲ γνωρίζει ἂν ἐνέργησε ὁ ἀββᾶς καλῶς ἢ κακῶς, ἀλλὰ σκανδαλίζεται ἀκαίρως ἐξαιτίας τοῦ θελήματός του. Διότι, ἂν καὶ ἔγινε τὸ θέλημά του, κανένας δὲν ἦταν δικαιότερος τοῦ ἀββᾶ του. Ἂν ὅμως γνωρίζει τὸ συμφέρον του καλύτερα ἀπὸ τὸν ἀββᾶ του, τότε γιατί συνεχίζει νὰ εἶναι μαθητὴς αὐτοῦ; Ἂς ἀπομακρυνθεῖ καὶ αὐτὸς καὶ ἂς μαθητεύσει ἄλλους. Μὴ πλανιέσθε ἀπὸ τὸν διάβολο καὶ μείνετε μὲ τὸ θέλημά σας πρὸς βλάβη σας. Διότι ποτὲ δὲν γίνεται τὸ θέλημά σας· διότι ἡ κακία δὲν ἀναιρεῖ τὴν κακία, ἀλλὰ ὅταν ἀφήνετε τὸ θέλημά σας στὸ Θεό, αὐτὸς ἐνεργεῖ ὅπως θέλει.

Ἐγώ, ἀδελφοί, ὅπως γνωρίζει ὁ Θεός, σᾶς ἔγραψα ἀπὸ συμπάθεια. Ὅποιος λοιπὸν τὰ δέχεται αὐτά, θὰ εἶναι γιὰ σωτηρία του, καὶ ὅποιος δὲν τὰ δέχεται, ἐὰν θέλει νὰ φτύσει στὰ γραπτὰ εἶναι στὸ χέρι του, ὅπως ἤδη μὲ κατηγόρησαν μερικοὶ μὲ τὴν καρδιὰ καὶ μερικοὶ μὲ τὸ στόμα. Συγχωρέστε με.

552

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς κάποιον ἀπὸ τοὺς πατέρες ποὺ ἐρώτησε,

Ἐὰν πρέπει νὰ παιδεύει μὲ βαρειὰ τιμωρία τὸν μαθητή του ὅταν ἀντιλέγει.

Ἀπόκρισις

Αδελφὲ ἀγαπητέ, γνῶθι τὸν καιρόν, ὅτι πονηρός ἐστιν· ἐπεὶ καλὴ καὶ θαυμαστὴ ἡ παιδεία καὶ πολλὰς ἔχει μαρτυρίας· φησὶ γάρ, «ὃν ἀγαπᾷ Κύριος παιδεύει»· καὶ πάλιν, «μακάριος ἄνθρωπος, ὃν ἂν παιδεύσῃ Κύριος» καὶ τὰ λοιπά. Ὁ ἀδελφὸς ὑπὸ τῆς σκληροκαρδίας πολεμεῖται, ἀλλὰ βάστασον καὶ συγκοπίασον αὐτῷ καὶ «ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον» κατὰ τὸν τοῦ Ἀποστόλου λόγον, καὶ ἐὰν δέξηται ταύτην τὴν παιδείαν, πάλιν ἀνακτᾶται· ἐξύπνισον αὐτὸν ἀπὸ τοῦ βαθυτάτου ὕπνου τῆς σκληροκαρδίας. Ἐὰν γὰρ παχυνθῇ τὸ τῶν ἀκανθῶν κώδιον αὐτοῦ, ἐν αὐτῷ πένθος μέγα καὶ ἀφόρητον· ἐὰν δὲ κοπιάσῃ ἀνασπᾶσαι τὰς ἀκάνθας ἕως εἰσὶ βοτάναι, δύναται διὰ τάχους ἀπαλλαγῆναι τοῦ τοιούτου πάθους· ἐὰν δὲ σκληρυνθῇ τὸ ἀκάνθιον, κόπῳ καὶ μόχθῳ μετὰ πόνων ἀνασπᾶται. Εἰπὲ οὖν αὐτῷ προσέχειν ἑαυτῷ σπουδαίως.

ΦΝΓ'

Ἀπόκρισις

Τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς ἀδελφὸν τὴν τεκτονικὴν ἐργαζόμενον ἐν τῷ κοινοβίῳ καὶ ὑπὸ διαφόρων λογισμῶν πολεμούμενον, καὶ ἐνθυμηθέντα, ὅτι 'οὐδὲν ὠφελοῦμαι ὧδε, οὐδὲ ἔσχον ἐνταῦθά τινα βοήθειαν'.

Αδελφέ, ἡμεῖς ἐσμεν οἱ μὴ θέλοντες εὐλυτῶσαι ἀπὸ κακῶν ἡμερῶν καὶ δεινῶν θλίψεων· δύο γὰρ χαρίσματα δέδωκεν ὁ Θεὸς τοῖς ἀνθρώποις, δι' ὧν δύνανται σωθῆναι καὶ λυτρωθῆναι πάντων τῶν παθῶν τοῦ παλαιοῦ ἀνθρώπου, ταπείνωσιν καὶ ὑπακοήν· καὶ οὐχ ἁρπάζομεν αὐτάς, οὐδὲ θέλομεν εἰς αὐτὰς πολιτεύεσθαι, οὐδὲ παρελθεῖν δι' αὐτῶν, ἵνα εὕρωμεν βοήθειαν καὶ ῥυσθῶμεν ἀπὸ κακῶν καὶ κολληθῶ-

---

38. Ἑβρ. 12,6.
39. Ψαλμ. 93,12.

Αγαπητὲ ἀδελφέ, κατανόησε τὸν καιρό, διότι εἶναι πονηρός. Πράγματι εἶναι καλὴ καὶ θαυμαστὴ ἡ παιδεία καὶ ἔχει πολλὲς μαρτυρίες· διότι λέγει, «ὁ Κύριος παιδεύει ὅποιον ἀγαπᾶ»[38]· καὶ πάλι, «μακάριος ὁ ἄνθρωπος ποὺ θὰ τὸν παιδεύσει ὁ Κύριος»[39] καὶ τὰ λοιπά. Ὁ ἀδελφὸς πολεμεῖται ἀπὸ τὴ σκληροκαρδία· ἀλλὰ ἐσὺ βάσταξε καὶ συγκοπίασε μαζὶ μ' αὐτὸν καὶ «ἔλεγξε, ἐπιτίμησε, παρακάλεσε»[40] σύμφωνα μὲ τὸ λόγο τοῦ Ἀποστόλου· καὶ ἂν θὰ δεχθεῖ αὐτὴν τὴν παιδεία, πάλι ἀνακτᾶται· ξύπνισέ τον ἀπὸ τὸν βαθύτατο ὕπνο τῆς σκληροκαρδίας. Διότι, ἂν παχύνει τὸ στρῶμα τῶν ἀκανθῶν του, θὰ ὑπάρξει σ' αὐτὸν μεγάλο καὶ ἀφόρητο πένθος· ἂν κοπιάσει νὰ ἀποσπάσει τὰ ἀκάνθια ὅταν εἶναι ἀκόμη βότανα, μπορεῖ γρήγορα ν' ἀπαλλαγεῖ ἀπὸ αὐτὸ τὸ πάθος. Ἐὰν ὅμως σκληρύνει τὸ ἀκάνθι, ἀποσπᾶται μὲ κόπο, μόχθο καὶ μὲ πόνους. Πὲς λοιπὸν σ' αὐτὸν νὰ προσέχει πολὺ σοβαρὰ τὸν ἑαυτό του.

553

Ἀπόκριση

Τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἀδελφὸ ποὺ ἀσκοῦσε τὴν ξυλουργικὴ τέχνη στὸ κοινόβιο καὶ πολεμοῦνταν ἀπὸ διαφόρους λογισμούς, καὶ σκέφθηκε ὅτι 'καθόλου δὲν ὠφελοῦμαι ἐδῶ, οὔτε ἔλαβα ἐδῶ καμμιὰ βοήθεια'.

Αδελφέ, ἐμεῖς εἴμαστε ποὺ δὲν θέλομε νὰ ἐλευθερωθοῦμε ἀπὸ τὶς κακὲς ἡμέρες καὶ ἀπὸ τὶς φοβερὲς θλίψεις· διότι ὁ Θεὸς ἔχει δώσει στοὺς ἀνθρώπους δύο χαρίσματα, μὲ τὰ ὁποῖα μποροῦν νὰ σωθοῦν καὶ νὰ λυτρωθοῦν ἀπὸ ὅλα τὰ πάθη τοῦ παλαιοῦ ἀνθρώπου, τὴν ταπείνωση καὶ τὴν ὑπακοή· ἐμεῖς ὅμως δὲν τὶς ἁρπάζομε, οὔτε θέλομε νὰ ζήσομε μ' αὐτές, οὔτε νὰ περάσομε μ' αὐτὲς γιὰ νὰ βροῦμε βοήθεια, ν' ἀπαλλαγοῦμε ἀπὸ τὰ κακὰ καὶ νὰ προσκολληθοῦμε μ'

40. Β' Τιμ. 4,2.

μεν δι' αὐτῶν τῷ μεγάλῳ ἰατρῷ Ἰησοῦ, τῷ δυναμένῳ ἡμᾶς θεραπεῦσαι ἀπὸ τῆς φλεγμονῆς αὐτῶν.

Τί ἀποτίθῃς πάντα τὰ κακὰ ἐν τῷ ταμείῳ σου καὶ ταράττῃ καὶ ἀδημονεῖς; Παῦσαι τοῦ εἶναι ὀργίλος, θυμώδης τε καὶ φθονερός. Γνῶθι ὅτι οἱ τοιοῦτοι ἄτιμοι καὶ οὐκ ἔντιμοί εἰσιν. Ἄφες πάσας τὰς στραγγαλλιὰς καὶ κάμψον τὸν αὐχένα τῇ ταπεινώσει καὶ ὑπακοῇ, καὶ εὑρίσκεις ἔλεος. Ἐὰν μετὰ ταπεινώσεως καὶ ὑπακοῆς ποιήσῃς ὅ,τι ἀκούεις, οὐ μόνον τὸ ἔργον ὃ νῦν ποιεῖς κατευοδοῖ ὁ Κύριος εἰς τὰς χεῖράς σου, ἀλλὰ καὶ πάντα τὰ ἔργα σου κατευοδοῖ, ὁδὸν γὰρ τῶν φοβουμένων αὐτὸν φυλάττει καὶ σκεπάζει τὰς πορείας αὐτῶν.

Τί δυσχεραίνεις; τί φιλονεικεῖς; Τὸ ἔλεος τοῦ Θεοῦ συναντιλαμβάνεταί σου, ἐὰν προσκαρτερήσῃς τῇ τοῦ Θεοῦ ὑπομονῇ. Ἀπόθανε, ταλαίπωρε, ἀπὸ παντὸς ἀνθρώπου. Εἰπὲ τῷ λογισμῷ· 'Τίς εἰμι ἐγώ; γῆ καὶ σποδὸς καὶ κύων'. Εἰπέ, 'καθάπαξ πρᾶγμα οὐκ ἔχω'. Τί μαντεύεις σεαυτῷ ἀπώλειαν καὶ οὐ φοβῇ τὸν Θεόν; Οὐκ αἰσχύνῃ λέγων, 'οὐκ ἔλαβον ὧδε βοήθειαν'; Τυφλοῖ ὁ Σατανᾶς τὴν καρδίαν σου φέρων σε εἰς ἀχαριστίαν, ὅτι οὐκ ὠφελῇ ἐν τῷ ἁγίῳ τόπῳ τούτῳ. Ἀσύνετε ἄνθρωπε, εἰ μὴ ἡ χεὶρ τοῦ Θεοῦ καὶ αἱ ἅγιαι εὐχαὶ τῶν ἐνταῦθα ἁγίων διεφύλαττόν σε, ποὺ εἶχες εἶναι, ἀλλ' ἢ εἰς τὸ σκότος τὸ ἐξώτερον; Ποῦ εἶχες ὠφεληθῆναι οὕτως; Οὐδαμοῦ. Ἀλλ' ὁ διάβολος, θέλων ἀπαλλοτριῶσαί σε τῆς τῶν ἁγίων γνησιότητος, σκέπης τε καὶ ὠφελείας, σπείρει εἰς σὲ σπόρον θανάτου εἰς ἀπώλειαν, ἵνα τελείως ἔλθῃς εἰς τὰς χεῖρας αὐτῶν τῶν ἐχθρῶν τῆς ἀληθείας καὶ σπαράξωσι τὴν ἀμνάδα, τὴν ψυχὴν λέγω.

Μὴ πρόσχῃς τινὶ ἐξουθενῶν ἢ ἐκμυκτηρίζων· σὲ γὰρ παγιδεύουσιν ἐν τούτοις, σὲ ταράσσοντες, σὲ βλάπτουσιν, ἐξώρισάν σε ποιοῦντες ἀπὸ γαλήνης καὶ εἰρήνης, εὐσταθείας τε καὶ συνέσεως καὶ παντὸς ἀγαθοῦ. Ἄφες ταῦτα καὶ ἀκολούθει τοῖς λόγοις μου, καὶ βαστάζω σου τὸ φορτίον, καὶ εὑρίσκεις βοήθειαν καὶ ἔλεος καὶ σωτηρίαν τῇ ψυχῇ σου.

---

41. Γεν. 18,27.

αὐτὲς στὸν μεγάλο γιατρὸ Ἰησοῦ, ποὺ μπορεῖ νὰ μᾶς θεραπεύσει ἀπὸ τὴ φλεγμονή τους.

Γιατί ἀποθέτεις ὅλα τὰ κακὰ στὸ ταμεῖο σου καὶ ταράζεσαι καὶ ἀδημονεῖς; Παῦσε νὰ εἶσαι ὀργίλος καὶ θυμώδης καὶ φθονερός. Μάθε ὅτι οἱ τέτοιοι ἄνθρωποι εἶναι ἄτιμοι καὶ δὲν εἶναι ἔντιμοι· ἄφησε ὅλες τὶς στριγγλιὲς καὶ σκύψε τὸν αὐχένα μὲ ταπείνωση καὶ ὑπακοή, καὶ θὰ βρεῖς ἔλεος. Ἐὰν κάνεις μὲ ταπείνωση καὶ ὑπακοὴ ὅ,τι ἀκοῦς, ὄχι μόνο τὸ ἔργο ποὺ κάνεις τώρα θὰ τὸ βοηθήσει ὁ Κύριος στὰ χέρια σου, ἀλλὰ καὶ ὅλα τὰ ἔργα σου θὰ τὰ βοηθεῖ, διότι φυλάγει τὸν δρόμο ἐκείνων ποὺ τὸν φοβοῦνται καὶ προστατεύει τὶς πορεῖες τους.

Γιατί δυσανασχετεῖς; γιατί φιλονεικεῖς; Τὸ ἔλεος τοῦ Θεοῦ θὰ ἔρθει σὲ σένα, ἐὰν θὰ μείνεις προσηλωμένος στὴν ὑπομονὴ τοῦ Θεοῦ. Πέθανε, ταλαίπωρε, ἀπὸ κάθε ἄνθρωπο. Πὲς στὸ λογισμό σου· 'Ποιός εἶμαι ἐγώ; χῶμα καὶ στάχτη[41] καὶ σκύλος'. Πές, 'δὲν ἔχω τίποτα ἀπολύτως'. Γιατί μαντεύεις γιὰ τὸν ἑαυτό σου ἀπώλεια καὶ δὲν φοβᾶσαι τὸν Θεό; δὲν ντρέπεσαι νὰ λές, 'δὲν ἔλαβα ἀπὸ δῶ βοήθεια'; Ὁ Σατανᾶς τυφλώνει τὴν καρδιά σου ὁδηγώντας σε σὲ ἀχαριστία, ὅτι τάχα δὲν ὠφελήθηκες σ' αὐτὸν τὸν ἅγιο τόπο. Ἀσύνετε ἄνθρωπε, ἐὰν τὸ χέρι τοῦ Θεοῦ καὶ οἱ ἅγιες προσευχὲς τῶν ἐδῶ ἁγίων δὲν σὲ φύλαγαν, ποῦ θὰ ἤσουν, παρὰ στὸ ἐξώτερο σκότος; Ποῦ θὰ μποροῦσες νὰ ὠφεληθεῖς τόσο; Πουθενά. Ἀλλὰ ὁ διάβολος, θέλοντας νὰ σὲ ἀποξενώσει ἀπὸ τὴ γνησιότητα καὶ τὴν προστασία καὶ τὴν ὠφέλεια τῶν ἁγίων, σπείρει σὲ σένα σπόρο θανάτου γιὰ τὴν ἀπώλεια, γιὰ νὰ ἔλθεις ἐντελῶς στὰ χέρια αὐτῶν τῶν ἐχθρῶν τῆς ἀλήθειας καὶ νὰ σπαράξουν τὴν ἀμνάδα, δηλαδὴ τὴν ψυχή.

Νὰ μὴ προσέχεις κάποιον ἐξουθενώνοντας ἢ ἐμπαίζοντάς τον· διότι ἐσένα παγιδεύουν μ' αὐτὰ ταράζοντάς σε, ἐσένα βλάπτουν, ἐσένα ἐξόρισαν ἀπομακρύνοντάς σε ἀπὸ τὴ γαλήνη, τὴν εἰρήνη, τὴν εὐστάθεια, τὴ σύνεση καὶ κάθε ἀγαθό. Ἄφησε αὐτὰ καὶ ἀκολούθησε τὰ λόγια μου, καὶ ἐγὼ θὰ βαστάζω τὸ φορτίο σου· καὶ θὰ βρεῖς βοήθεια καὶ ἔλεος καὶ σωτηρία γιὰ τὴν ψυχή σου.

Κόπῳ σωζόμεθα, ἀδελφέ. Ἀναγκαίως δὲ φύλαξον μὴ εἰπεῖν· 'Τί τοῦτο; διατί τοῦτο; διατί οὐκ ἔχω τὰ ἴσα τῶνδε ἢ τῶνδε;' Τὸ μικρὸν ἐργόχειρον ποίει ἐπιμελῶς μετὰ φόβου Θεοῦ, ὑπὲρ οὗ οὐ μικρὸν ἔχεις τὸν μισθόν. Καὶ μὴ ἀπελπίσῃς σεαυτοῦ· ἡ χαρὰ γὰρ τοῦ διαβόλου ἐστὶν αὕτη, εἰς ἣν μὴ δώῃ αὐτῷ ὁ Θεὸς χαρῆναι, ἀλλὰ θρηνῆσαι μᾶλλον ἐπὶ τῇ σωτηρίᾳ σου, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΦΝΔ'

Ἐρώτησις

Ὁ αὐτὸς ἀδελφὸς ἠρώτησε τὸν ἄλλον γέροντα.

Ὁ λογισμὸς λέγει μοι ὅτι, 'Εἰ θέλεις σωθῆναι, ἔξελθε ἀπὸ τοῦ κοινοβίου καὶ ἄσκει σιωπήν, ἣν εἶπον οἱ πατέρες· οὐκ ὠφελοῦμαι γὰρ εἰς τὴν τεκτονικὴν ταύτην τέχνην· πολλὴ γὰρ ἐξέρχεταί μοι ἐκ ταύτης ταραχὴ καὶ θλῖψις'.

***Ἀπόκρισις** Ἰωάννου.*

Αδελφέ, καὶ ἤδη σοι ἐδηλώθη ὅτι οὐ συμφέροι σοι ἐξελθεῖν ἀπὸ τοῦ κοινοβίου. Καὶ νῦν λέγω σοι ὅτι, ἐὰν ἐξέλθῃς, εἰς πτῶσιν ἔρχῃ. Λοιπὸν σὺ οἶδας τί ποιεῖς. Εἰ δὲ μετὰ ἀληθείας σωθῆναι θέλεις, κτῆσαι ταπείνωσιν, ὑπακοὴν καὶ ὑποταγήν, τουτέστι τὸ κόψαι τὸ ἴδιον θέλημα, καὶ ζῇς ἐν τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς.

Περὶ δὲ ἧς λέγουσιν οἱ πατέρες σιωπῆς, οὐκ οἶδας τί ἐστιν, οὐδὲ πολλοί· οὐ γὰρ τὸ σιωπῆσαι στόματί ἐστιν αὕτη ἡ σιωπή. Ἔστι γὰρ ἄνθρωπος λαλῶν μυρίους λόγους χρησίμους καὶ σιωπὴ αὐτῷ λογίζεται, καὶ ἔστιν ἄλλος λαλῶν ἕνα λόγον ἀργὸν καὶ εἰς καταπάτησιν λογίζεται αὐτῷ τῶν τοῦ Σωτῆρος μαθημάτων· αὐτὸς γὰρ εἶπεν ὅτι «μέλλετε δώσειν λόγον ἐν ἡμέρᾳ κρί-

Μὲ κόπο θὰ σωθοῦμε, ἀδελφέ. Μὲ κάθε προσπάθεια φυλάξου νὰ μὴ πεῖς· 'Τί εἶναι αὐτό; γιατί τοῦτο; γιατί δὲν ἔχω τὰ ἴσα μὲ αὐτοὺς ἢ ἐκείνους;' Κάμνε τὸ μικρὸ ἐργόχειρο μὲ ἐπιμέλεια καὶ φόβο Θεοῦ, γιὰ τὸ ὁποῖο δὲν θὰ ἔχεις μικρὴ ἀμοιβή. Καὶ μὴ ἀπελπισθεῖς, διότι αὐτὴ εἶναι ἡ χαρὰ τοῦ διαβόλου. Εἴθε νὰ μὴ δώσει ὁ Θεὸς νὰ δοκιμάσει αὐτὴ τὴ χαρὰ ὁ διάβολος, ἀλλὰ νὰ θρηνήσει μᾶλλον γιὰ τὴ σωτηρία σου, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο

554

Ἐρώτηση

Ὁ ἴδιος ἀδελφὸς ἐρώτησε τὸν ἄλλο γέροντα.

> Ὁ λογισμός μοῦ λέγει· '"Αν θέλεις νὰ σωθεῖς, βγὲς ἀπὸ τὸ κοινόβιο καὶ ἄσκησε τὴ σιωπή, τὴν ὁποία εἶπαν οἱ πατέρες· διότι δὲν ὠφελοῦμαι σ' αὐτὴν τὴν ξυλουργικὴ τέχνη, καθόσον πολλὴ ταραχὴ καὶ θλίψη μοῦ ἔρχεται ἀπὸ αὐτή'.

Ἀπόκριση Ἰωάννου.

Αδελφέ, καὶ ἤδη σοῦ δηλώθηκε ὅτι δὲν σοῦ συμφέρει νὰ φύγεις ἀπὸ τὸ κοινόβιο. Καὶ τώρα σοῦ λέγω ὅτι, ἂν φύγεις, ὁδηγεῖσαι σὲ πτώση. Ἐσὺ λοιπὸν γνωρίζεις τί θὰ κάνεις. Ἐὰν ὅμως θέλεις πραγματικὰ νὰ σωθεῖς, ἀπόκτησε ταπείνωση, ὑπακοὴ καὶ ὑποταγή, δηλαδὴ νὰ κόψεις τὸ θέλημά σου, καὶ θὰ ζήσεις καὶ στὸν οὐρανὸ καὶ στὴ γῆ.

Ὅσο γιὰ τὴ σιωπὴ γιὰ τὴν ὁποία ὁμιλοῦν οἱ πατέρες, δὲν γνωρίζεις τί εἶναι αὐτή, οὔτε οἱ πολλοὶ γνωρίζουν· διότι αὐτὴ ἡ σιωπὴ δὲν εἶναι τὸ νὰ σιωπήσεις μὲ τὸ στόμα. Πράγματι ὑπάρχει ἄνθρωπος ποὺ λέγει μύρια χρήσιμα λόγια καὶ θεωρεῖται σιωπὴ γι' αὐτόν· καὶ ὑπάρχει ἄλλος ποὺ λέγει ἕνα ἀργὸ λόγο καὶ θεωρεῖται σὰν καταπάτηση τῶν μαθημάτων τοῦ Σωτήρα ἀπὸ αὐτόν· διότι αὐτὸς εἶπε ὅτι «πρόκειται νὰ δώσετε λόγο

σεως ὑπὲρ παντὸς ἀργοῦ λόγου ἐκπορευομένου ἐκ τοῦ στόματος ὑμῶν». Καὶ ἐπειδὴ λέγεις, ὅτι 'οὐκ ὠφελοῦμαι εἰς τὴν τεκτονικήν'· πείσθητί μοι, ἀδελφέ, εἰ ὠφελῇ οὐκ οἶδας, ἀλλὰ χλευάσματά εἰσι δαιμόνων, καὶ δεικνύουσι τῷ λογισμῷ σου εἴ τι θέλουσι, πρὸς τὸ στῆσαι τὸ θέλημά σου καὶ παρακοῦσαι τῶν πατέρων σου. Ὁ γὰρ θέλων ἐπιστῆναι τῇ ἀληθείᾳ, ἐρωτᾷ τοὺς πατέρας, 'εἰ ὠφελοῦμαι ἢ βλάπτομαι', καὶ πρὸς ὃ λέγουσι πιστεύει καὶ ποιεῖ ὃ ὠφελεῖ. Πολλοὶ ἔδωκαν μισθάρια ἵνα ὑβρισθῶσι καὶ μάθωσιν ὑπομονήν, καὶ σὺ ἄνευ τοῦ κέρματός σου μανθάνεις ὑπομονήν, τοῦ Κυρίου λέγοντος «ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν». Εὐχαριστῆσαι ὀφείλομεν τῷ θλίβοντι ἡμᾶς, ὅτι δι' αὐτοῦ κτώμεθα ὑπομονήν. Καλῶς κάθῃ, μὴ πειράσῃ σε ὁ διάβολος.

Ὁ Κύριος βοηθήσοι σοι. Ἀμήν.

ΦΝΕ'

Ἐρώτησις

Ἀδελφὸς ἠρώτησε τὸν αὐτὸν γέροντα λέγων.

Ἐπειδὴ ὁ ἀββᾶς πάσχει ἀπολογίαν ὑπὲρ ἐμοῦ, πῶς ὀφείλω ἐρωτᾶν αὐτόν; κελεύεις ποιήσω τόδε τὸ πρᾶγμα;

Ἀπόκρισις

Ἵνα μὴ λέγῃς τὸ θέλημα ἐν πράγματι, λέγε· 'Τί κελεύεις ποιήσω;' Ὁ γὰρ ἔχων θέλημα καὶ ἐρωτῶν περὶ τοῦ πράγματος, κἂν ἐπιτραπῇ ποιῆσαι αὐτό, αὐτὸς βαστάζει τὸν κίνδυνον· ἰδίῳ γὰρ θελήματι ποιεῖ.

ΦΝS'

Ἐρώτησις

Τί οὖν, ὅτε ἔχω μὲν θέλημα, οὐκ ἠρώτησα δὲ εἰδικῶς

42. Ματθ. 12,36. 43. Λουκᾶ 21,19.

κατὰ τὴν ἡμέρα τῆς κρίσεως γιὰ κάθε ἀργὸ λόγο ποὺ βγαίνει ἀπὸ τὸ στόμα σας»[42]. Καὶ ἐπειδὴ λές, 'δὲν ὠφελοῦμαι στὴν ξυλουργικὴ τέχνη', πίστεψέ με, ἀδελφέ, δὲν γνωρίζεις ἂν ὠφελεῖσαι· ἀλλ' αὐτὰ εἶναι χλευάσματα δαιμόνων καὶ δείχνουν στὸ λογισμό σου ὅ,τι θέλουν, γιὰ νὰ στήσεις τὸ δικό σου θέλημα καὶ νὰ παρακούσεις τοὺς πατέρες σου. Διότι αὐτὸς ποὺ θέλει νὰ γνωρίσει τὴν ἀλήθεια ἐρωτᾶ τοὺς πατέρες, 'ἂν ὠφελοῦμαι ἢ βλάπτομαι', καὶ πιστεύει σ' αὐτὸ ποὺ λένε καὶ κάνει αὐτὸ ποὺ ὠφελεῖ. Πολλοὶ ἔδωσαν μισθοὺς γιὰ νὰ ὑβρισθοῦν καὶ νὰ μάθουν τὴν ὑπομονὴ καὶ σὺ μαθαίνεις τὴν ὑπομονὴ χωρὶς τὸ νόμισμά σου, τὴ στιγμὴ ποὺ ὁ Κύριος λέγει «μὲ τὴν ὑπομονή σας θὰ ἀποκτήσετε τὶς ψυχές σας»[43]. Ὀφείλομε νὰ εὐχαριστήσομε αὐτὸν ποὺ μᾶς θλίβει, διότι ἀποκτοῦμε δι' αὐτοῦ ὑπομονή· κάθησε σωστά, καὶ δὲ θὰ σὲ πειράξει ὁ διάβολος.

Εἴθε νὰ σὲ βοηθήσει ὁ Κύριος. Γένοιτο.

555

Ἐρώτηση

Ἀδελφὸς ἐρώτησε τὸν ἴδιο γέροντα καὶ τοῦ εἶπε.

Ἐπειδὴ ὁ ἀββᾶς μοῦ ζητᾶ ἀπολογία, πῶς ὀφείλω νὰ τὸν ἐρωτῶ; διατάζεις νὰ τὸ κάνω αὐτὸ τὸ πρᾶγμα;

Ἀπόκριση

Γιὰ νὰ μὴ λὲς τὸ θέλημά σου σὲ κάποιο πρᾶγμα, λέγε· 'Τί προστάζεις νὰ κάνω;' Διότι αὐτὸς ποὺ ἔχει θέλημα σ' ἕνα κάποιο πρᾶγμα καὶ ἐρωτᾶ γι' αὐτό, κι ἂν τοῦ ἐπιτραπεῖ νὰ τὸ κάνει, αὐτὸς ὁ ἴδιος βαστάζει τὸν κίνδυνο· διότι τὸ κάνει μὲ τὸ δικό του θέλημα.

556

Ἐρώτηση

Τί γίνεται ὅμως, ὅταν ἔχω βέβαια θέλημα, δὲν ἐρώτησα

περὶ τοῦ πράγματος, ἀλλ' αὐτὸς ὁ ἀββᾶς ἀφ' ἑαυτοῦ ἐπέτρεψέ μοι ποιῆσαι αὐτό; Μὴ λογίζηταί μοι εἰς θέλημα;

Ἀπόκρισις

Εἰπὲ αὐτῷ ὅτι, Ἔχω θέλημα εἰς αὐτό· τί οὖν κελεύεις;' Καὶ ἐὰν εἴπῃ σοι ποιῆσαι αὐτό, θελήματι αὐτοῦ εὑρίσκεται, ἐὰν δὲ ἄλλο σοι παράσχῃ ἔργον, μετὰ χαρᾶς τοῦτο κατάδεξαι.

ΦΝΖ'

Ἐρώτησις

Εἰ δὲ ὅτε οὐκ ἔχω θέλημα εἰς αὐτό, ἀλλὰ νομίζων θεραπεύειν τὸν ἀββᾶν, εἴπω αὐτῷ περὶ τούτου, εἰδὼς ὅτι ἡδέως ἔχει αὐτὸ γενέσθαι, ἤγουν ἐγὼ ἔτυχον ἐπιτραπεὶς αὐτὸ ποιῆσαι καὶ οὐκ ἐτελειώθη, καὶ ὑπέμνησα ἵνα τελειωθῇ, μὴ καὶ τοῦτο ἄτοπον;

Ἀπόκρισις

Κάλλιόν ἐστι τὸ ἀναμεῖναι ἀκοῦσαι παρ' αὐτοῦ· ἐὰν δὲ βλέπῃς αὐτὸν ἀποροῦντα τίνι ἐπιτρέψαι καὶ εἴπῃς αὐτῷ, θέλων αὐτὸν θεραπεῦσαι, οὐκ ἔστιν ἄτοπον. Εἰ δὲ καὶ σὺ ἐπετράπης τι ποιῆσαι καὶ οὐκ ἐτελείωσας αὐτό, ὑπόμνησον ὅτι ἀτελές ἐστι, καὶ ἕως τούτου· καὶ οὐχ εὑρίσκῃ ἔχων θέλημα ἐν πράγματι.

ΦΝΗ'

Ἐρώτησις

Ἐπειδὴ λέγει ἡ Γραφή, «ἐὰν ἐπαναβῇ σοι ὁ λογισμὸς τοῦ ἐξουσιάζοντος, τόπον σου μὴ ἀφῇς», τί ἐστι τοῦτο;

ὅμως εἰδικὰ γιὰ τὸ πρᾶγμα αὐτό, ἀλλὰ ὁ ἴδιος ὁ ἀββᾶς ἀπὸ μόνος του μοῦ ἐπέτρεψε νὰ τὸ κάνω; Μήπως θεωρεῖται αὐτὸ σὰν θέλημά μου;

Ἀπόκριση

Πὲς τοῦ ἀββᾶ· '῎Εχω θέλημα σ' αὐτὸ τὸ πρᾶγμα· τί λοιπὸν διατάζεις;' Καὶ ἂν σοῦ πεῖ νὰ τὸ κάνεις αὐτό, γίνεται μὲ τὸ θέλημά του· ἂν ὅμως σοῦ δώσει ἄλλο ἔργο, καταδέξου το μὲ χαρά.

557

Ἐρώτηση

Ἐὰν ὅμως ὅταν δὲν ἔχω θέλημα σ' αὐτό, ἀλλά, νομίζοντας ὅτι ὑπηρετῶ τὸν ἀββᾶ, τοῦ πῶ γι' αὐτό, γνωρίζοντας ὅτι εὐχαριστεῖται νὰ γίνει αὐτό, ἢ ἔτυχε ν' ἀνατεθεῖ σ' ἐμένα νὰ τὸ κάνω καὶ δὲν τελείωσε καὶ ὑπενθύμισα γιὰ νὰ τελειώσει, μήπως εἶναι ἄτοπο καὶ αὐτό;

Ἀπόκριση

Εἶναι καλύτερο τὸ νὰ περιμένεις νὰ ἀκούσεις ἀπὸ αὐτόν· ἐὰν ὅμως τὸν βλέπεις ν' ἀπορεῖ σὲ ποιόν νὰ τὸ ἀναθέσει καὶ τοῦ πεῖς, θέλοντας νὰ τὸν ὑπηρετήσεις, δὲν εἶναι ἄτοπο. ῎Αν πάλι καὶ σὺ ἀνέλαβες νὰ κάνεις κάτι καὶ δὲν τὸ τελείωσες, ὑπενθύμισε ὅτι εἶναι ἀτελές, καὶ ν' ἀρκεσθεῖς σ' αὐτὸ μόνο· δὲν βρίσκεται τότε νὰ ἔχεις θέλημα σὲ κάτι.

558

Ἐρώτηση

Ἐπειδὴ ἡ Γραφὴ λέγει, 'ἐὰν ὁ λογισμὸς τοῦ ἐξουσιαστῆ ἀνεβεῖ ἐπάνω σου, μὴ ἀφήνεις τὸν τόπο σου', τί σημαίνει αὐτό;

Ἀπόκρισις

Ἀντὶ τοῦ μὴ συγχωρήσῃς αὐτῷ ἐπιβῆναί σοι, μήτε λάλει μετ' αὐτοῦ, ἀλλὰ φεῦγε πρὸς τὸν Θεόν. Ἐὰν γὰρ θέλῃς δοῦναι αὐτῷ ἀπόκρισιν, εὑρίσκεις ἀδολεσχίαν καὶ κωλύει σε ἀπὸ τῆς θερμότητος τῆς εὐχῆς.

ΦΝΘ'

Ἐρώτησις

Ἀδελφὸς ἠρώτησε τὸν αὐτὸν γέροντα.

Ἐὰν ἀκούσω περί τινος ὅτι κακῶς με λέγει, τί ποιήσω;

Ἀπόκρισις

Εὐθέως ἀνάστα καὶ ποίησον εὐχὴν πρῶτον ὑπὲρ ἐκείνου, καὶ οὕτως ὑπὲρ σεαυτοῦ, λέγων· 'Κύριε Ἰησοῦ Χριστέ, ἐλέησον τόνδε τὸν ἀδελφὸν καὶ ἐμὲ τὸν ἀχρεῖον δοῦλόν σου, καὶ σκέπασον ἡμᾶς ἀπὸ τοῦ πονηροῦ, εὐχαῖς τῶν σῶν ἁγίων. Ἀμήν'.

ΦΞ'

Ἐρώτησις

Ἐάν τις βάλῃ ἀρχὴν τοῦ καταλαλεῖν τινος καὶ νήψῃ, τί ὀφείλει ποιῆσαι;

Ἀπόκρισις

Ἐὰν ἄρξηταί τις καταλαλεῖν, ὀφείλει ταχέως κόψαι καὶ μεταγαγεῖν τὸν λόγον εἰς ἐπωφελῆ ὁμιλίαν καὶ μηδὲ ἐν αὐτῇ χρονίσαι, ἵνα μὴ πάλιν ἐκ τῆς πολυλογίας ἐμπέσῃ εἰς καταλαλιάν.

Ἀπόκριση

Αὐτὸ λέγεται μὲ τὴν ἔννοια νὰ μὴ τοῦ ἐπιτρέψεις νὰ ἀνεβεῖ ἐπάνω σου, οὔτε νὰ μιλᾶς μ' αὐτόν, ἀλλὰ νὰ καταφύγεις στὸν Θεό. Διότι, ἐὰν θέλεις νὰ τοῦ δώσεις ἀπάντηση, θὰ βρεῖς φλυαρία ποὺ θὰ σὲ ἐμποδίσει ἀπὸ τὴ θερμότητα τῆς προσευχῆς.

559

Ἐρώτηση

Ἀδελφὸς ἐρώτησε τὸν ἴδιο γέροντα.

Ἐὰν ἀκούσω γιὰ κάποιον ὅτι μὲ κακολογεῖ τί νὰ κάνω;

Ἀπόκριση

Ἀμέσως νὰ σηκωθεῖς καὶ νὰ κάνεις προσευχὴ πρῶτα ὑπὲρ ἐκείνου καὶ ἔπειτα ὑπὲρ τοῦ ἑαυτοῦ σου, λέγοντας· 'Κύριε Ἰησοῦ Χριστέ, ἐλέησε αὐτὸν τὸ ἀδελφὸ καὶ ἐμένα τὸν ἀχρεῖο δοῦλο σου, καὶ προστάτεψέ μας ἀπὸ τὸν πονηρό, μὲ τὶς προσευχὲς τῶν ἁγίων σου. Γένοιτο'.

560

Ἐρώτηση

Ἐὰν κανεὶς ἀρχίσει νὰ καταλαλεῖ κάποιον καὶ νήψει σὲ κάποια στιγμή, τί ὀφείλει νὰ κάνει;

Ἀπόκριση

Ἐὰν ἀρχίσει κάποιος νὰ καταλαλεῖ, ὀφείλει νὰ σταματήσει ἀμέσως καὶ νὰ μεταφέρει τὸν λόγο σὲ ἐπωφελὴ ὁμιλία καὶ οὔτε νὰ παραμείνει πολὺ χρόνο σ' αὐτήν, γιὰ νὰ μὴ πέσει πάλι ἀπὸ τὴν πολυλογία στὴν καταλαλιά.

ΦΞΑ΄

Ἐρώτησις

Ἐάν τις μὴ καταλαλῇ τινος, ἡδέως δὲ ἀκούῃ τῆς καταλαλιᾶς, μὴ κατακρίνεται ἐκ τούτου;

Ἀπόκρισις

Καὶ τὸ ἀκοῦσαι ἡδέως καταλαλιᾶς, καὶ αὐτὸ καταλαλιά ἐστι καὶ τὴν αὐτὴν ἔχει κατάκρισιν.

ΦΞΒ΄

Ἐρώτησις

Ἡ ἀκηδία πόθεν γίνεται, καὶ τί δεῖ ποιῆσαι ταύτης ἐφισταμένης;

Ἀπόκρισις

Ἔστιν ἀκηδία φυσικὴ ἀπὸ ἀδυναμίας, καὶ ἔστιν ἀκηδία ἀπὸ δαίμονος· ἐὰν οὖν θέλῃς δοκιμάσαι αὐτάς, οὕτω δοκίμασον. Ἡ τοῦ δαίμονος ἐφίσταταί τινι πρὸ τοῦ καιροῦ τοῦ χρῄζοντος τῆς ἀναπαύσεως· ὅταν γὰρ βάλῃ τις ἀρχὴν εἰς τὴν ἐργασίαν, πρὸ τοῦ ποιῆσαι τὸ τρίτον ἢ τὸ τέταρτον αὐτῆς, διώκει τὸν ἄνθρωπον ἐᾶσαι τὸ ἔργον καὶ ἀναστῆναι. Οὐκ ὀφείλει οὖν ἀνέχεσθαι, ἀλλὰ ποιῆσαι εὐχὴν καὶ καθίσαι εἰς τὸ ἔργον καὶ ὑπομεῖναι. Βλέπων γὰρ ὁ ἐχθρὸς ὅτι διὰ τοῦτο ποιεῖ τὴν εὐχήν, παύεται, οὐδὲ γὰρ θέλει δοῦναι ἀφορμὴν προσευχῆς.

Ἡ δὲ φυσικὴ ἀκηδία ἐστίν, ὅτε κοπιᾷ ὁ ἄνθρωπος ὑπὲρ τὴν δύναμιν καὶ ἀναγκάζεται πλέον ἔργον προσθεῖναι· καὶ ἐκ τούτου κατακευάζεται ἡ φυσικὴ ἀκηδία, ἀπὸ ἀδυναμίας σώμα-

561

Ἐρώτηση

Ἐὰν κανεὶς δὲν καταλαλεῖ κάποιον ἀλλὰ ἀκούει εὐχάριστα τὴν καταλαλιά, δὲν κατακρίνεται ἀπὸ αὐτό;

Ἀπόκριση

Καὶ τὸ νὰ ἀκούσει εὐχάριστα τὴν καταλαλιά, καὶ αὐτὸ εἶναι καταλαλιὰ καὶ ἔχει τὴν ἴδια κατάκριση.

562

Ἐρώτηση

Ἀπὸ ποῦ δημιουργεῖται ἡ ἀκηδία, καὶ τί πρέπει νὰ κάνει κανεὶς ὅταν ἐπέρχεται αὐτή;

Ἀπόκριση

Ὑπάρχει φυσικὴ ἀκηδία ἀπὸ ἀδυναμία· ὑπάρχει ὅμως ἀκηδία καὶ ἀπὸ τὸν δαίμονα. Ἐὰν λοιπὸν θέλεις νὰ τὶς δοκιμάσεις αὐτές, δοκίμασέ τες μὲ τὸν ἑξῆς τρόπο. Ἡ ἀκηδία τοῦ δαίμονα ἔρχεται σὲ κάποιον πρὶν ἀπὸ τὴν ὥρα ποὺ χρειάζεται ἀνάπαυση· ὅταν δηλαδὴ ἀρχίσει κανεὶς τὴν ἐργασία, πρὶν κάνει τὸ τρίτο καὶ τὸ τέταρτο αὐτῆς, παρακινεῖ τὸν ἄνθρωπο ν' ἀφήσει τὸ ἔργο καὶ νὰ σηκωθεῖ. Δὲν πρέπει λοιπὸν νὰ τὸ ἀποδέχεται, ἀλλὰ νὰ κάνει προσευχὴ καὶ νὰ καθίσει στὸ ἔργο καὶ νὰ ὑπομείνει. Διότι ὁ ἐχθρός, βλέποντας ὅτι γι' αὐτὸ κάνει τὴν προσευχή, σταματᾶ, ἀφοῦ δὲν θέλει νὰ δίνει ἀφορμὴ γιὰ προσευχή.

Ἡ φυσικὴ πάλι ἀκηδία εἶναι, ὅταν κοπιάζει ὁ ἄνθρωπος περισσότερο ἀπὸ τὴ δύναμή του καὶ ἀναγκάζεται νὰ προσθέσει περισσότερο ἔργο· καὶ ἀπὸ αὐτὸ δημιουργεῖται ἡ φυσικὴ ἀκη-

τος. Χρὴ οὖν ἐνταῦθα δοκιμάσαι τὴν δύναμιν καὶ ἀναπαῦσαι τὸ σῶμα κατὰ φόβον Θεοῦ.

ΦΞΓ'

Ἐρώτησις

Τί οὖν, ὅτε καὶ αὐτὸς ὁ τόπος, ἔνθα ἡ τοῦ δαίμονος ἀκηδία γίνεται, καυματηρός ἐστι πάνυ καὶ συμπράττει τῇ ἀκηδίᾳ καὶ πλέον βαρεῖ τὸν ἄνθρωπον καὶ οὐ δύναται τοῖς δυσὶν ἀντιστῆναι; ἆρα οὐκ ὀφείλει ἐν τῇ ὥρᾳ τοῦ πολέμου ἐκεῖθεν ἀποστῆναι;

Ἀπόκρισις

Καλὸν μέν ἐστι τὸ ἀγωνίσασθαι μὴ ἀποστῆναι τοῦ τόπου ἐν τῷ καιρῷ τοῦ πολέμου· εἰ δὲ βλέπει ὅτι ἡττᾶται βαρούμενος ἐκ τοῦ κόπου, ἀποστῇ καί, κουφισθεὶς τοῦ ἑνὸς βάρους, ἀγωνίσεται πρὸς αὐτὴν τὴν ἀκηδίαν, ἐπικαλούμενος τὸ ὄνομα τοῦ Θεοῦ, καὶ τυγχάνει τῆς παρ' αὐτοῦ βοηθείας. Τὸ γὰρ δι' αὐτὴν ἀναχωρεῖν, μὴ ὄντος βάρους, ἐκ τοῦ τόπου πλέον βαρεῖ καὶ αὔξει μᾶλλον ὁ πόλεμος, καὶ γίνεταί σοι ψυχῆς βλάβη· ἐὰν γὰρ κυριεύσῃ τοῦ ἀνθρώπου, πολλῷ κόπῳ ἀπελαύνεται ἐξ αὐτοῦ, κἂν εὐχαὶ ὑπὲρ αὐτοῦ γίνωνται.

ΦΞΔ'

Ἐρώτησις

Ἐὰν νυσταγμὸς ἐξ αὐτῆς γένηται καὶ ἐμποδίζει τῷ προκειμένῳ ἔργῳ, ἆρα ὀφείλει σταθῆναι ἢ μεῖναι καθήμενος;

δία, ἀπὸ τὴν ἀδυναμία τοῦ σώματος. Πρέπει λοιπὸν ἐδῶ νὰ δοκιμάσει τὴ δύναμη καὶ ν' ἀναπαύσει τὸ σῶμα κατὰ φόβον Θεοῦ.

563

Ἐρώτηση

Τί γίνεται ὅμως ὅταν καὶ ὁ ἴδιος ὁ τόπος ὅπου γίνεται ἡ ἀκηδία τοῦ δαίμονα εἶναι πολὺ καυματερὸς καὶ συμπράττει στὴν ἀκηδία καὶ βαραίνει πολὺ τὸν ἄνθρωπο καὶ δὲν μπορεῖ νὰ ἀντισταθεῖ καὶ στὰ δύο; ἄραγε δὲν πρέπει νὰ ἀπομακρυνθεῖ ἀπὸ κεῖ κατὰ τὴν ὥρα τοῦ πολέμου;

Ἀπόκριση

Καλὸ εἶναι βέβαια τὸ ν' ἀγωνισθεῖ νὰ μὴ ἀπομακρυνθεῖ ἀπὸ τὸν τόπο κατὰ τὴ διάρκεια τοῦ πολέμου· ἐὰν ὅμως βλέπει ὅτι νικιέται βαρούμενος ἀπὸ τὸν κόπο, ν' ἀπομακρυνθεῖ· καὶ ἀφοῦ ἀνακουφισθεῖ ἀπὸ τὸ ἕνα βάρος, ν' ἀγωνισθεῖ πρὸς αὐτὴν τὴν ἀκηδία, ἐπικαλούμενος τὸ ὄνομα τοῦ Θεοῦ, καὶ θὰ ἐπιτύχει τὴ βοήθεια ἀπ' αὐτόν. Διότι μὲ τὸ ν' ἀπομακρυνθεῖ κανεὶς ἐξαιτίας αὐτῆς, ἐνῶ δὲν ὑπάρχει βάρος, βαρύνεται περισσότερο ἀπὸ τὸν τόπο καὶ αὐξάνεται μᾶλλον ὁ πόλεμος, πρᾶγμα ποὺ ἀποβαίνει πρὸς βλάβη τῆς ψυχῆς· διότι, ἐὰν κυριεύσει τὸν ἄνθρωπο, μὲ πολὺ κόπο ἀπομακρύνεται ἀπ' αὐτόν, κι ἂν ἀκόμη γίνονται προσευχὲς ὑπὲρ αὐτοῦ.

564

Ἐρώτηση

Ἐὰν δημιουργεῖται ἀπὸ αὐτὴν νυσταγμὸς καὶ ἐμποδίζει τὸ προκείμενο ἔργο, ἄραγε ὀφείλει νὰ σταθεῖ ὄρθιος ἢ νὰ μείνει καθιστός;

Ἀπόκρισις

Σταθήσεται καὶ μὴ παύσῃ δεόμενος τοῦ Θεοῦ, καὶ καταργεῖ αὐτὸν ὁ Κύριος διὰ τῆς προσευχῆς.

ΦΞΕ'

Ἐρώτησις

Ὅταν ἐπέλθῃ μοι πονηρὸς λογισμὸς κινεῖται ἡ καρδία μου μετὰ θυμοῦ πρὸς αὐτόν, ὡς καὶ τῇ φωνῇ κεχρῆσθαι· συμβαίνει δὲ ὅτε καὶ παρόντων τινων τοῦτο ποιῶ· ἆρα καλὸν ἢ οὔ;

Ἀπόκρισις

Οὐκ ἔστι καλὸν οὕτω ποιεῖν, ἵνα μὴ γένηται συνήθεια καὶ εὑρεθῇ εἰς βλάβην τῶν ἀνθρώπων καὶ σκάνδαλον τοῖς ὁρῶσι· χρὴ δὲ ἀταράχως ἐπικαλεῖσθαι τὸ ὄνομα τοῦ Θεοῦ καὶ ἀπελαύνεται.

ΦΞS'

Ἐρώτησις

Ἀδελφὸς ἐξελθὼν ἐκ τοῦ κοινοβίου καὶ ἀναλύσας ἐδήλωσε τῷ αὐτῷ γέροντι λέγων.

Ἐπειδὴ ἔπταισα χλευασθεὶς ὑπὸ τῶν δαιμόνων, καὶ τῆς ἐμῆς μητρὸς ἀνεχώρησα καὶ τῆς σκέπης ὑμῶν τῶν πατέρων μου, παρακαλῶ ταγῆναι μετὰ τῶν ἀρχαρίων τῶν μὴ λαβόντων τὸ σχῆμα.

᾿Απόκριση

Νὰ σταθεῖ ὄρθιος καὶ νὰ μὴ σταματήσει νὰ παρακαλεῖ τὸν Θεό, καὶ ὁ Κύριος θὰ καταργήσει τὸν νυσταγμὸ μὲ τὴν προσευχή.

565

᾿Ερώτηση

῞Οταν μοῦ ἔρθει πονηρὸς λογισμός, ἡ καρδιά μου κινεῖται μὲ θυμὸ πρὸς αὐτόν, ὥστε νὰ χρησιμοποιῶ ἀκόμα καὶ τὴν φωνή· συμβαίνει νὰ τὸ κάνω αὐτὸ καὶ ὅταν εἶναι ἄλλοι παρόντες· ἄραγε εἶναι καλὸ ἢ ὄχι;

᾿Απόκριση

Δὲν εἶναι καλὸ νὰ ἐνεργεῖς ἔτσι, γιὰ νὰ μὴ γίνει συνήθεια καὶ ἀποβεῖ πρὸς βλάβη τῶν ἀνθρώπων καὶ σκάνδαλο σ' αὐτοὺς ποὺ βλέπουν· πρέπει νὰ ἐπικαλεῖσαι τὸ ὄνομα τοῦ Θεοῦ ἀτάραχα καὶ θὰ φύγει.

566

᾿Ερώτηση

᾿Αδελφὸς ποὺ ἔφυγε ἀπὸ τὸ κοινόβιο καὶ ἐπέστρεψε δήλωσε στὸν ἴδιο γέροντα λέγοντας.

᾿Επειδὴ ἔφταιξα χλευασθεὶς ἀπὸ τοὺς δαίμονες, καὶ ἔφυγα ἀπὸ τὴ μητέρα μου, παρακαλῶ νὰ τοποθετηθῶ ὑπὸ τὴν προστασία ὑμῶν τῶν πατέρων μου, μαζὶ μὲ τοὺς ἀρχαρίους ποὺ δὲν ἔλαβαν τὸ σχῆμα.

Ἀπόκρισις

Ἕνεκεν τοῦ εἶναι σε εἰς τὸν τελευταῖον τόπον, οὐκ ἔστι σὸν τοῦτο ζητῆσαι, ἀλλὰ τῆς δοκιμασίας ἐστὶ τοῦ ἀββᾶ σου· σὸν δέ ἐστι τὸ ἑτοιμάσαι σεαυτὸν εἰς ὑπακοήν.

ΦΞΖ'

***Αἴτησίς** τινος τῶν ἡσυχαζόντων πατέρων πρὸς τὸν αὐτὸν γέροντα.*

Παρακαλῶ σε, πάτερ, εὖξαι ὑπὲρ ἐμοῦ διὰ τὸν Κύριον, ὅτι πάνυ κινδυνεύω καὶ ἀπὸ τῆς ῥᾳθυμίας μου καὶ ἀπὸ τῆς ὀχλήσεως τοῦ ἐχθροῦ· ἐὰν γὰρ μὴ ὁ Θεὸς διὰ τῶν εὐχῶν ὑμῶν παράσχῃ μοι δύναμιν κἀκεῖνον ἐπιτιμήσῃ, οὐκ οἶδα εἰ ἥξει τὸ σκάφος μου ποτὲ εἰς λιμένα· ἀλλ' ὥσπερ ὁ Μωϋσῆς τοσοῦτον λαὸν ἐξῃτήσατο μὴ ἀπολέσθαι ἄρδην ἐν τῇ ὀργῇ τοῦ Θεοῦ, οὕτω καὶ σύ, ὅσιε πάτερ, αἴτησαι τὴν ἀθλίαν μου ψυχήν· ὁ Θεὸς γὰρ ἀγαθός ἐστι καὶ φιλεῖ αἰτεῖσθαι ὑπὸ τῶν ἁγίων σωτηρίαν ψυχῶν, καὶ ὑμῖν πρέπουσα ἡ τοιαύτη αἴτησις. Παρεκάλεσον δὲ καὶ τὸν κύριον τὸν ἀββᾶν, ἵνα μὴ οὕτω ... εἰς ἡμᾶς ἴδῃ, ὅτι σφόδρα αὐτὸν ἀγαπῶ, ἀλλὰ καὶ χρῄζω τοῦ ἐξ αὐτοῦ στηριγμοῦ.

Ἀπόκρισις

Εἰ περὶ ἡμῶν τῶν ἐλαχίστων ἔγραψέ σου ἡ ἀγάπη, ὅτι 'οὐ θέλομέν τινα ἀπολέσθαι', τί δὲ λέγεις πρὸς τὸν ὀμόσαντα εἰς ἑαυτὸν ὅτι, «ζῶ ἐγώ, λέγει Κύριος, ὅτι οὐ θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν», περὶ οὗ μαρτυρεῖ λέγων ὁ Ἀπόστολος, «ὃς θέλει πάντα ἄνθρωπον σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν»; Ἀδελ-

Ἀπόκριση

Ἐπειδὴ εἶσαι στὸν τελευταῖο τόπο, δὲν ἐξαρτᾶται ἀπὸ σένα νὰ τὸ ζητήσεις αὐτό, ἀλλ' ἀνήκει στὴν κρίση τοῦ ἀββᾶ σου· δικό σου ἔργο εἶναι τὸ νὰ ἑτοιμάσεις τὸν ἑαυτό σου γιὰ ὑπακοή.

567

Παράκληση κάποιου ἀπὸ τοὺς πατέρες ποὺ ἡσύχαζαν πρὸς τὸν ἴδιο γέροντα.

Σὲ παρακαλῶ, πάτερ, προσευχή σου γιὰ μένα στὸ ὄνομα τοῦ Κυρίου, διότι κινδυνεύω πολὺ καὶ ἀπὸ τὴ ραθυμία μου καὶ ἀπὸ τὴν ἐνόχληση τοῦ ἐχθροῦ· πραγματικὰ ἂν ὁ Θεὸς δὲν μοῦ δώσει δύναμη μὲ τὶς προσευχές σας καὶ δὲν ἐπιτιμήσει ἐκεῖνον, δὲν γνωρίζω ἐὰν θὰ φθάσει ποτὲ τὸ σκάφος μου στὸ λιμάνι. Ὅπως ἀκριβῶς λοιπὸν ὁ Μωϋσῆς ζήτησε νὰ μὴ χαθεῖ ἐξ ὁλοκλήρου τόσος λαὸς ἀπὸ τὴν ὀργὴ τοῦ Θεοῦ, ἔτσι καὶ σύ, ὅσιε πάτερ, παρακάλεσε γιὰ τὴν ἄθλια ψυχή μου· διότι ὁ Θεὸς εἶναι ἀγαθὸς καὶ δέχεται νὰ παρακαλεῖται ἀπὸ τοὺς ἁγίους γιὰ τὴ σωτηρία τῶν ψυχῶν· καὶ σὲ σᾶς ταιριάζει αὐτὴ ἡ παράκληση. Παρακάλεσε καὶ τὸν κύριο ἀββᾶ, γιὰ νὰ μὴ μὲ παραβλέψει τόσο, ἀλλὰ νὰ μὲ προσέξει, διότι πολὺ τὸν ἀγαπῶ, ἀλλὰ καὶ χρειάζομαι στηριγμὸ ἀπὸ αὐτόν.

Ἀπόκριση

Ἐὰν ἡ ἀγάπη σου ἔγραψε γιὰ μᾶς τοὺς ἐλάχιστους, ὅτι 'δὲν θέλομε νὰ χαθεῖ κάποιος', τί λὲς γι' αὐτὸν ποὺ ὁρκίσθηκε στὸν ἑαυτό του λέγοντας, «ζῶ ἐγώ, λέγει ὁ Κύριος, διότι δὲν θέλω τὸν θάνατο τοῦ ἁμαρτωλοῦ, ἀλλὰ νὰ ἐπιστρέψει αὐτὸς καὶ νὰ ζήσει»[44], γιὰ τὸν ὁποῖο μαρτυρεῖ ὁ Ἀπόστολος λέγοντας, «ὁ ὁποῖος θέλει νὰ σωθεῖ κάθε ἄνθρωπος

44. Ἰεζ. 33,11.

φέ, μὴ ὀκνήσῃς προσελθεῖν τῷ Ἰησοῦ λέγων, «ἐπιστάτα, σῶσον ἡμᾶς, ἀπολλύμεθα». Καὶ βλέπεις τί ποιεῖ κατὰ τῶν ἐχθρῶν· ἐτύγχανε αὐτῷ λέγων, «Κύριε ὁ Θεός μου, ἔνδειξον τὴν παρὰ σοῦ ἐκδίκησιν ἐν αὐτοῖς , ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου».

Περὶ δὲ τοῦ ὑπενεγκεῖν θλίψεις καὶ πειρασμούς, οὐ χρεία γράψαι σοι, γινώσκοντι τί λέγει ὁ Ἀπόστολος περὶ τούτου καὶ τί ἐστι τὸ τέλος τῆς ὑπομονῆς. Μὴ ἐκκακήσωμεν, ἀγαπητὲ ἀδελφέ· καὶ γὰρ ὁ φροντίζων ἡμῶν Κύριος μέγας ἐστὶ προΐστασθαι ἡμῶν· θαρσοποιῶν γὰρ ἡμᾶς ἔλεγεν· «ἐγώ εἰμι, μὴ φοβῆσθε». Καὶ πάλιν, «θαρσεῖτε, ἐγὼ νεκίκηκα τὸν κόσμον». Μὴ ἀμελήσωμεν οὖν προσπίπτειν αὐτῷ καὶ παρακαλεῖν αὐτοῦ τὴν ἀγαθότητα· αὐτὸς γὰρ ποιεῖ ὑπερεκπερισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν.

Μιμνήσκου ὅτι ὅπου ὁ κόπος, ἐκεῖ καὶ ὁ μισθός· καὶ ὅπου ἡ δοκιμὴ τοῦ πειρασμοῦ, ἐκεῖ ἐστι καὶ ὁ τῆς νίκης στέφανος· καὶ ὅπου ἡ ἀγάπη τοῦ Θεοῦ, ἐκεῖ καὶ τὸ ἀνελθεῖν μετ' αὐτοῦ εἰς τὸν σταυρόν, τὸ συμπάσχειν καὶ συνδοξασθῆναι αὐτῷ, τὸ συναποθανεῖν καὶ συζεῖν αὐτῷ. Ὁ ἀνερχόμενος οὖν εἰς τὸν σταυρὸν ἐκουφίσθη ἀπὸ τῆς γῆς, ἀπέθανε τῷ κόσμῳ. Τὰ ἄνω λοιπὸν ὀφείλει φρονεῖν, ὅπου ὁ Χριστὸς ἐν δεξιᾷ τοῦ Πατρός.

Περὶ δὲ τοῦ ἀββᾶ εὖξαι, ἵνα σκεπάσῃ αὐτὸν ὁ Κύριος· πολλαὶ γάρ εἰσιν αἱ ὀχλήσεις, ἀλλὰ πιστεύομεν, ὅτι σκεπάζει καὶ βοηθεῖ αὐτῷ ὁ Κύριος. Εἶπον δὲ αὐτῷ ὅτι τόνῳ ἐχρόνισας, καὶ ἀπελογήσατο ὡς καὶ σὲ ἐπληροφόρησεν.

Ἕνεκεν δὲ τῆς εὐχῆς, οἶδα ὅτι οὐδέν εἰμι, ἀλλὰ καὶ λῦσαι

---

45. Α' Τιμ. 2,4.
46. Λουκᾶ 8,24.
47. Πρβλ. Ψαλμ. 85,4.

καὶ νὰ γνωρίσει τὴν ἀλήθεια»[45]; 'Αδελφέ μου, νὰ μὴ διστάσεις νὰ καταφύγεις κοντὰ στὸν 'Ιησοῦ λέγοντας, «ἐπιστάτη, σῶσε μας, διότι χανόμαστε»[46]. Καὶ βλέπεις τί κάνει κατὰ τῶν ἐχθρῶν· διότι τὸν παρακαλοῦσε καὶ τοῦ ἔλεγε· «Κύριε ὁ Θεός μου, δεῖξε τὴν ἐκδίκησή σου σ' αὐτούς, διότι σὲ σένα ὕψωσα τὴν ψυχή μου»[47].

Σχετικὰ μὲ τὸ ὅτι θὰ ὑποφέρεις θλίψεις καὶ πειρασμούς, δὲν χρειάζεται νὰ σοῦ γράψω, ἀφοῦ γνωρίζεις τί λέγει ὁ 'Απόστολος σχετικὰ μ' αὐτὸ καὶ ποιό εἶναι τὸ τέλος τῆς ὑπομονῆς[48]. Ἂς μὴ μικροψυχήσομε, ἀγαπητὲ ἀδελφέ· διότι ὁ Κύριος ποὺ μᾶς φροντίζει εἶναι μεγάλος καὶ προΐσταται ἡμῶν. Δίνοντάς μας θάρρος ἔλεγε, «ἐγὼ εἶμαι, μὴ φοβᾶσθε»[49]· καὶ πάλι, «ἔχετε θάρρος, ἐγὼ ἔχω νικήσει τὸν κόσμο»[50]. Ἂς μὴ ἀμελήσομε λοιπὸν νὰ προσπέσομε σ' αὐτὸν καὶ νὰ παρακαλέσομε τὴν ἀγαθότητά του· διότι αὐτὸς κάνει περισσότερα ἀπὸ ὅσα ζητοῦμε ἢ σκεπτόμαστε.

Νὰ θυμᾶσαι ὅτι ὅπου εἶναι ὁ κόπος, ἐκεῖ εἶναι καὶ ὁ μισθός· καὶ ὅπου εἶναι ἡ δοκιμασία τοῦ πειρασμοῦ, ἐκεῖ εἶναι καὶ τὸ στεφάνι τῆς νίκης· καὶ ὅπου εἶναι ἡ ἀγάπη τοῦ Θεοῦ, ἐκεῖ εἶναι καὶ ἡ ἄνοδος μαζί του στὸ σταυρό· τὸ νὰ συμπάσχομε σημαίνει ὅτι καὶ θὰ συνδοξασθοῦμε μ' αὐτόν· τὸ νὰ συναποθάνομε σημαίνει ὅτι καὶ θὰ ζήσομε μαζὶ μ' αὐτόν. Αὐτὸς λοιπὸν ποὺ ἀνεβαίνει στὸ σταυρό, ἀνακουφίσθηκε ἀπὸ τὴ γῆ, πέθανε γιὰ τὸν κόσμο. 'Οφείλει λοιπὸν νὰ φρονεῖ τὰ ἄνω, ὅπου ὁ Χριστὸς βρίσκεται στὰ δεξιὰ τοῦ Πατέρα του.

Ὅσο γιὰ τὸν ἀββᾶ, προσευχήσου νὰ τὸν προστατέψει ὁ Κύριος· διότι εἶναι πολλὲς οἱ ἐνοχλήσεις του· ἀλλὰ πιστεύομε ὅτι θὰ τὸν προστατέψει καὶ θὰ τὸν βοηθήσει ὁ Κύριος. Τοῦ εἶπα ὅτι ἄργησες πολύ, καὶ ἀπολογήθηκε ὅπως σὲ πληροφόρησε.

Ὅσο γιὰ τὴν προσευχὴ γνωρίζω ὅτι δὲν εἶμαι τίποτε, ἀλλὰ

---

48. Ρωμ.5,4 καὶ Β' Τιμ. 2,12.
49. Ματθ. 14,27 καὶ Μάρκ. 6,50.
50. Ἰω. 16,33.

τὴν ἀγάπην οὐ δύναμαι. Καὶ αὐτὸς οὖν εὖξαι ὑπὲρ ἐμοῦ διὰ τὸν Κύριον.

ΦΞΗ'

***Δέησις** τοῦ ἀββᾶ τοῦ κοινοβίου πρὸς τὸν αὐτὸν γέροντα.*

Ἐπειδὴ καιρὸς χαλεπός ἐστιν, εὖξαι, πάτερ, ἵνα ὁ Κύριος αὐτὸν παρενέγκῃ, καὶ ἵνα σκεπασθῶμεν οἱ δοῦλοί σου ἀπὸ παντὸς πειρασμοῦ τῶν ἁμαρτιῶν ἡμῶν.

Ἀπόκρισις

Ἐὰν ἀγαθοποιήσωμεν, παραφέρει ὁ Θεὸς τὸν χαλεπὸν καιρόν· ἐὰν δὲ πάλιν προσθῶμεν κακά, σωρεύομεν ἡμῖν αὐτοῖς πρὸ καιροῦ τὴν ἀπώλειαν· ὑμεῖς δὲ ἐὰν μείνητε ἐν τῷ ἀγαθῷ, πέμπει ὁ Θεὸς τὸν ἄγγελον αὐτοῦ καὶ σφραγίζει ὑμᾶς, ὥστε τὸν ἐρχόμενον καὶ βαστάζοντα τὴν ρομφαίαν παρελθεῖν ὑμᾶς εὐχαῖς ἁγίων. Ἀμήν.

ΦΞΘ'

***Δέησις** τῶν ἐν τῷ κοινοβίῳ ἡσυχαζόντων πατέρων πρὸς τὸν μέγαν Γέροντα περὶ τοῦ κόσμου.*

Ἐπειδὴ κινδυνεύει ὁ κόσμος, παρακαλοῦμέν σε πάντες, δεήθητι τῆς τοῦ Θεοῦ ἀγαθότητος, ἵνα ἀνῇ τὴν χεῖρα καὶ ἀποστρέψῃ εἰς τὸν κολεὸν τὴν ρομφαίαν. Στῆθι ἀναμέσον τῶν πεπτωκότων καὶ τῶν ζώντων μετὰ τοῦ ἁγίου σου θυμιάματος καὶ παῦσον τὸν ὀλοθρευτήν. Ἀνέγειρον τὸ ἅγιον θυσιαστήριον ἐν τῇ ἅλῳ τῇ ἁγίᾳ τοῦ οὐρανοῦ καὶ παύσεται ἡ ὀργὴ τοῦ Θεοῦ. Καὶ δεόμεθά σου καὶ παρακαλοῦμεν, οἰκτείρισον τὸν κόσμον ἀπολλύμενον· μνήσθητι ὅτι μέλη σού ἐσμεν πάντες· δεῖξον καὶ ἐπὶ τοῦ παρόντος

δὲν μπορῶ νὰ λύσω τὴν ἀγάπη. Καὶ ἐσὺ ὁ ἴδιος λοιπὸν προσευχήσου γιὰ μένα στὸ ὄνομα τοῦ Κυρίου.

568

Δέηση τοῦ ἀββᾶ τοῦ κοινοβίου πρὸς τὸν ἴδιο γέροντα.

Ἐπειδὴ εἶναι δύσκολος καιρός, προσευχήσου, πάτερ, γιὰ νὰ τὸν ἀπομακρύνει ὁ Κύριος, καὶ νὰ προστατευθοῦμε οἱ δοῦλοι σου ἀπὸ κάθε πειρασμὸ τῶν ἁμαρτιῶν μας.

Ἀπόκριση

Ἐὰν πράξομε τὸ ἀγαθό, ὁ Θεὸς θ' ἀπομακρύνει τὸν δύσκολο καιρό· ἐὰν ὅμως προσθέσομε νέα κακά, συσσωρεύομε ἐπάνω μας πρόωρα τὴν ἀπώλεια. Ἐὰν ὅμως ἐσεῖς μείνετε στὸ ἀγαθό, ὁ Θεὸς θὰ στείλει τὸν ἄγγελό του καὶ θὰ σᾶς σφραγίσει, ὥστε μὲ τὶς προσευχὲς τῶν ἁγίων ν' ἀπομακρυνθεῖ ἀπὸ σᾶς αὐτὸς ποὺ ἔρχεται βαστάζοντας τὴ ρομφαία. Γένοιτο.

569

Δέηση τῶν πατέρων ποὺ ἡσύχαζαν στὸ κοινόβιο πρὸς τὸν μεγάλο Γέροντα γιὰ τὸν κόσμο.

Ἐπειδὴ κινδυνεύει ὁ κόσμος, σὲ παρακαλοῦμε ὅλοι, παρακάλεσε τὴν ἀγαθότητα τοῦ Θεοῦ, ὥστε ν' ἀποσύρει τὸ χέρι του καὶ νὰ ἐπιστρέψει τὴ ρομφαία στὴ θήκη· στάσου ἀνάμεσα σ' ἐκείνους ποὺ ἔπεσαν καὶ στοὺς ζωντανοὺς μὲ τὸ ἅγιο θυμίαμά σου καὶ σταμάτησε τὸν ἐξολοθρευτή. Ὕψωσε τὸ ἅγιο θυσιαστήριο στὸ ἅγιο ἁλώνι τοῦ οὐρανοῦ καὶ θὰ σταματήσει ἡ ὀργὴ τοῦ Θεοῦ. Σὲ ἱκετεύομε καὶ σὲ παρακαλοῦμε, λυπήσου τὸν κόσμο ποὺ χάνεται· θυμήσου ὅτι εἴμαστε ὅλοι μέλη σου· δεῖξε καὶ τώρα τὴν

τὴν εὐσπλαγχνίαν σου καὶ τὰ θαυμάσια τοῦ Θεοῦ, ὅτι αὐτῷ ἐστιν ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἀπόκρισις

Ἀδελφοί, ἐν πένθει εἰμὶ καὶ ὀδυρμῷ διὰ τὴν ἐπικειμένην ὀργήν· καὶ γὰρ πάντα πράττομεν ἐναντία. Εἶπε γάρ, «ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν», καὶ ἐπερίσσευσεν ἡ παρανομία ἡμῶν πλέον τῶν ἀλλοεθνῶν. Καὶ εἰσὶ πολλοὶ οἱ παρακαλοῦντες τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, παῦσαι τὴν ὀργὴν ἀπὸ τοῦ κόσμου, καὶ οὐδεὶς φιλανθρωπότερος τοῦ Θεοῦ, καὶ οὐ θέλει ἐλεῆσαι· ἀντιστήκει γὰρ τὸ πλῆθος τῶν ἐν τῷ κόσμῳ γινομένων ἁμαρτιῶν.

Εἰσὶ δὲ τρεῖς ἄνδρες τέλειοι τῷ Θεῷ, οἵτινες ὑπερέβησαν τὸ μέτρον τῆς ἀνθρωπότητος καὶ ἔλαβον τὴν ἐξουσίαν τοῦ λῦσαι καὶ δῆσαι καὶ ἀφεῖναι ἁμαρτίας καὶ κρατῆσαι, καὶ στήκουσιν ἐν τῇ θραύσει τοῦ μὴ ὑφὲν ἐξολοθρεῦσαι ὅλον τὸν κόσμον καὶ διὰ τῶν εὐχῶν αὐτῶν μετ᾽ ἐλέους παιδεύει. Καὶ ἐρρέθη αὐτοῖς, ὅτι ἐπὶ ὀλίγον χρόνον ἐπιμένει ἡ ὀργή. Σὺν αὐτοῖς οὖν εὔξασθε. Συναντῶσι δὲ αἱ εὐχαὶ τῶν τριῶν τούτων ἐν τῇ εἰσόδῳ τοῦ ἀνωτέρω θυσιαστηρίου τοῦ Πατρὸς τῶν φώτων, καὶ συγχαίρουσιν ἀλλήλοις καὶ συναγάλλονται ἐν τοῖς ἐπουρανίοις. Ὅταν δὲ προσέχωσιν εἰς τὴν γῆν συμπενθοῦσι καὶ συγκλαίουσι καὶ συνοδύρονται διὰ τὰ κακὰ τὰ γινόμενα καὶ κινοῦντα τὴν ὀργήν. Εἰσὶ δὲ Ἰωάννης ἐν Ῥώμῃ καὶ Ἠλίας ἐν Κορίνθῳ, καὶ ἄλλος ἐν τῇ ἐπαρχίᾳ Ἱεροσολύμων καὶ πιστεύω ὅτι ἀνύουσι τὸ μέγα ἔλεος· ναὶ ἀνύουσιν. Ἀμήν.

Ὁ Θεός μου ἐνδυναμῶσαι ὑμᾶς ἀκοῦσαι καὶ βαστάσαι ταῦ-

51. Ματθ. 5,20.

εὐσπλαγχνία σου καὶ τὰ θαυμάσια τοῦ Θεοῦ. Διότι σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

Ἀπόκριση

Αδελφοί, εἶμαι βυθισμένος σὲ πένθος καὶ ὀδυρμὸ γιὰ τὴν ἐπικείμενη ὀργή· διότι ὅλα ὅσα κάνομε εἶναι ἀντίθετα πρὸς τὶς ἐντολές του. Διότι εἶπε, «ἐὰν δὲν γίνει ἡ δικαιοσύνη σας περισσότερη ἀπὸ τὴν τῶν γραμματέων καὶ τῶν Φαρισαίων, δὲν θὰ εἰσέλθετε στὴ βασιλεία τῶν οὐρανῶν»[51]· ὅμως ξεπέρασε ἡ παρανομία μας κατὰ πολὺ περισσότερο τὴν τῶν ἀλλοεθνῶν. Καὶ εἶναι πολλοὶ αὐτοὶ ποὺ παρακαλοῦν τὴ φιλανθρωπία τοῦ Θεοῦ, νὰ παύσει τὴν ὀργὴ ἀπὸ τὸν κόσμο· κανένας δὲν εἶναι φιλανθρωπότερος τοῦ Θεοῦ, ἀλλὰ δὲν θέλει νὰ ἐλεήσει, διότι ἀντιστέκεται τὸ πλῆθος τῶν ἁμαρτιῶν ποὺ γίνεται στὸν κόσμο.

Ὑπάρχουν ὅμως τρεῖς ἄνδρες τέλειοι ἀπέναντι στὸ Θεό, οἱ ὁποῖοι ὑπερέβηκαν τὸ μέτρο τῆς ἀνθρωπότητας καὶ ἔλαβαν τὴν ἐξουσία τοῦ νὰ λύνουν καὶ νὰ δένουν, νὰ συγχωροῦν καὶ νὰ κρατοῦν ἁμαρτίες· αὐτοὶ στέκονται ἄγρυπνοι μπροστὰ στὴ συμφορά, ὥστε νὰ μὴ ἐξολοθρεύσει ἀμέσως ὅλον τὸν κόσμο, καὶ μὲ τὶς προσευχὲς αὐτῶν μᾶς παιδεύει μὲ ἔλεος. Πρὸς αὐτοὺς λέχθηκε ὅτι γιὰ λίγο χρόνο θὰ παραμείνει ἡ ὀργή. Νὰ προσεύχεσθε λοιπὸν μαζὶ μ' αὐτούς. Οἱ προσευχὲς αὐτῶν τῶν τριῶν συναντιοῦνται στὴν εἴσοδο τοῦ ἀνωτέρου θυσιαστηρίου τοῦ Πατρὸς τῶν φώτων, καὶ χαίρονται μαζὶ ὁ ἕνας μὲ τὸν ἄλλο καὶ ψάλλουν μαζὶ στὰ ἐπουράνια. Ὅταν ὅμως στρέφουν τὸ βλέμμα στὴ γῆ πενθοῦν καὶ κλαίουν καὶ ὀδύρονται μαζί μας γιὰ τὰ κακὰ ποὺ γίνονται καὶ κινοῦν τὴ ὀργή. Αὐτοὶ εἶναι ὁ Ἰωάννης στὴ Ρώμη, ὁ Ἠλίας στὴν Κόρινθο, καὶ ἄλλος ἕνας στὴν ἐπαρχία τῶν Ἰεροσολύμων[52], καὶ πιστεύω ὅτι θὰ ἐπιτύχουν τὸ μεγάλο ἔλεος· ναί, θὰ τὸ ἐπιτύχουν. Γένοιτο.

Ὁ Θεός μου εἴθε νὰ σᾶς δυναμώσει γιὰ νὰ ἀκούσετε καὶ νὰ

52. Ὁ εὑρισκόμενος στὴν ἐπαρχία τῶν Ἰεροσολύμων ἦταν ὁ ἴδιος ὁ Βαρσανούφιος, ποὺ λέγει αὐτά.

τα· εἰσὶ γὰρ τοῖς μὴ νοοῦσιν ἄληπτα.

ΦΘ'

Αἴτησις

Ἀδελφὸς ἔπεμψεν αἰτῶν τὸν ἄλλον γέροντα τὸν Ἰωάννην, λέγων.

Διὰ τὸν Κύριον, ἐὰν δέῃ τινός, εἰπέ μοι, ἵνα παράσχω σοι.

Ἀπόκρισις

Αδελφέ, ὁ Θεὸς παράσχοι σοι μισθὸν ἀγαθὸν περὶ τῆς προθέσεως· πλὴν οὐδέποτε χρήζων πράγματος εἶπόν τινι, 'δός μοι', ἀλλ', ἐὰν ἴδῃ ὁ Θεὸς ὅτι χρήζω καὶ σπείρῃ τινὶ καὶ ἐνέγκῃ μοι, δέχομαι· ἐπεί, ἐὰν ἐγὼ εἴπω, οὐκ ἔστιν αὕτη χρεία, ἀλλ' ἐπιθυμία.

***Διήγησις** περὶ τῶν γερόντων.*

Εἶπεν ὁ ἀββᾶς περὶ τοῦ αὐτοῦ γέροντος, ὅτι οὐδέποτε εἶδον μειδιάσαντα τὸν γέροντα ἢ ταραχθέντα, οὐδὲ ἐκτὸς δακρύων μεταλαμβάνοντα τῆς ἁγίας κοινωνίας, μετὰ τοῦ λέγειν· 'Κύριε, μὴ εἰς κρῖμά μοι γένοιτο τὰ ἅγια ταῦτα'.

Συνέβη ποτὲ τὸν αὐτὸν γέροντα εἰπεῖν τί ποτε τῷ ἀββᾷ ποιῆσαι, καὶ ἐλθὼν ἀπεγγύθεν αὐτοῦ ὁ ἀββᾶς ἐπελάθετο. Καὶ ὡς πάλιν κατῆλθε πρὸς αὐτόν, ὅτε ἔμελλεν ἀπολύειν αὐτόν, εἶπεν αὐτῷ· 'ἐὰν ὑπομνησθῇς, ποίησον εἴ τι εἶπόν σοι'. Καί, λυπηθεὶς ὁ ἀββᾶς ἐπὶ τῇ λήθῃ, ᾔτησε συγχώρησιν. Καὶ πάλιν ἐξελθὼν ἐπελάθετο. Καὶ μετὰ ἡμέρας κατῆλθε πρὸς αὐτόν, καὶ ὁμοίως ὅτε εἶχεν ἀπελθεῖν ὑπέμνησεν αὐτὸν ὁ γέρων περὶ τοῦ

53. Ὁ ἡγούμενος τῆς μονῆς Σέριδος εἶπε γιὰ τὸν Ἰωάννη.

βαστάξετε αὐτά· διότι εἶναι ἀκατανόητα σ' ἐκείνους ποὺ δὲν καταλαβαίνουν.

570

Αἴτηση

Ἀδελφὸς ἔστειλε νὰ παρακαλέσει τὸν ἄλλο γέροντα, τὸν Ἰωάννη, λέγοντας.

> Στὸ ὄνομα τοῦ Κυρίου, ἂν χρειάζεσαι κάτι, πές μου νὰ σοῦ τὸ δώσω.

Ἀπόκριση

Ἀδελφέ, εἴθε ὁ Θεὸς νὰ σοῦ δώσει ἀγαθὸ μισθὸ γιὰ τὴν πρόθεσή σου· πλὴν ὅμως ποτὲ μέχρι τώρα, ὅταν χρειαζόμουν κάτι, δὲν εἶπα σὲ κάποιον, 'δός μου'· ἀλλά, ἐὰν δεῖ ὁ Θεὸς ὅτι χρειάζομαι κάτι καὶ ἐμπνεύσει κάποιον καὶ μοῦ τὸ φέρει, τὸ δέχομαι· διότι, ἂν τὸ πῶ ἐγὼ αὐτό, δὲν εἶναι τότε ἀνάγκη, ἀλλὰ ἐπιθυμία.

Διήγηση γιὰ τοὺς γέροντες.

Εἶπε ὁ ἀββᾶς γιὰ τὸν ἴδιο γέροντα[53]. Ποτὲ μέχρι τώρα δὲν εἶδα τὸν γέροντα νὰ γελάσει ἢ νὰ ταραχθεῖ, οὔτε νὰ μεταλαμβάνει τὴν ἅγια Κοινωνία χωρὶς δάκρυα, μαζὶ μὲ τὰ λόγια· 'Κύριε, αὐτὰ τὰ ἅγια εἴθε νὰ μὴ ἀποβοῦν πρὸς κατάκρισή μου'.

Συνέβηκε κάποτε ὁ ἴδιος γέροντας νὰ πεῖ στὸν ἀββᾶ νὰ κάνει κάτι, ἀλλὰ φεύγοντας ἀπὸ κοντά του ξέχασε ὁ ἀββᾶς νὰ τὸ κάνει. Ὅταν πάλι κατέβηκε σ' αὐτόν, τὴν ὥρα ποὺ ἐπρόκειτο νὰ τὸν ἀπολύσει τοῦ εἶπε, 'ἐὰν θυμηθεῖς, κάνε ὅ,τι σοῦ εἶπα'. Λυπημένος τότε ὁ ἀββᾶς γιὰ τὴ λησμοσύνη, ζήτησε συγχώρηση. Καὶ πάλι ὅμως, ὅταν ἐξῆλθε, ξέχασε. Μετὰ ἀπὸ μέρες κατέβηκε σ' αὐτόν, καὶ παρόμοια φεύγοντας τοῦ ὑπενθύμισε μὲ

πράγματος μετὰ πρᾳότητος, καὶ πάνυ ἐθλίβη ὁ ἀββᾶς· καὶ λέγει αὐτῷ ὁ γέρων· 'μὴ θλιβῇς, ἀλλ' ὅταν ὑπομνησθῇς, ποίησον'. Καὶ ὡς πολλάκις τοῦτο συνέβη, ἀνήγγειλεν ὁ ἀββᾶς τῷ μεγάλῳ Γέροντι, αἰτήσας μαθεῖν τί ἐστι τοῦτο. Καὶ εἶπεν αὐτῷ ὁ Γέρων· 'Κατὰ συγχώρησιν Θεοῦ τοῦτο ἐγένετο, ἵνα ἴδῃς τὴν ὑπομονὴν καὶ τὴν μακροθυμίαν τοῦ γέροντος καὶ γένῃ αὐτοῦ μιμητής'.

Διήγησις περὶ τοῦ ἀββᾶ Σερίδου.

Περὶ τοῦ ἀββᾶ Σερίδου πολλὰ ἔχω εἰπεῖν μεγάλα καὶ θαυμαστὰ καὶ διηγήσεως ἄξια. Τὰ πλείω παραλιπών, διὰ τὴν τοῦ λόγου συντομίαν, ὀλίγων δὲ μνησθήσομαι ἱκανῶν παραστῆσαι τὴν τοῦ ἀνδρὸς ἀρετήν.

Διέμεινε σώφρων ἐκ νεότητος αὐτοῦ καὶ ἐγκρατὴς σφόδρα εἴπερ τις ἄλλος. Οὕτω καταπονήσας τὸ σῶμα, ὡς καὶ δεινῶς πληγῆναι, εἰ καὶ μετὰ ταῦτα ὁ ἅγιος γέρων, τοῦ Θεοῦ δεηθεὶς ἰάσατο αὐτόν, ἐντειλάμενος αὐτῷ τοῦ λοιποῦ μετὰ διακρίσεως τὸ σῶμα κυβερνᾶν, ἵνα ὑπουργήσῃ τῇ πνευματικῇ λειτουργίᾳ καὶ ἀντισχῇ πρὸς διοίκησιν τῶν ἀδελφῶν. Ὑπακοὴν δὲ μεγάλην ἐκτήσατο, ὑποτασσόμενος ἐν παντὶ πράγματι τῷ αὐτῷ μεγάλῳ Γέροντι καὶ μέχρι θανάτου· ἀρνούμενος γὰρ τὰ ἴδια θελήματα, καθὼς ὁ Γέρων αὐτὸς ἐμαρτύρησε περὶ αὐτοῦ ἐν ταῖς προγεγραμμέναις ἀποκρίσεσι, τέλειος γέγονεν ὑπήκοος· πολλὰ γὰρ ἐξ αὐτοῦ παθὼν καὶ δαρεὶς καὶ πολυτρόπως δοκιμασθείς, καὶ διὰ σκληρῶν καὶ πολυτρόπων πραγμάτων ὥσπερ χρυσὸς ἐν χωνευτηρίῳ πυρωθείς, ἐγένετο σκεῦος ἔντιμον, εὔχρηστον τῷ Δεσπότῃ. Ἐν οὐδενὶ γὰρ ὅλως ἀντεῖπε ποτέ, οὐδὲ ὡς ἀββᾶν ἑαυτὸν ἐλογίζετο, ἀλλ' ὡς μαθητὴν τοῦ Γέροντος καὶ ὡς χρεωστῶν αὐτῷ τελείαν ὑπακοήν, ὅπερ ἦν δεῖγμα καὶ τῆς ἄκρας αὐτοῦ ταπεινοφροσύνης.

Διὰ τοῦτο γνήσιον αὐτὸν υἱὸν εἶχεν ὁ Γέρων, καὶ ἐδεήθη

πραότητα ὁ γέροντας γιὰ τὸ πρᾶγμα. Στενοχωρήθηκε πολὺ τότε ὁ ἀββᾶς· ὁ γέροντας ὅμως τοῦ εἶπε· 'μὴ στενοχωριέσαι, ἀλλὰ κάνε το ὅταν θυμηθεῖς'. Ἀφοῦ αὐτὸ συνέβηκε πολλὲς φορές, ὁ ἀββᾶς τὸ ἀνήγγειλε στὸν μεγάλο Γέροντα καὶ ζήτησε νὰ μάθει τί σημαίνει αὐτό. Ὁ γέροντας τότε εἶπε· 'Αὐτὸ ἔγινε κατὰ παραχώρηση Θεοῦ, γιὰ νὰ δεῖς τὴν ὑπομονὴ καὶ τὴν μακροθυμία τοῦ γέροντα καὶ νὰ γίνεις μιμητής του'.

Διήγηση γιὰ τὸν ἀββᾶ Σέριδο.

Πολλὰ πράγματα ἔχω νὰ πῶ γιὰ τὸν ἀββᾶ Σέριδο μεγάλα καὶ θαυμαστὰ καὶ ἀξιομνημόνευτα. Ἀφοῦ παραλείψω τὰ περισσότερα γιὰ τὴ συντομία τοῦ λόγου, θὰ μνημονεύσω λίγα ποὺ εἶναι ἀρκετὰ νὰ παρουσιάσουν τὴν ἀρετὴ τοῦ ἄνδρα.

Ἀπὸ τὴ νεότητά του παρέμεινε σώφρων καὶ πολὺ ἐγκρατὴς ὅσο κανεὶς ἄλλος. Τόσο πολὺ καταπόνησε τὸ σῶμα, ὥστε νὰ πληγωθεῖ φοβερά, ἂν καὶ ἀργότερα ὁ ἅγιος γέροντας, μὲ παράκληση πρὸς τὸν Θεό, τὸν γιάτρεψε καὶ τοῦ ἔδωσε ἐντολὴ νὰ κυβερνᾶ στὸ ἑξῆς μὲ διάκριση τὸ σῶμα, γιὰ νὰ ὑπηρετήσει τὴν πνευματικὴ λειτουργία καὶ νὰ ἀντέξει στὴ διοίκηση τῶν ἀδελφῶν. Ἀπόκτησε μεγάλη ὑπακοή, ὑποτασσόμενος γιὰ κάθε πρᾶγμα στὸν μεγάλο αὐτὸν Γέροντα, καὶ μάλιστα μέχρι θανάτου· διότι, ἀρνούμενος τὰ θελήματά του, ὅπως μαρτύρησε αὐτὸς ὁ γέροντας στὶς προγεγραμμένες σχετικὰ μ' αὐτὸν ἀποκρίσεις, ἔγινε τέλειος ὑπήκοος. Πράγματι, ἀφοῦ ἔπαθε πολλὰ ἀπ' αὐτὸν καὶ ἀφοῦ δάρθηκε καὶ δοκιμάσθηκε μὲ πολλοὺς τρόπους καὶ πυρώθηκε μὲ σκληρὰ καὶ πολύτροπα πράγματα, ὅπως ὁ χρυσὸς στὸ χωνευτήρι, ἔγινε πολύτιμο σκεῦος, εὔχρηστο στὸ Δεσπότη. Πράγματι σὲ κανέναν δὲν ἔφερε ποτὲ ἀντίρρηση οὔτε θεωροῦσε τὸν ἑαυτό του σὰν ἀββᾶ, ἀλλὰ σὰν μαθητὴ τοῦ Γέροντα καὶ σὰν ὑπόχρεο σὲ τέλεια ὑπακοὴ σ' αὐτόν, πρᾶγμα ποὺ ἦταν δεῖγμα καὶ τῆς ἄκρας ταπεινοφροσύνης.

Γι' αὐτὸ τὸν εἶχε γνήσιο γιὸ ὁ Γέροντας, καὶ παρακάλεσε

τοῦ Θεοῦ παρασχεῖν αὐτῷ τὸ χάρισμα τῆς διακρίσεως, ἣν κτησάμενος ἐδύνατο τῇ ἄνωθεν χάριτι καὶ ψυχὰς εἰς ζωὴν ὁδηγῆσαι, καὶ τεθλιμμένους θεραπεῦσαι, καὶ φάρμακον ἰαματικὸν εἰσενεγκεῖν, τὸν ἐκ τοῦ Πνεύματος λόγον, καὶ εἰρήνην μαχομένοις βραβεῦσαι. Πρότερον γὰρ ἑαυτὸν εἰρηνοποιήσας, καὶ τοῖς ἄλλοις τῆς εἰρήνης ἐγένετο πρόξενος, καὶ εἰς αὐτὸν ἐπληροῦτο, τὸ «μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται».

Ἦν δὲ μακρόθυμος καὶ ἀτάραχος καὶ προσηνὴς τοῖς προσιοῦσι, καὶ ὁ λόγος αὐτοῦ ἱλαρὸς ἐν σεμνότητι καὶ ἅλατι ἠρτυμένος. Καὶ εἶχε, κατὰ τὴν Γραφήν, τὴν φρόνησιν καὶ τὴν ἀκεραιότητα. Ἦν δὲ καὶ τοῖς ἀδελφοῖς σφόδρα περιπόθητος, τὰς αὐτῶν ψυχὰς τῷ πνευματικῷ τῆς νουθεσίας λόγῳ κατευφραίνων καὶ προτρέπων εἰς ἀρετήν, τῷ καλῷ τοῦ βίου καὶ τῆς ἐναρέτου πράξεως ὑποδείγματι, ἐκεῖνα διδάσκων, ἅπερ ἔπραττε, καὶ συγκιρνῶν τῷ κατὰ Θεὸν φόβῳ τὴν πρᾳότητα, καὶ ἐν καιρῷ ἑκάστῳ κεχρημένος, ἐλέγχων, ἐπιτιμῶν, παρακαλῶν, κατὰ τὸν τοῦ Ἀποστόλου λόγον. Καθὼς δὲ πρὸς ἡμετέραν ὠφέλειαν ἡμῖν ἀφηγήσατο, ὅτι ἐν τῇ συμβάσῃ αὐτῷ μεγάλῃ ἀσθενείᾳ, σφοδρῷ καὶ ἀπαύστῳ κατεχόμενος πυρετῷ, οὐ παρεκάλεσε τὸν Θεὸν παρασχεῖν αὐτῷ τὴν ὑγείαν, οὐδὲ κουφίσαι αὐτὸν τῆς ὀδύνης, ἀλλὰ χαρίσασθαι αὐτῷ ὑπομονὴν καὶ εὐχαριστίαν.

Συνέβη δέ ποτε ἀδελφῷ εὐλαβεῖ καὶ χρησίμῳ, ταραχθέντι κατὰ διαβολικὴν ἐνέργειαν, βουληθῆναι ἀναχωρῆσαι· καὶ ὡς πολλὰ νουθετήσας αὐτὸν οὐκ ἔπεισε μεῖναι, ἔστη εἰς προσευχὴν καὶ ἔβαλε μετάνοιαν· καὶ ἰδὼν αὐτὸν ὁ ἀδελφὸς ἀνέστη καὶ αὐτὸς καὶ τὸ αὐτὸ ἐποίησε. Καὶ στραφεὶς ὁ ἀββᾶς ἐσφράγισεν αὐτοῦ τὴν καρδίαν καὶ λέγει αὐτῷ· "Ἀδελφέ, τί θέλεις ἄρτι ποιῆσαι"; Καὶ ἀπεκρίθη ἐκεῖνος ἐν εἰρηνικῇ καταστάσει· 'Εἴ τι θέλεις'. Καὶ λέγει αὐτῷ· 'Οὐκοῦν ἔκβα ἔργασαι'. Καὶ ἐξελθὼν κατὰ τὸ σύνηθες εἰργάσατο καὶ διῆγεν ἐν εἰρήνῃ ὑποτασσόμενος ἐν φόβῳ Θεοῦ.

τὸν Θεὸ νὰ τοῦ δώσει τὸ χάρισμα τῆς διακρίσεως, καὶ ἀφοῦ τὴν ἀπόκτησε, μπόρεσε μὲ τὴν οὐράνια χάρη καὶ τὶς ψυχὲς νὰ ὁδηγήσει στὴ ζωή, καὶ θλιμμένους νὰ θεραπεύσει, καὶ νὰ προσφέρει ὡς ἰαματικὸ φάρμακο τὸν λόγο ἀπὸ τὸ Πνεῦμα, καὶ νὰ παράσχει εἰρήνη στοὺς μαχόμενους. Ἀφοῦ δηλαδὴ προηγουμένως εἰρηνοποίησε τὸν ἑαυτό του, ἔγινε πρόξενος τῆς εἰρήνης καὶ γιὰ τοὺς ἄλλους, καὶ ἐκπληρωνόταν σ' αὐτὸν τὸ «μακάριοι οἱ εἰρηνοποιοί, διότι αὐτοὶ θὰ ὀνομασθοῦν υἱοὶ Θεοῦ»[54].

Ἦταν μακρόθυμος, ἀτάραχος καὶ εὐγενὴς πρὸς ἐκείνους ποὺ τὸν πλησίαζαν. Ὁ λόγος του ἦταν σεμνός, ἀρτυμένος μὲ σεμνότητα καὶ ἁλάτι. Εἶχε τὴ φρόνηση καὶ τὴν ἀκεραιότητα σύμφωνα μὲ τὴ Γραφή[55], καὶ ἦταν πολὺ περιπόθητος καὶ στοὺς ἀδελφούς, εὐφραίνοντας τὶς ψυχές τους μὲ τὸν πνευματικὸ λόγο τῆς νουθεσίας καὶ προτρέποντάς τους σὲ ἀρετὴ μὲ τὸ καλὸ παράδειγμα τοῦ βίου καὶ τῆς ἐνάρετης πράξεώς του. Δίδασκε ἐκεῖνα ποὺ ἔπραττε, ἀναμιγνύοντας τὴν πραότητα μὲ τὸν κατὰ Θεὸν φόβο καὶ χρησιμοποιώντας κάθε τι στὸν καιρό του. Ἔλεγχε, ἐπιτιμοῦσε καὶ παρακαλοῦσε σύφμωνα μὲ τὸν λόγο τοῦ Ἀποστόλου. Ὅπως μᾶς ἀφηγήθηκε γιὰ ὠφέλειά μας, κατὰ τὴ μεγάλη ἀσθένεια ποὺ τοῦ συνέβηκε, κατεχόμενος ἀπὸ σφοδρὸ καὶ ἄπαυστο πυρετό, δὲν παρακάλεσε τὸν Θεὸ νὰ τοῦ δώσει ὑγεία οὔτε νὰ τὸν ἀνακουφίσει ἀπὸ τὴν ὀδύνη, ἀλλὰ νὰ τοῦ χαρίσει ὑπομονὴ καὶ εὐχαριστία.

Συνέβηκε κάποτε ἕνας εὐλαβὴς καὶ χρήσιμος ἀδελφός, ποὺ ταράχθηκε ἀπὸ διαβολικὴ ἐνέργεια, νὰ θέλει νὰ ἀναχωρήσει. Ἀφοῦ, ἂν καὶ τὸν συμβούλεψε πολύ, δὲν τὸν ἔπεισε νὰ μείνει, στάθηκε γιὰ προσευχὴ καὶ ἔβαλε μετάνοια. Ὅταν τὸν εἶδε ὁ ἀδελφὸς σηκώθηκε καὶ αὐτὸς καὶ ἔκανε τὸ ἴδιο. Ἀφοῦ στράφηκε ὁ ἀββᾶς τότε σφράγισε τὴν καρδιά του καὶ τοῦ λέγει· "Ἀδελφέ, τί θέλεις νὰ κάνεις τώρα;' Ἐκεῖνος ἀποκρίθηκε τότε σὲ εἰρηνικὴ κατάσταση· 'Ὅ,τι θέλεις'. Καὶ τοῦ λέγει· 'Βγὲς λοιπὸν ἔξω νὰ ἐργασθεῖς'. Βγῆκε τότε, ἐργάσθηκε κατὰ τὴ συνήθεια καὶ ζοῦσε μὲ εἰρήνη, ὑποτασσόμενος μὲ φόβο Θεοῦ.

54. Ματθ. 5,9.
55. Φρόνιμοι ὅπως τὰ φίδια.

Πάλιν ποτὲ ἀναγκαίως ἔχρηζεν ὁ αὐτὸς ἀββᾶς τόπου πλησιάζοντος τῷ κοινοβίῳ, εἰς λόγον ἐκκλησίας καὶ ξενοδοχείου, καὶ παρεκάλεσε τὸν δεσπότην αὐτοῦ παραχωρῆσαι τιμήματος, καὶ οὐκ ἠνέχετο. Καὶ ὀχλούμενος παρὰ τῶν ἀδελφῶν καὶ τῶν παραβαλόντων κοσμικῶν φιλοχρίστων περὶ τῆς τοῦ τόπου ἀγορασίας καὶ μὴ φέρων τὴν ὄχλησιν καὶ ἀπορῶν τί πρᾶξαι, ἀνήγγειλε τῷ ἄλλῳ Γέροντι. Καὶ εἶπεν αὐτῷ ὁ Γέρων· ‘Δεῖ τὸν τόπον πάντως ἐλθεῖν, ἀλλ’ οὔπω καιρός· ἐὰν δὲ θλίψῃ σε ὁ λογισμός, εἰπὲ αὐτῷ· νόμισον ὅτι ἡ στράτα ἡ βασιλική ἐστι· μὴ δυνάμεθα αὐτὴν ἀγοράσαι; καὶ οὕτως ἀναπαύῃ’.

Ὁσάκις οὖν ὠχλεῖτο ὑπὸ τούτου τοῦ λογισμοῦ ἀντετίθει ἑαυτῷ ταῦτα καὶ ἀνεπαύετο. Μετὰ δέ τινα χρόνον ἐπείσθη ὁ δεσπότης αὐτοῦ παραχωρῆσαι. Ἦν δὲ ἐν αὐτῷ τῷ τόπῳ μοναστήριον μικρὸν καὶ ἀδελφὸς οἰκῶν ἐν αὐτῷ ἐν παροικίᾳ. Καὶ λαβὼν ὁ ἀββᾶς ἰδίᾳ τὸν ἀδελφὸν ἠρώτησεν αὐτόν, εἰ λυπεῖται ἐπὶ τῇ ἀγορασίᾳ, πληροφορήσας αὐτὸν ἐνώπιον τοῦ Θεοῦ ὅτι, ἐὰν λυπεῖται, οὐκ ἀγοράζει τὸν τόπον· κᾀκείνου μετὰ χαρᾶς συναινέσαντος, προέβη τὸ πρᾶγμα.

Μαθὼν δὲ τοῦτό τις φιλόχριστος, ἀγαπητὸς ὢν τοῦ κοινοβίου, οὐ πάνυ ᾠκοδομήθη εἰς τὸν ἀββᾶν, εἰπὼν ἀδιακρίτως αὐτῷ ποιῆσαι, προτιμήσαντα ἑνὸς ἀνθρώπου θεραπείαν τοσούτων ἀδελφῶν δεομένων τῆς ἐκκλησίας καὶ πάνυ θλιβομένων ἐκ τοῦ ταύτην μὴ ἔχειν, καὶ τῶν ἐρχομένων ξένων μὴ δυναμένων τυχεῖν θεραπείας, διὰ τὸ μὴ εὑρίσκειν ποῦ δεξιωθῆναι. Καὶ αἰτήσας συγγνώμην, ἠρώτησεν αὐτὸν ποίῳ σκοπῷ τοῦτο ἐποίησε, ὁμολογήσας αὐτῷ καὶ τὴν ἰδίαν καταλαλιάν. Ὁ δὲ ἀββᾶς μειδιάσας, εἶπεν αὐτῷ· ‘Τέκνον, οὐκ ἐζήτουν θλῖψαι τὸν ἀδελφόν, καὶ τὸ πρᾶγμα ἔρριψα εἰς τὸν Θεόν, δοκιμάζων δι’ αὐτοῦ τὸ τοῦ Θεοῦ θέλημα, καὶ πιστεύσας ὅτι, ἐὰν θέλῃ ὁ Θεὸς ἡμᾶς νῦν λαβεῖν τὸν τόπον, αὐτὸς πληροφορεῖ τὸν ἀδελφὸν μὴ λυπη-

Κάποτε πάλι ὁ ἴδιος ἀββᾶς χρειαζόταν ὁπωσδήποτε τόπο ποὺ ἦταν κοντὰ στὸ κοινόβιο, γιὰ ἐκκλησία καὶ ξενοδοχεῖο. Παρακάλεσε τότε τὸν κάτοχο αὐτοῦ νὰ τοῦ τὸν παραχωρήσει μὲ χρήματα, ἀλλ' ἐκεῖνος δὲν δεχόταν. Ἐνοχλούμενος λοιπὸν ἀπὸ τοὺς ἀδελφοὺς καὶ ἀπὸ τοὺς φιλόχριστους κοσμικοὺς ποὺ τὸν ἐπισκέπτονταν γιὰ τὴν ἀγορὰ τοῦ τόπου καὶ ἐπειδὴ δὲν ὑπέφερε τὴν ἐνόχληση καὶ ἀποροῦσε τί νὰ κάνει, τὸ ἀνήγγειλε στὸν ἄλλο γέροντα. Ὁ γέροντας τότε τοῦ εἶπε· 'Πρέπει ὁπωσδήποτε νὰ παρθεῖ ὁ τόπος, ἀλλὰ δὲν εἶναι ἀκόμα καιρός· ἂν ὅμως σὲ στενοχωρήσει ὁ λογισμός, πές του· θεώρησε ὅτι εἶναι ὁ βασιλικὸς δρόμος· μήπως μποροῦμε νὰ τὸν ἀγοράσομε; καὶ ἔτσι θὰ ἀναπαυθεῖς'.

Ὅσες φορὲς λοιπὸν ἐνοχλοῦνταν ἀπὸ αὐτὸν τὸν λογισμό, ἔλεγε στὸν ἑαυτό του αὐτὰ καὶ ἀναπαυόταν. Μετὰ ἀπὸ λίγο χρόνο πείσθηκε ὁ κάτοχος αὐτοῦ νὰ τοῦ τὸν παραχωρήσει. Σ' αὐτὸν τὸν τόπο ὑπῆρχε μικρὸ μοναστήρι καὶ ἀδελφὸς ποὺ κατοικοῦσε σ' αὐτὸ σὰ πάροικος. Ὁ ἀββᾶς τότε, ἀφοῦ πῆρε ἰδιαιτέρως τὸν ἀδελφό, τὸν ἐρώτησε ἂν λυπᾶται γιὰ τὴν ἀγορά, πληροφορώντας τον ἐνώπιον τοῦ Θεοῦ, ὅτι, ἂν λυπᾶται, δὲν θὰ ἀγοράσει τὸν τόπο. Ἀφοῦ δέχθηκε καὶ ἐκεῖνος μὲ χαρά, προχώρησε τὸ πρᾶγμα.

Ὅταν ὅμως ἔμαθε αὐτὸ τὸ πρᾶγμα κάποιος φιλόχριστος, ποὺ ἦταν ἀγαπητὸς στὸ κοινόβιο, δὲν οἰκοδομήθηκε καλὰ ἀπὸ τὸν ἀββᾶ, διότι εἶπε, ὅτι τὸ ἔκανε αὐτὸ ἀδιάκριτα, προτιμώντας τὴ θεραπεία ἑνὸς ἀνθρώπου ἀπὸ τόσους ἀδελφοὺς ποὺ χρειάζονται τὴν ἐκκλησία καὶ θλίβονται πολὺ ποὺ δὲν τὴν ἔχουν, ἀλλὰ καὶ οἱ ξένοι ποὺ ἔρχονται δὲν μποροῦν νὰ ὑπηρετηθοῦν, ἐπειδὴ δὲν βρίσκουν ποῦ νὰ φιλοξενηθοῦν. Ἀφοῦ τοῦ ζήτησε τότε συγγνώμη, τὸν ἐρώτησε μὲ ποιό σκοπὸ τὸ ἔκανε αὐτό, ὁμολογώντας παράλληλα καὶ τὴν καταλαλιά του. Ὁ ἀββᾶς, ἀφοῦ χαμογέλασε, τοῦ εἶπε· 'Τέκνο, δὲν ἤθελα νὰ στενοχωρήσω τὸν ἀδελφό, καὶ ἄφησα τὸ πρᾶγμα στὸν Θεό, δοκιμάζοντας δι' αὐτοῦ τὸ θέλημα τοῦ Θεοῦ καὶ πιστεύοντας ὅτι, ἂν θέλει ὁ Θεὸς νὰ πάρομε ἐμεῖς τὸν τόπο, θὰ πληροφορήσει τὸν ἀδελφὸ νὰ μὴ

θῆναι· ἐὰν δὲ λυπηθῇ, φανεροῦται ὅτι οὔπω θέλει ἡμᾶς λαβεῖν τὸν τόπον. Καὶ ἰδοὺ ὁ Θεὸς ἐπληροφόρησεν αὐτὸν καὶ ἐν χαρᾷ συνῄνεσε, καὶ ἐγένετο τὸ πρᾶγμα μετ' εἰρήνης'.

Καὶ θαυμάσας ἐκεῖνος τοῦ ἀββᾶ τὴν πίστιν καὶ τὴν εἰς Θεὸν βεβαίαν ἐλπίδα, καὶ τὴν πρὸς τὸν πλησίον ἀγάπην, καὶ τὸ ἀπροσπαθὲς πρὸς τὰ τοῦ κόσμου πράγματα, οὐ γὰρ ἐνίκησεν αὐτὸν τὸ κατεπεῖγον καὶ ἀναγκαῖον τῆς χρείας, ἔβαλεν αὐτῷ μετάνοιαν, αἰτήσας συγχώρησιν τοῦ ἁμαρτήματος. Καί, πάνυ ὠφεληθεὶς καὶ δοξάζων τὸν Θεὸν ἐπὶ τῇ ἀρετῇ τῶν πατέρων, ἀνεχώρησε.

ΦΟΑ'

Ἐρώτησις

Ἀδελφός τις φιλόχριστος, πολλὴν ἔχων πίστιν εἰς τοὺς ἁγίους γέροντας, τὸν ἀββᾶν Βαρσανούφιον καὶ ἀββᾶν Ἰωάννην, καὶ παρ' αὐτῶν εἰς ζωὴν ὁδηγηθῆναι βουλόμενος, ἔπεμψεν ἐρωτῶν τὸν ἀββᾶν Ἰωάννην λέγων.

Ἐπειδή, πάτερ, εὔχομαι τοῖς οἰκτιρμοῖς τοῦ Θεοῦ ἀναχωρῆσαι ἐπὶ τὸν μονήρη βίον και ἀμφιβάλλω, εἰ χρή με ἐντεῦθεν ἤδη ἀποτάξασθαι καὶ ἀναχωρῆσαι, ἢ πρότερον ποιῆσαι κατάστασιν τοῖς πράγμασι καὶ οὕτως ἐξελθεῖν, ἵνα εὕρω ἐν τῇ ἀναχωρήσει τὴν ἀμεριμνίαν, καὶ μάλιστα διὰ τὴν ἐμὴν γραῖαν καὶ τοὺς παῖδας καὶ τὴν πρᾶσιν τῶν χωρίων, λέγει δέ μοι ὁ λογισμὸς παρασχεῖν αὐτὴν ἐγγὺς τῶν ἀνεψιῶν αὐτῆς καὶ δοῦναι αὐτοῖς φανερὰ χωρία τὰ ἀρκοῦντα εἰς ἀποτροφὴν αὐτῆς καὶ τῶν οἰκετῶν, καὶ οὕτω μεῖναι καὶ φροντίσαι τῆς πράσεως τῶν ἄλλων χωρίων, εἰπέ μοι, τί περιελθεῖν βέλτιον καὶ τί ὀφείλω πρᾶξαι, ὅτι ὑμῖν πάντα ὁ Θεὸς ἀποκαλύπτει τὰ συμφέροντα.

λυπηθεῖ· ἐὰν ὅμως λυπηθεῖ, εἶναι φανερὸ ὅτι δὲν θέλει νὰ πάρομε τὸν τόπο. Καὶ νά, ὁ Θεὸς τὸν πληροφόρησε καὶ μὲ χαρὰ δέχθηκε, καὶ τὸ πρᾶγμα ἔγινε μὲ εἰρήνη'.

Ἐκεῖνος τότε, θαυμάζοντας τὴν πίστη τοῦ ἀββᾶ, τὴν βέβαιη ἐλπίδα στὸν Θεό, τὴν ἀγάπη πρὸς τὸν πλησίον καὶ τὴν ἀπουσία συμπάθειας πρὸς τὰ πράγματα τοῦ κόσμου, διότι δὲν τὸν νίκησε τὸ κατεπεῖγον καὶ ἀναγκαῖο τοῦ πράγματος, τοῦ ἔβαλε μετάνοια, ζητώντας συγχώρηση τῆς ἁμαρτίας. Ἀφοῦ ὠφελήθηκε πολύ, δοξάζοντας τὸν Θεὸ γιὰ τὴν ἀρετὴ τῶν πατέρων, ἀναχώρησε.

571

Ἐρώτηση

Κάποιος φιλόχριστος ἀδελφός, ἔχοντας πολλὴ πίστη στοὺς ἁγίους γέροντες, τὸν ἀββᾶ Βαρσανούφιο καὶ τὸν ἀββᾶ Ἰωάννη, καὶ ἐπειδὴ ἤθελε νὰ ὁδηγηθεῖ ἀπὸ αὐτοὺς στὴ ζωή, ἔστειλε νὰ ἐρωτήσει τὸν ἀββᾶ Ἰωάννη, λέγοντας.

> Ἐπειδή, πάτερ, προσεύχομαι στοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ ν' ἀναχωρήσω στὸ μοναχικὸ βίο καὶ ἀμφιβάλλω, ἐὰν πρέπει ἤδη νὰ ἀποταχθῶ ἀπὸ ἐδῶ ἀμέσως τώρα καὶ ν' ἀναχωρήσω, ἢ προηγουμένως νὰ τακτοποιήσω τὴν περιουσία μου καὶ ἔπειτα ν' ἀναχωρήσω, γιὰ νὰ βρῶ μὲ τὴν ἀναχώρηση τὴν ἀμεριμνία, καὶ πρὸ πάντων προσεύχομαι γιὰ τὴ γερόντισσά μου καὶ τὰ παιδιὰ καὶ τὴν πώληση τῶν χωραφιῶν, ἀλλὰ ὁ λογισμὸς μοῦ λέγει νὰ τὴν ἀφήσω κοντὰ στοὺς ἀνιψιούς της καὶ νὰ δώσω σ' αὐτοὺς κτηματικὴ περιουσία ποὺ νὰ ἀρκεῖ γιὰ τὴ διατροφὴ αὐτῆς καὶ τῶν ὑπηρετῶν, καὶ ἔπειτα νὰ μείνω γιὰ νὰ φροντίσω γιὰ τὴν πώληση τῶν ἄλλων χωραφιῶν, πές μου, τί νὰ προτιμήσω ὡς καλύτερο, καὶ τί ὀφείλω νὰ κάνω, διότι ὁ Θεὸς ἀποκαλύπτει πάντα σὲ σᾶς ἐκεῖνα ποὺ συμφέρουν.

Ἀπόκρισις

Συγχώρησόν μοι, κύριε ἀδελφέ, ὅτι ἄνθρωπός εἰμι ἰδιώτης, μὴ καθαρίσας τὴν δεξιὰν ἀπὸ τῆς ἀριστερᾶς. Ὡς οὖν, κύριε, ἡ Γραφὴ εἶπεν, «οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον καὶ προσέχων εἰς τὰ ὀπίσω, ὑπάγει εὐθέτως»· καὶ μνημόνευε τῆς γυναικὸς Λώτ, καὶ πάλιν ὁ λέων μιᾶς τριχὸς κατέχεται, καὶ ὁ ἀετὸς εἰς τὸ ἄκρον τοῦ ὄνυχος αὐτοῦ. Δὸς οὖν τὴν γραῖαν ἐγγὺς τῶν ἀνεψιῶν αὐτῆς, καὶ ἀεὶ ἔχε τὴν ἀμεριμνίαν, καὶ ψήφισον τὰ ἀναλώματα αὐτῆς καὶ τῶν παίδων, καὶ δίδως αὐτοῖς χωρία, οἱ δὲ ἀεὶ χορηγοῦσιν αὐτῇ τὴν χρείαν ἐκ τῆς προσόδου τῶν χωρίων, ἔχοντες καὶ πρόφασιν, τοῦ ἐλπίσαι κληρονομῆσαί τι ἐξ αὐτῶν μετὰ τὴν κοίμησιν τῆς γραίας, ἀνθ' ἧς εὑρίσκει παρ' αὐτῶν ἀναπαύσεως. Ἐρώτησον δὲ τὸν ἅγιον Γέροντα, εἰ χρεία ἐστὶ μεῖναι καὶ πωλῆσαι τὰ λοιπὰ χωρία, καὶ ὡς λέγει σοι ποίησον, καὶ ἀμεριμνεῖς ἐν Κυρίῳ· οὐ γὰρ μακράν ἐστιν ἀφ' ἡμῶν, ἀλλὰ βλέπει εἰ εὔθετός ἐστιν ἡ καρδία καὶ κατὰ προαίρεσιν εὐδοκεῖ. Λαμβάνων οὖν τὴν ἐντολὴν παρὰ τοῦ Γέροντος, μετὰ θάρσους ἀνεκλύτως πρόσελθε τοῖς λεγομένοις παρ' αὐτοῦ, καὶ κατὰ τὴν πίστιν σου εὐδοκεῖ σε ὁ Θεὸς ἐν τάχει.

ΦΟΒ'

Ἐρώτησις

Τοῦ αὐτοῦ πρὸς τὸν μέγαν Γέροντα.

Οἶδα ὅτι ὑπερβαίνει με τὸ ἐρωτᾶν τὴν ἁγιωσύνην σου περὶ λογισμῶν, ἀλλ' ἀκούσας τῆς θείας φωνῆς, λεγούσης ὅτι «οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες», καὶ βλέπων ἐμαυτὸν συνεχόμενον ἀπὸ πλήθους τῶν κακῶν μου πράξεων καὶ ἐνθυμήσεων, εἰς

56. Λουκᾶ 9,62.
57. Ποὺ ἔγινε δηλαδὴ στήλη ἅλατος.

Ἀπόκριση

Συγχώρεσέ με, κύριε ἀδελφέ, διότι εἶμαι ἀνόητος ἄνθρωπος ποὺ δὲν ξεκαθάρισα τὴν δεξιὰ ἀπὸ τὴν ἀριστερά. Ὅπως λοιπόν, κύριε, εἶπε ἡ Γραφὴ «κανένας, ποὺ ἔβαλε τὸ χέρι του στὸ ἄροτρο καὶ προσέχει πρὸς τὰ πίσω, δὲν θὰ προχωρήσει ὁμαλά»[56]. Θυμήσου τὴ γυναίκα τοῦ Λὼτ [57], καὶ ἐπίσης ὅτι τὸ λιοντάρι συλλαμβάνεται ἀπὸ μία τρίχα, καὶ ὁ ἀετὸς ἀπὸ τὴν ἄκρη τοῦ νυχιοῦ του. Ἄφησε λοιπὸν τὴ γερόντισσα κοντὰ στοὺς ἀνιψιούς της, καὶ ἔχε πάντοτε τὴν ἀμεριμνησία, ὑπολόγισε τὰ ἔξοδα αὐτῆς καὶ τῶν παιδιῶν καὶ δῶσε τους χωράφια· αὐτοὶ θὰ χορηγοῦν πάντοτε σ' αὐτὴν τὰ ἀναγκαῖα ἀπὸ τὰ εἰσοδήματα τῶν χωραφιῶν, ἔχοντας καὶ πρόφαση, τὴν ἐλπίδα νὰ κληρονομήσουν κάτι ἀπὸ αὐτὰ μετὰ τὸν θάνατο τῆς γερόντισσας, ἔναντι τῆς ἀναπαύσεως ποὺ θὰ βρεῖ ἀπὸ αὐτούς. Ρώτησε ὅμως τὸν ἅγιο γέροντα, ἂν εἶναι ἀνάγκη νὰ μείνεις καὶ νὰ πουλήσεις τὰ ὑπόλοιπα χωράφια, καὶ κάμε ὅπως σοῦ πεῖ. Καὶ θὰ ἀμεριμνήσεις στὸ ὄνομα τοῦ Κυρίου, διότι δὲν εἶναι μακριὰ ἀπὸ μᾶς, ἀλλὰ βλέπει ἂν ἡ καρδιὰ εἶναι κατάλληλη καὶ εὐδοκεῖ σύμφωνα μὲ τὴν προαίρεση. Παίρνοντας λοιπὸν τὴν ἐντολὴ ἀπὸ τὸν γέροντα, προχώρησε μὲ θάρρος καὶ δύναμη σ' αὐτὰ ποὺ θὰ σοῦ πεῖ αὐτὸς καὶ ὁ Θεὸς θὰ σοῦ προσφέρει τὴν εὐδοκία του γρήγορα ἀνάλογα μὲ τὴν πίστη σου.

572

Ἐρώτηση

Τοῦ ἴδιου πρὸς τὸν μεγάλο Γέροντα.

Γνωρίζω ὅτι εἶναι πάνω ἀπὸ τὴν ἀξία μου νὰ ἐρωτήσω τὴν ἁγιωσύνη σου γιὰ τοὺς λογισμούς· ἀλλά, ἐπειδὴ ἄκουσα τὴ θεία φωνὴ ποὺ λέγει, «δὲν ἔχουν ἀνάγκη γιατροῦ οἱ ὑγιεῖς, ἀλλὰ οἱ ἀσθενεῖς»[58], καὶ βλέποντας νὰ εἶμαι κυριευμένος ἀπὸ τὸ πλῆθος τῶν κακῶν πράξεων καὶ

58. Λουκᾶ 5,31.

τὸ πέλαγος τῶν οἰκτιρμῶν σου ἐμαυτὸν ἔρριψα, διὰ τὸν εἰπόντα, ὅτι «ζῶ ἐγώ, λέγει Κύριος, ὅτι οὐ θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν», ἵνα διὰ σοῦ ἀκούσω κἀγὼ παρ' αὐτοῦ, «τέκνον, ἀφέωνταί σου αἱ ἁμαρτίαι αἱ πολλαί». Οἶδα καὶ πιστεύω, ὅτι ἐχαρίσατο ὑμῖν ὁ Θεὸς τὸ γνῶναι διὰ τοῦ ἁγίου αὐτοῦ Πνεύματος πρὸ τοῦ αἰτῆσαι ὑμᾶς, τί ἐστιν ὃ θέλω καὶ περὶ ποίων λογισμῶν ἐρωτῶ· ἀλλ' ἐπειδὴ ἤκουσα τοῦ προφήτου λέγοντος, «εἰπὲ πρῶτον τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς», διὰ τοῦτο κἀγὼ ἐν γράμμασι σημειοῦμαι, παρακαλῶν μὴ παριδεῖν μου τὴν ἀθλιότητα, ἀλλὰ δέξασθαι ταύτην τὴν δέησιν παρ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ· ἐδόθη γὰρ ὑμῖν ἐξουσία παρὰ τοῦ Θεοῦ τοῦ ἐξαγαγεῖν ἐκ σκότους καὶ σκιᾶς θανάτου καὶ ὁδηγῆσαι πρὸς τὸ φῶς τὸ ἀληθινόν, ὅτι χρηστός ἐστι.

Τί οὖν κελεύετέ μοι ποιῆσαι; ἀποτάξασθαί με πᾶσιν ὑφ' ἓν ἀπρονόητα, ἢ πρῶτον ποιῆσαι κατάστασιν, εἶθ' οὕτως ἀναχωρῆσαι, μήποτε εὕρω τὴν μέριμναν θλίβουσάν με ἐν τῇ ἀναχωρήσει, καὶ ταραχώδεις λογισμοὺς ἐπιχορηγοῦσάν μοι, οἵτινες πνίγουσι τοὺς πνευματικοὺς καὶ καλοὺς καρπούς; Καὶ εἰ προστάσσετε τὸ διατάξασθαί με πρῶτον, κελεύσατέ με σημάναι, εἰ χρή τι φροντίσαι τῆς πράσεως τῶν μικρῶν μου χωρίων, καὶ αἰτήσατέ μοι τὴν παρὰ τοῦ Θεοῦ βοήθειαν. Οὐχ ὡς θαρρῶν ἐμαυτῷ, ὅτι δύναμαι φυλάξαι τὰ παρ' ὑμῶν κελευόμενα ἐπερωτῶ, ἀλλ' ἔχων ἐλπίδα εἰς τὰς εὐχὰς ὑμῶν, εἰς τὸ κελεῦσαι καὶ βοηθῆσαι· ἐὰν γὰρ αἰτήσητε τὸν Θεὸν ὑπὲρ ἐμοῦ, ἵνα κατευοδώσῃ μοι ὁ Κύριος τὸ καλὸν καὶ τὸ συμφέρον καὶ παράσχῃ μοι δύναμιν εἰς τὸ φυλάξαι, οὐκ ἀθετεῖ τὴν αἴτη-

σκέψεών μου, ἔρριξα τὸν ἑαυτό μου στὸ πέλαγος τῶν οἰκτιρμῶν σου, ἐξαιτίας ἐκείνου ποὺ εἶπε, «ζῶ ἐγώ, λέγει ὁ Κύριος, διότι δὲν θέλω τὸν θάνατο τοῦ ἁμαρτωλοῦ, παρὰ νὰ ἐπιστρέψει καὶ νὰ ζήσει»[59], γιὰ νὰ ἀκούσω καὶ ἐγὼ μέσω σοῦ ἀπὸ αὐτόν, «τέκνο μου, σοῦ συγχωροῦνται οἱ πολλὲς ἁμαρτίες»[60]. Γνωρίζω καὶ πιστεύω ὅτι σᾶς χάρισε ὁ Θεὸς τὸ νὰ γνωρίζετε μὲ τὴ βοήθεια τοῦ ἁγίου του Πνεύματος πρὶν σᾶς ζητήσω, τί εἶναι αὐτὸ ποὺ θέλω καὶ γιὰ ποιούς λογισμοὺς ἐρωτῶ· ἀλλά, ἐπειδὴ ἄκουσα τὸν προφήτη νὰ λέγει, «πὲς πρῶτα τὶς ἁμαρτίες σου γιὰ νὰ δικαιωθεῖς», γι' αὐτὸ καὶ ἐγὼ σᾶς τὰ ἐκθέτω μὲ γράμματα, παρακαλώντας νὰ μὴ παραβλέψετε τὴν ἀθλιότητά μου, ἀλλὰ νὰ δεχθεῖτε αὐτὴ τὴ δέηση ἀπὸ μένα τὸν ἁμαρτωλό· διότι σᾶς δόθηκε ἐξουσία ἀπὸ τὸν Θεὸ νὰ μὲ βγάλετε ἀπὸ τὸ σκοτάδι καὶ τὴ σκιὰ τοῦ θανάτου καὶ νὰ μὲ ὁδηγῆστε στὸ ἀληθινὸ φῶς, διότι εἶναι χρηστός.

Τί λοιπὸν μὲ διατάζετε νὰ κάνω; νὰ τὰ ἐγκαταλείψω ὅλα ἀμέσως χωρὶς πρόνοια, ἢ πρῶτα νὰ κάνω τακτοποίηση τῆς περιουσίας κι ἔπειτα ν' ἀναχωρήσω, μὴ τυχὸν βρῶ ποτὲ τὴ μέριμνα νὰ μὲ στενοχωρεῖ κατὰ τὴν ἀναχώρηση καὶ νὰ μὲ γεμίζει ταραχώδεις λογισμούς, ποὺ πνίγουν τοὺς πνευματικοὺς καὶ καλοὺς καρπούς; Καὶ ἂν παραγγέλλετε πρῶτα νὰ τακτοποιήσω τὰ περιουσιακά, ἐξηγῆστε μου νὰ καταλάβω, ἐὰν πρέπει νὰ φροντίσω κατά τι γιὰ τὴν πώληση τῶν μικρῶν μου χωραφιῶν, καὶ ζητῆστε γιὰ μένα τὴ βοήθεια ἀπὸ τὸν Θεό. Σᾶς ἐρωτῶ ὄχι ἐπειδὴ ἔχω ἐμπιστοσύνη στὸν ἑαυτό μου, ὅτι μπορῶ νὰ φυλάξω αὐτὰ ποὺ διατάζετε, ἀλλ' ἐπειδὴ ἐλπίζω στὶς προσευχές σας, στὴν προτροπή σας καὶ στὴ βοήθειά σας· ἂν δηλαδὴ παρακαλέσετε τὸν Θεὸ γιὰ μένα, ὥστε νὰ κατευοδώσει σὲ μένα ὁ Κύριος τὸ καλὸ καὶ τὸ συμφέρον καὶ νὰ μοῦ δώσει δύναμη πρὸς φύλαξη αὐτοῦ, δὲν θὰ ἀθετήσει τὴν

59. Ἰεζ. 33,11.
60. Ματθ. 9,2.

σιν ὑμῶν· τοῦτο γὰρ καὶ μόνον παραθαρρύνει μου τὴν ἀσθένειαν.

Ἀπόκρισις

Τέκνον, ὅτι ὁ καιρὸς πονηρός ἐστι, δῆλον, καὶ ὁ δυνάμενος φυγεῖν, σώζεται, κατὰ τὸν Λὼτ ἀπὸ Σοδόμων· καὶ γὰρ ὁ κόσμος ἐν τῷ κακῷ κεῖται, κατὰ τὸ γεγραμμένον, καὶ τοὺς ἐν αὐτῷ πάντως κατ' αὐτὸν ἐργάζεται. Πλεκόμενοι γὰρ τοῖς γηΐνοις, γήϊνοι γίνονται, οἱ δὲ ἀποτασσόμενοι τούτοις, ἐκ τῆς γῆς ἀνῆλθον, οὐκοῦν δῆλον ὅτι καὶ οὐράνιοι γίνονται. Καὶ οὐ συνίεμεν οἱ ἄθλιοι, ὅτι καὶ μὴ θέλοντες διὰ τὸν Θεὸν ἀναχωρῆσαι ἀπὸ τούτων, ἀναχωρῆσαι ἔχομεν ἐν τῇ ὥρᾳ τοῦ θανάτου ἄκοντες.

Τέκνον, ἡ ἐπιτροπὴ τοῦ Θεοῦ ἐστιν, ἵνα εὐθὺς κόψῃ ὁ ἄνθρωπος ἀπὸ ὅλων. Τῷ γὰρ προσελθόντι αὐτῷ ἀνθρώπῳ αἰτοῦντι καὶ λέγοντι, «ἀκολουθήσω σοι, ὅπου ἐὰν ἀπέρχῃ, Κύριε, ἐπίτρεψόν μοι δὲ πρῶτον διατάξασθαι ἐν τῷ οἴκῳ μου», εἶπεν, «οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν»· καὶ πάλιν ἄλλῳ εἶπεν, «ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς»· καὶ πάλιν, «ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος». Τί δέ, ὅτι καὶ τὴν ἑαυτοῦ ψυχὴν εἶπε μισῆσαι; Καὶ πῶς μισεῖ τις τὴν ἑαυτοῦ ψυχήν, ἀλλ' ἢ ἐν τῷ κόψαι τὸ ἴδιον θέλημα ἐν πᾶσι τῷ Κυρίῳ, λέγων, «οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ»; Καὶ εἰ ὅλως λέγεις τοῦτο, ἰδοὺ θέλημα αὐτοῦ ἐστιν, ἵνα ἀφῶμεν ὅλα καὶ ἀκολουθήσωμεν αὐτῷ.

Τί οὖν; οὐκ ἀφῶμεν; Ἀλλ' ἐπειδὴ διὰ τὴν ἀσθένειαν ἡμῶν οὐκ ἐφθάσαμεν εἰς τοῦτο, κἂν βάλωμεν κάτω τὸν αὐχένα, ἐπιγι-

---

61. Λουκᾶ 9,62.
62. Ματθ. 8,22.

παράκλησή σας· διότι αὐτὸ καὶ μόνο θὰ ἐνδυναμώσει τὴν ἀσθένειά μου.

Ἀπόκριση

Τέκνο μου, τὸ ὅτι ὁ καιρὸς εἶναι πονηρός, εἶναι φανερό· αὐτὸς ποὺ μπορεῖ νὰ φύγει σώζεται, κατὰ τὸν Λὼτ ἀπὸ τὰ Σόδομα· διότι ὁ κόσμος βρίσκεται μέσα στὸ κακό, σύμφωνα μὲ τὴ Γραφή, καὶ τοὺς εὑρισκομένους σ' αὐτὸ τοὺς διαμορφώνει κατὰ τὴ φύση του. Πράγματι ἐμπλεκόμενοι στὰ κοσμικά, γίνονται κοσμικοί, ἐνῶ ἐκεῖνοι ποὺ ἀπομακρύνονται ἀπὸ αὐτά, ἀνῆλθαν ἀπὸ τὴ γῆ, καὶ εἶναι φανερὸ ὅτι γίνονται καὶ οὐράνιοι. Δὲν καταλαβαίνομε ὅμως οἱ ἄθλιοι ὅτι καὶ νὰ μὴ θέλομε ν' ἀναχωρήσομε ἀπὸ αὐτὰ γιὰ χάρη τοῦ Θεοῦ, θ' ἀναχωρήσομε χωρὶς τὴ θέλησή μας κατὰ τὴν ὥρα τοῦ θανάτου.

Τέκνο μου, ἡ ἐντολὴ τοῦ Θεοῦ εἶναι νὰ ξεκόψει ἀμέσως ὁ ἄνθρωπος ἀπὸ ὅλα. Διότι στὸν ἄνθρωπο ποὺ προσῆλθε σ' αὐτὸν παρακαλώντας τον καὶ λέγοντας, «Κύριε», θὰ σ' ἀκολουθήσω ὅπου κι ἂν πᾶς, ἀλλ' ἄφησέ με πρῶτα νὰ τακτοποιήσω τὰ ὑπάρχοντα στὸ σπίτι μου», εἶπε· «κανένας, ποὺ ἔβαλε τὸ χέρι του πάνω στὸ ἄροτρο καὶ στράφηκε πρὸς τὰ πίσω, δὲν εἶναι εὐπρόσδεκτος στὴ βασιλεία τῶν οὐρανῶν»[61]· καὶ πάλι εἶπε σ' ἄλλον· «ἄφησε τοὺς νεκροὺς νὰ θάψουν τοὺς νεκρούς τους»[62]· καὶ πάλι, «αὐτὸς ποὺ ἀγαπᾶ τὸν πατέρα ἢ τὴν μητέρα του περισσότερο ἀπὸ μένα, δὲν εἶναι ἄξιός μου»[63]. Τί σημαίνει ὅμως αὐτὸ ποὺ εἶπε, «νὰ μισήσει καὶ τὴν ψυχή του»; Καὶ πῶς μισεῖ κανεὶς τὴν ψυχή του, παρὰ κόβοντας τὸ θέλημά του σὲ ὅλα καὶ λέγοντας στὸν Κύριο, «ὄχι ὅπως θέλω ἐγώ, ἀλλὰ ὅπως ἐσὺ θέλεις»[64]; καὶ ἂν πραγματικὰ τὸ λὲς αὐτό, νά, θέλημά του εἶναι νὰ τὰ ἀφήσομε ὅλα καὶ νὰ τὸν ἀκολουθήσομε.

Τί λοιπόν; δὲν θὰ τὰ ἀφήσομε; Ἐπειδὴ ὅμως ἐξαιτίας τῆς ἀσθένειάς μας δὲν φθάσαμε σ' αὐτὸ τὸ σημεῖο, ἂς βάλομε του-

---

63. Ματθ. 10,37.
64. Ματθ. 26,39.

λάχιστο κάτω τὸν αὐχένα, ἀναγνωρίζοντας τὴν ἀδυναμία μας, καὶ ἃς περιμένομε νὰ διαταχθοῦμε. Ἂς μὴ μεγαλοφρονήσομε σὰν νὰ κάνομε κάτι καλό, διότι ἀκόμα κάνομε τὰ ἔργα τῶν ἀρρώστων· διότι ἐκεῖνοι ποὺ ἀπαρνοῦνται τελείως τὸν κόσμο, ἀπομακρύνουν τοὺς ἑαυτούς τους μιὰ γιὰ πάντα.

Καὶ σὺ λοιπόν, τέκνο μου, σὰν ἀσθενὴς καὶ ὄχι σὰν τελείως ὑγιής, κανόνισε πρῶτα τὰ πράγματα, ὥστε νὰ μὴ πωλήσεις τὰ κτήματα, ἀλλὰ ν' ἀναπαύσεις τὴ γερόντισσά σου, διότι στὰ περιουσιακὰ πράγματα θὰ βρεῖς παγίδα γιὰ τὸν ἑαυτό σου· τακτοποίησέ τα λοιπὸν σύμφωνα μὲ τὴν ἀπάντηση τοῦ ἀδελφοῦ Ἰωάννη. Γιὰ τὴν πώληση τοῦ χωραφιοῦ θὰ φροντίσει ὁ Κύριος καὶ θὰ ρυθμίσει τὴ ζωή σου, ἀφοῦ ἀφήσεις τὴ μέριμνα σ' αὐτόν. Κάθε μέρα καὶ κάθε νύχτα νὰ θυμᾶσαι νὰ τοῦ λές· 'Δέσποτά μου, κατευόδωσέ μου τὸν δρόμο σύμφωνα μὲ τὸ θέλημά σου, γιὰ τὸ καλό μου καὶ τὸ συμφέρον'· διότι αὐτὸς γνωρίζει περισσότερο ἀπὸ κάθε ἄνθρωπο, πῶς θὰ μᾶς βγάλει μὲ ἄνεση ἀπὸ τὴ φυλακὴ τοῦ σκότους, δηλαδὴ ἀπὸ τὰ δεσμὰ τῶν πραγμάτων αὐτοῦ τοῦ μάταιου κόσμου. Νὰ μὴ ἀποδυναμωθεῖ λοιπὸν ἡ καρδιά σου· ἐλπίζω στὸν Θεό, διότι σὲ βλέπω νὰ καρποφορεῖς στὸν Θεὸ ἀκολουθώντας τὰ βήματά μου.

573

Παράκληση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο.

Ὅσιε πάτερ, εὐχαριστῶ τὸν Θεό, διότι δὲν ἀπέστρεψες τοὺς οἰκτιρμούς σου ἀπὸ μένα· ὁλοκλήρωσε λοιπὸν τὸ ἔλεός σου πρὸς τὸν δοῦλο σου καὶ παρακάλεσε τὸν Δεσπότη Θεὸ γιὰ τὴ σωτηρία τῆς ψυχῆς μου καὶ γιὰ νὰ ἐλευθερωθῶ ἀπὸ τὰ πάθη τῆς πονηρῆς λησμονιᾶς μὲ τὰ ἅγια χέρια σου καὶ στὸν τωρινὸ αἰώνα καὶ στὸν μέλλοντα, καὶ γιὰ νὰ ἐξέλθω ἀπὸ τὸ σῶμα ζώντας κάτω ἀπὸ τὴν προστασία σου· καὶ ἁπλῶς γιὰ νὰ γίνω δοῦλος σου στὸν αἰώνα, ἀπολαμβάνοντας μόνο μὲ τὴ χάρη τὴν ἀγαθή σου πολιτεία.

νώσκοντες ἡμῶν τὴν ἀδυναμίαν, καὶ μείνωμεν διατάξασθαι. Μὴ μεγαλοφρονήσωμεν ὡς καλῶς ποιοῦντες, ἀλλ᾽ ὅτι ἀκμὴν τὰ τῶν ἀρρώστων ποιοῦμεν· οἱ γὰρ τελείως ἀποτασσόμενοι τῷ κόσμῳ, ἐφάπαξ ἀποτινάσσονται ἑαυτούς.

Τοίνυν καὶ σύ, τέκνον, ὡς ἀσθενὴς καὶ οὐχ ὑγιὴς τελείως, διάταξαι πρῶτον τὸ μὴ πωλῆσαι μέν, ἀναπαῦσαι δέ σου τὴν γραίαν, ἐπεὶ εὑρίσκεις σεαυτῷ παγίδα ἐν τοῖς πράγμασι· διάταξον οὖν αὐτὴν κατὰ τὴν τοῦ ἀδελφοῦ Ἰωάννου ἀπόκρισιν. Καὶ περὶ τῆς πράσεως τοῦ χωρίου φροντίσει ὁ Κύριος καὶ οἰκονομήσει σου τὸν βίον, ῥίψαντος τὴν μέριμναν ἐπ᾽ αὐτόν. Καθ᾽ ἡμέραν δὲ καὶ κατὰ νύκτα μιμνήσκου τοῦ λέγειν αὐτῷ, ὅτι, ‘Δέσποτά μου, κατευόδωσόν μοι τὴν ὁδὸν κατὰ τὸ θέλημά σου, πρὸς τὸ καλόν μου καὶ συμφέρον’· αὐτὸς γὰρ πλεῖον παντὸς ἀνθρώπου οἶδε πῶς ἐξάγει ἡμᾶς μετὰ ἀνέσεως ἀπὸ τῆς φυλακῆς τοῦ ζόφου, ἀπὸ τῆς συνοχῆς λέγω τῶν τοῦ κόσμου τούτου τοῦ ματαίου πραγμάτων. Μὴ οὖν ἐκλυθῇ σου ἡ καρδία· ἐλπίζω γάρ μου εἰς τὸν Θεόν, ὅτι ἐπὶ τῇ στάσει τῶν ποδῶν μου βλέπω σε καρποφοροῦντα τῷ Θεῷ.

ΦΟΓ'

***Αἴτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν.*

Πάτερ ὅσιε, εὐχαριστῶ τῷ Θεῷ, ὅτι οὐκ ἀπέστρεψας τοὺς οἰκτιρμούς σου ἀπ᾽ ἐμοῦ· τελείωσον οὖν τὸ ἔλεός σου μετὰ τοῦ δούλου σου καὶ δεήθητι τοῦ Δεσπότου Θεοῦ περὶ τῆς σωτηρίας τῆς ψυχῆς μου καὶ ἵνα ρυσθῶ τῶν παθῶν τῆς πονηρᾶς λήθης διὰ τῶν ἁγίων χειρῶν σου καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι καὶ ἵνα, ἐν τῇ ὑμετέρᾳ σκέπῃ διάγων, ἐξέλθω ἐκ τοῦ σώματος· καὶ ἁπλῶς ἵνα γένωμαί σου δοῦλος εἰς τὸν αἰῶνα, χάριτι καὶ μόνῃ τῆς ἀγαθῆς σου πολιτείας ἀπολαύων.

Ἀπόκρισις Βαρσανουφίου.

Τέκνον, καλῶς ἔγραψας περὶ τῆς λήθης· εἰ μὴ γὰρ ἐπελάθου τῶν γραφέντων σοι παρ' ἐμοῦ, μαθεῖν εἶχες ἀπ' αὐτῶν, ὅτι ἐπληροφόρησέ μοι ὁ Δεσπότης ἡμῶν ὁ ἐλεήμων καὶ προγνώστης Κύριος, ἔχειν σε υἱὸν γνήσιον πνευματικόν· μυστήριά σοι ἐθάρρησα, ἃ πολλοῖς οὐκ ἐθάρρησα, ὑπόδειγμα υἱοθεσίας. Τίνι γὰρ θαρρεῖ ὁ πατήρ, εἰ μὴ τῷ υἱῷ; καὶ ταῦτα κατὰ πρόσβασιν κατὰ τὴν αὐτοῦ προκοπήν, ὡς δύναται καὶ βαστάξαι καὶ φυλάξαι· καὶ ὅλη ἡ δέησίς μου ὑπὲρ σοῦ πρὸς τὸν Θεὸν καὶ ἡ προσευχή μου, ἵνα ἐλευθερώσῃ σε ἀπὸ πάντων τῶν παθῶν τῆς ἀτιμίας, μεθ' ὧν ψηφίζεται καὶ ἡ λήθη, καὶ ἵνα πέμψῃ σοι πνεῦμα, διδάσκον σε περὶ πάντων, καὶ ἵνα μὴ χωρισθῇς ὑμῶν μήτε ἐν τῷ νῦν αἰῶνι, μήτε ἐν τῷ μέλλοντι. Τῷ γὰρ Θεῷ πεφανέρωνται πῶς πέπηκταί σου τὸ μνημόσυνον εἰς τὴν ἐμὴν καρδίαν, καὶ πιστεύω ὅτι οὐ γίνεται αὐτοῦ ἐξάλειψις εἰς τὸν αἰῶνα.

Πίστευσόν μοι ὅτι ἐχαρίσατό μοι ἤδη τὴν ψυχήν σου ὁ Θεὸς εἰς ζωὴν αἰώνιον, ἀλλὰ πρόσχες μετὰ ἀσφαλείας· καὶ μὴ πάλιν ἐπιλάθῃ τοῦ φυλάξαι ἀδιστάκτως ἔχειν τὴν μνήμην τῶν εἰρημένων καὶ μὴ ἀμελήσῃς. Πολλοὶ γὰρ μετὰ τὸ κερδάναι καὶ σφραγίσαι τὸ χρυσίον ἠμέλησαν, καὶ βεβουλισμένον αὐτὸ ἀπώλεσαν. Ἐὰν γὰρ μὴ φιλοκαλήσῃ ἄνθρωπος καὶ σπείρῃ τὴν γῆν αὐτοῦ πρὸς ὑποδοχὴν ὑετοῦ, ὅλοι οἱ ὄμβροι ἐὰν βρέξωσιν, οὐδὲν ὠφελοῦσιν εἰς καρποφορίαν. Βλέπε μὴ ῥαθυμήσῃς βλέπων ἄλλον βαστάζοντά σου τὸ γομάριον, καὶ σπαταλήσῃς· οὐ γὰρ εἶπε 'πολὺ' «ἰσχύει δέησις δικαίου ἐνεργουμένη», ἀλλὰ «πολλά»· τουτέστι πολλὰ ἐκ τῶν προκειμένων.

Ποίησον τὴν δύναμίν σου· πολλοὶ γὰρ ἦσαν μετὰ τοῦ Ἰησοῦ καὶ ἀπηλλοτριώθησαν ἀπ' αὐτοῦ. Καὶ ὁ Ἀπόστολος λέγει· «εἰ

Ἀπόκριση Βαρσανουφίου.

Τέκνο μου, σωστὰ ἔγραψες γιὰ τὴ λησμονιά· διότι, ἐὰν δὲν ξεχνοῦσες ὅσα σοῦ ἔγραψα, θὰ εἶχες μάθει ἀπὸ αὐτά, ὅτι μὲ πληροφόρησε ὁ Δεσπότης μας, ὁ ἐλεήμων καὶ προγνώστης Κύριος, νὰ σὲ ἔχω γνήσιο πνευματικὸ γιό· σοῦ ἐμπιστεύθηκα τὰ μυστήρια ποὺ δὲν ἐμπιστεύθηκα σὲ πολλούς, πρᾶγμα ποὺ εἶναι δεῖγμα υἱοθεσίας. Διότι ποιόν θὰ ἐμπιστευθεῖ ὁ πατέρας, ἂν ὄχι τὸν γιό; Καὶ αὐτὸ τὸ κάνει προοδευτικὰ σύμφωνα μὲ τὴ δική του προκοπή, γιὰ νὰ μπορεῖ καὶ νὰ τὰ βαστάξει καὶ νὰ τὰ φυλάξει. Ὅλη ἡ δέησή μου καὶ προσευχή μου πρὸς τὸν Θεὸ εἶναι γιὰ σένα, γιὰ νὰ σὲ ἐλευθερώσει ἀπὸ ὅλα τὰ πάθη τῆς ἀτιμίας, ἀνάμεσα στὰ ὁποῖα λογαριάζεται καὶ ἡ λησμονιά, καὶ γιὰ νὰ σοῦ στείλει πνεῦμα, ποὺ θὰ σὲ διδάξει γιὰ ὅλα, καὶ γιὰ νὰ μὴ χωρισθεῖς ἀπὸ μας οὔτε στὸν τωρινὸ αἰώνα, οὔτε στὸν μέλλοντα. Διότι εἶναι φανερὸ στὸν Θεὸ πῶς ἔχει στερεωθεῖ ἡ ἀνάμνησή σου στὴν καρδιά μου, καὶ πιστεύω ὅτι δὲν θὰ γίνει ἐξέλειψη αὐτῆς στὸν αἰώνα.

Πίστεψέ με ὅτι ἤδη ὁ Θεὸς μοῦ χάρισε τὴν ψυχή σου γιὰ αἰώνια ζωή, ἀλλὰ πρόσεχε μὲ ἀσφάλεια· καὶ μὴ ξεχάσεις πάλι νὰ φυλάξεις ἀδίστακτα τὴν ἀνάμνηση αὐτῶν ποὺ εἶπα καὶ μὴ ἀμελήσεις. Διότι πολλοί, ἀφοῦ κέρδισαν καὶ σφράγισαν τὸν χρυσό, ἀμέλησαν καί, ἔχοντάς τον σφραγισμένον, τὸ ἔχασαν. Διότι ὁ ἄνθρωπος, ἂν δὲν καλλιεργήσει καὶ δὲν σπείρει τὴ γῆ του, ὥστε νὰ εἶναι ἕτοιμη γιὰ βροχή, κι ἂν ἀκόμη ὅλοι οἱ ὄμβροι πέσουν, δὲν ὠφελοῦν καθόλου γιὰ καρποφορία. Πρόσεχε νὰ μὴ ραθυμήσεις, βλέποντας ἄλλον νὰ σοῦ κρατᾶ τὸ φορτίο, καὶ σπαταλήσεις· διότι, δὲν εἶπε «ἡ δέηση ποὺ γίνεται ἀπὸ τὸν δίκαιο» 'ἰσχύει πολύ', ἀλλὰ «πολλά»[65]· δηλαδὴ πολλὰ ἀπὸ τὰ προκείμενα.

Βάλε τὴ δύναμή σου· διότι πολλοὶ ἦταν μαζὶ μὲ τὸν Ἰησοῦ καὶ ἀπομακρύνθηκαν ἀπὸ αὐτόν. Καὶ ὁ Ἀπόστολος λέγει· «ἂν

65. Ἰακ. 5,16.

δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω». Ἀλλὰ μὴ συγχωρήσῃ ὁ Θεὸς ἵνα ταῦτα εἰς σὲ πληρωθῶσιν, ἀλλ' ἵνα μένῃς υἱὸς γνήσιος ποθεινότατος τῶν κατὰ Χριστόν μου ὠδίνων, πρόβατον τῆς ποίμνης τοῦ Χριστοῦ, σκεῦος ἡγιασμένον, κληρονόμος τῆς δόξης καί, κατὰ τὰς ἐντολὰς τοῦ Χριστοῦ πολιτευσάμενος, τύχῃς τῆς αἰωνίου ζωῆς. Μὴ καταισχύνῃς μου τὸ γῆρας· Θεὸς γὰρ οἶδε πῶς ποιῶ μου τὴν δύναμιν ὑπὲρ τὴν δύναμιν ὑπὲρ τῆς σῆς σωτηρίας, δεόμενος αὐτοῦ, ἵνα εἰς τὸν αἰῶνα τάξῃ σε μετὰ τῶν ἁγίων αὐτοῦ συγκληρονόμον τῶν μελλόντων αὐτοῖς ἀγαθῶν, «ὅπου ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃν ἡτοίμασεν ὁ Θεὸς αὐτοῖς», ἐν οἷς εἴη σου τὸ μέρος καὶ ἡ κληρονομία καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. Καὶ εἰπάτωσαν αἱ ἄνω δυνάμεις καὶ οἱ κάτω ἀκμὴν ἐν τῷ σώματι ἅγιοι, 'ἀμήν, ἀμήν· γένοιτο, γένοιτο', καὶ σφραγίσοι ὁ Πατήρ, ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα.

ΦΟΔ'

Διήγησις *τοῦ αὐτοῦ πρὸς τὸν ἄλλον γέροντα.*

Μετά τινα χρόνον μέλλων πρὸς Θεὸν ἐκδημεῖν ὁ ἀββᾶς Σερίδος, ὁ τοῦ κοινοβίου ἡγούμενος, ἐνεστήσατο κληρονόμους τοὺς πρώτους τῶν ἀδελφῶν· οὐχ ὥστε πάντας ὁμοῦ διοικεῖν, ἐπειδὴ τοῦτο ἀκαταστασίας αἴτιον γίνεται, ἀλλὰ κατὰ τάξιν τὸν πρῶτον καὶ τελευτῶντος αὐτοῦ τὸν δεύτερον καὶ οὕτω τοὺς λοιποὺς καθεξῆς. Ἔγραψε δὲ τελευταῖον τὸν φιλόχριστον τοῦτον ἀδελφόν, τὸν ἀββᾶν Αἰλιανόν, ὥστε αὐτὸν μετὰ πάντας εἶναι κληρονόμον, εἰ γένηται μοναχός· ἠγνόει δὲ τοῦτο ὁ αὐτὸς ἀδελφός.

Ὡς οὖν ἐπὶ τῇ τοιαύτῃ διατυπώσει μετέστη πρὸς Κύ-

χωρίζεται ὁ ἄπιστος, ἂς χωρισθεῖ»[66]. Εἴθε ὅμως νὰ μὴ δώσει ὁ Θεὸς νὰ συμβοῦν αὐτὰ σὲ σένα, ἀλλὰ νὰ μείνεις γνήσιος ποθεινότατος υἱὸς τῶν κατὰ Χριστὸν ὠδίνων μου, πρόβατο τῆς ποίμνης τοῦ Χριστοῦ, ἁγιασμένο σκεῦος, κληρονόμος τῆς δόξας, καί, ἀφοῦ ζήσεις σύμφωνα μὲ τὶς ἐντολὲς τοῦ Χριστοῦ, νὰ πετύχεις τὴν αἰώνια ζωή. Μὴ καταντροπιάσεις τὰ γηρατειά μου· διότι ὁ Θεὸς γνωρίζει πῶς κάνω τὰ δυνατά μου γιὰ τὴ σωτηρία σου, παρακαλώντας αὐτόν, γιὰ νὰ σὲ κατατάξει μαζὶ μὲ τοὺς ἁγίους του στὸν αἰώνα συγκληρονόμο τῶν μελλόντων ἀγαθῶν τους «ὅπου μάτι δὲν εἶδε καὶ αὐτὶ δὲν ἄκουσε καὶ στὴν καρδιὰ τοῦ ἀνθρώπου δὲν ἀνέβηκαν ἐκεῖνα ποὺ ἑτοίμασε ὁ Θεὸς γι' αὐτούς»[67]. Εἴθε σ' αὐτὰ νὰ εἶναι τὸ μερίδιό σου καὶ ἡ κληρονομία σου στοὺς αἰῶνες τῶν αἰώνων, γένοιτο. Καὶ ἂς ποῦν οἱ ἄνω δυνάμεις καὶ οἱ κάτω ἅγιοι ποὺ εἶναι ἀκόμα στὸ σῶμα· ἀμήν, ἀμήν· γένοιτο, γένοιτο· καὶ εἴθε νὰ τὸ σφραγίσει ὁ Πατέρας, ὁ Υἱὸς καὶ τὸ ἅγιο Πνεῦμα.

574

Δέηση τοῦ ἰδίου πρὸς τὸν ἄλλο γέροντα.

Ἐπειδὴ ἐπρόκειτο ν' ἀποδημήσει στὸν Θεὸ μετὰ ἀπὸ λίγο χρόνο ὁ ἀββᾶς Σέριδος, ὁ ἡγούμενος τοῦ κοινοβίου, ἔκαμε κληρονόμους τοὺς πρώτους ἀπὸ τοὺς ἀδελφούς· ὄχι γιὰ νὰ διοικοῦν ὅλοι μαζί, ἐπειδὴ αὐτὸ γίνεται αἴτιο ἀκαταστασίας, ἀλλὰ νὰ διοικεῖ ὁ πρῶτος σύμφωνα μὲ τὴν τάξη καὶ ὅταν πεθάνει αὐτὸς ὁ δεύτερος καὶ οἱ ὑπόλοιποι κατὰ σειρά. Τελευταῖον ἔγραψε τὸν φιλόχριτο αὐτὸν ἀδελφό, τὸν ἀββᾶ Αἰλιανό, ὥστε νὰ εἶναι αὐτὸς κληρονόμος μετὰ ἀπὸ ὅλους, ἂν γίνει μοναχός· τὸ ἀγνοοῦσε ὅμως αὐτὸ ὁ ἴδιος ἀδελφός.

Ὅταν λοιπὸν μετὰ ἀπὸ αὐτὴ τὴ διατύπωση μετέβηκε

66. Α΄ Κορ. 5,17.
67. Α΄ Κορ. 2,9.

ριον ὁ ἀββᾶς, ὁ πρῶτος τῶν ἀδελφῶν, ὃν ἡ τάξις ἐκάλει πρὸς τὴν διοίκησιν παρῃτήσατο ταύτην, κατὰ πολλὴν ταπείνωσιν καὶ μετριότητα τρόπων· καὶ οἱ λοιποὶ δὲ καθεξῆς τὸ αὐτὸ ἐποίησαν ἐκεῖνον ζηλώσαντες. Ἐν δὲ τῷ μεταξὺ ἐπῆλθε τούτῳ τῷ φιλοχρίστῳ ἀδελφῷ λύπη ἐκ τοῦ διαβόλου περὶ συντελείας κόσμου καὶ θλίψεων, ὡς δὴ μελλουσῶν ἐνταῦθα καταλαβεῖν καὶ τῶν αἰωνίων κολάσεων· καὶ ὡς ἠπείγετο ὑπὸ τῶν λογισμῶν κινδυνεύων εἰς ἀπόγνωσιν ἐμπεσεῖν πέμπει ἐρωτῶν περὶ τούτου τὸν ἀββᾶν Ἰωάννην καὶ δεόμενος εὔξασθαι ὑπὲρ αὐτοῦ καὶ δηλῶσαι αὐτῷ λόγον παρακλήσεως· ὁ δὲ ἔπεμψεν αὐτῷ ταύτην τὴν ἀπόκρισιν, περὶ ὑπακοῆς μᾶλλον ἔχουσαν· ἔμελλε γὰρ αὐτῷ ἐπιτρέπειν τὴν τοῦ κοινοβίου διοίκησιν, ὡς μετὰ ταῦτα δῆλον ἐγένετο.

***Ἀπόκρισις** Ἰωάννου.*

Αδελφὲ ἀγαπητέ, ἡ πίστις ἡ εἰς Θεός ἐστιν, ἵνα, ἐάν τις ἐκδῶ ἑαυτὸν τῷ Θεῷ, μηκέτι ἔχῃ ἑαυτὸν ἐν ἰδίᾳ ἐξουσίᾳ, ἀλλ' ὑπὸ τὴν ἐκείνου ῥίπτειν ἑαυτὸν ἕως τῆς ἐσχάτης ἀναπνοῆς· εἴ τι οὖν ἔρχεται ἐπάνω αὐτοῦ, ἐν εὐχαριστίᾳ δέχεται παρὰ Θεοῦ, καὶ τοῦτό ἐστι τὸ «ἐν παντὶ εὐχαριστεῖν». Ἐὰν γὰρ ἄνθρωπος παραιτήσηται τὰ ἐκ τοῦ Θεοῦ ἐπερχόμενα, παρακούει τοῦ Θεοῦ, ζητῶν τὸ ἴδιον θέλημα στῆσαι· οὕτω γὰρ καὶ Ἰουδαῖοι, ζητοῦντες τὸ ἴδιον θέλημα στῆσαι, οὐκ ἠδυνήθησαν ὑποταγῆναι τῷ νόμῳ τοῦ Θεοῦ· καὶ γὰρ ἡ πίστις ἐστὶν ἡ ταπείνωσις· «οὓς γὰρ ἐκάλεσε, τούτους καὶ ἐδικαίωσε καὶ ἐδόξασε». Λοιπὸν ἀπόρριψον τὴν λύπην, ἥτις κατεργάζεται θάνατον· «ἡ γὰρ κατὰ Θεὸν λύπη σωτηρίαν ἐργάζεται».

Εὖξαι οὖν ὑπὲρ ἐμοῦ καὶ μηδὲν ἀθυμήσῃς. Ἐπεὶ παροργί-

---

68. Α' Θεσ. 5,18.
69. Ρωμ. 8,30.

ὁ ἀββᾶς πρὸς τὸν Κύριο, ὁ πρῶτος ἀπὸ τοὺς ἀδελφούς, τὸν ὁποῖο ἡ σειρὰ τὸν καλοῦσε γιὰ διοίκηση, τὴν ἄφησε μὲ πολλὴ ταπείνωση καὶ μετριότητα τρόπων, ἀλλὰ καὶ οἱ ὑπόλοιποι κατὰ σειρά, ἀφοῦ μιμήθηκαν ἐκεῖνον, ἔκαναν τὸ ἴδιο. Ἐν τῷ μεταξὺ σ' αὐτὸν τὸν φιλόχριστο ἀδελφὸ προξενήθηκε λύπη ἀπὸ τὸν διάβολο γιὰ συντέλεια τοῦ κόσμου καὶ θλίψεις, σὰν νὰ ἔφθασαν ἐδῶ οἱ μέλλουσες αἰώνιες κολάσεις· καὶ ἐπειδὴ πιεζόταν ἀπὸ τοὺς λογισμούς, κινδυνεύοντας νὰ πέσει σὲ ἀπόγνωση, στέλνει νὰ ἐρωτήσει γι' αὐτὸ τὸν ἀββᾶ Ἰωάννη καὶ νὰ παρακαλέσει νὰ προσευχηθεῖ γι' αὐτὸν καὶ νὰ τοῦ πεῖ λόγο παρακλήσεως. Αὐτὸς τοῦ ἔστειλε αὐτὴν τὴν ἀπάντηση, ποὺ ἦταν μᾶλλον γιὰ ὑπακοή· διότι ἐπρόκειτο νὰ τοῦ ἀναθέσει τὴ διοίκηση τοῦ κοινοβίου, ὅπως ἔγινε φανερὸ ἀπὸ τὰ στὴ συνέχεια.

Ἀπόκριση Ἰωάννου.

Ἀγαπητὲ ἀδελφέ, πίστη στὸν Θεὸ σημαίνει αὐτό· ἐὰν κανεὶς δώσει τὸν ἑαυτό του στὸν Θεό, νὰ μὴ ἔχει πιὰ τὸν ἑαυτό του στὴ δική του ἐξουσία, ἀλλὰ νὰ παραδώσει τὸν ἑαυτό του κάτω ἀπὸ τὴν ἐξουσία ἐκείνου μέχρι τελευταίας ἀναπνοῆς. Ἂν λοιπὸν ἔρχεται κάτι ἐπάνω του, μὲ εὐχαρίστηση νὰ τὸ δέχεται ἀπὸ τὸν Θεὸ καὶ αὐτὸ σημαίνει τὸ «νὰ εὐχαριστεῖτε τὸν Θεὸ γιὰ τὸ κάθε τι»[68]. Διότι, ἂν ὁ ἄνθρωπος ἀπορρίψει αὐτὰ ποὺ ἔρχονται ἀπὸ τὸν Θεό, παρακούει τὸν Θεό, ζητώντας νὰ στηρίξει τὸ θελημά του· διότι μὲ τὸν ἴδιο τρόπο καὶ οἱ Ἰουδαῖοι, ζητώντας νὰ ἐφαρμόσουν τὸ θέλημά τους, δὲν μπόρεσαν νὰ ὑποταγοῦν στὸν νόμο τοῦ Θεοῦ· καθόσον ἡ πίστη εἶναι ἡ ταπείνωση· διότι «ἐκείνους ποὺ κάλεσε, αὐτοὺς καὶ δικαίωσε καὶ δόξασε»[69]. Ἀπομάκρυνε λοιπὸν τὴ λύπη, ἡ ὁποία φέρει τὸν θάνατο· «διότι ἡ κατὰ Θεὸν λύπη γίνεται πρόξενος τῆς σωτηρίας»[70].

Προσευχήσου λοιπὸν γιὰ μένα καὶ μὴ λυπηθεῖς καθόλου.

70. Β' Κορ. 7,10.

ζεις τὸν Θεόν, κρατῶν τὸ ἴδιον θέλημα. Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς δώῃ σοι ποιῆσαι τὸ θέλημα αὐτοῦ καὶ εὑρεῖν ἔλεος ἐνώπιον αὐτοῦ, ᾧ ἐστιν ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΦΟΕ'

Ἐρώτησις

Δεξάμενος τὴν ἀπόκρισιν ταύτην ὁ ἀδελφὸς ἠλευθερώθη μὲν παραχρῆμα τῶν θλιβόντων αὐτὸν λογισμῶν, οὐκ ἐννόει δὲ τὴν δύναμιν τῶν αὐτῷ γραφέντων καὶ ἐθαύμαζεν, ὅτι ἄλλα ἠρώτησε καὶ ἄλλα ὁ γέρων ἀπεκρίνατο· τότε σαφῶς τὸ πρᾶγμα ἐδήλωσεν αὐτῷ ὁ γέρων, ἐπιτρέπων αὐτῷ καταδέξασθαι τὴν τοῦ κοινοβίου φροντίδα. Ὁ δὲ ἀδελφὸς ἐθαύμασεν ὅτι τοῦτο περὶ αὐτοῦ ἐλογίσατο, ἔχων ἑαυτὸν πρὸς τοῦτο ἀνίκανον· μὴ τολμῶν δὲ ὅλως ἀντειπεῖν τῇ αὐτοῦ κελεύσει, ἔγραψε λέγων αὐτῷ ταῦτα.

> *Ἀββᾶ, πλέον οὐ γινώσκω, οἶδε με τὸ Πνεῦμα τοῦ Θεοῦ τὸ ἐν ὑμῖν οὐκοῦν καὶ ἔμφοβός εἰμι καὶ ἔντρομος, διὰ τὸν τοῦ πράγματος κίνδυνον. Ἐὰν οἶδας ὅτι δύναμαι ἐν τούτῳ εὑρεῖν ἔλεος ἔχων τὴν ὑμῶν ἐν Χριστῷ σκέπην, οὐκ ἀντιλέγω· ἐξουσίαν μου γὰρ ἔχετε, καὶ εἰς τὰς χεῖράς εἰμι τοῦ Θεοῦ καὶ ὑμῶν.*

Γράφει οὖν ὁ γέρων ἀπόκρισιν ἔχουσαν οὕτω.

Ἀπόκρισις

Κύριε ἀδελφέ, μαρτυρεῖ μοι ὁ Θεός, ὅτι ἐν γνησιότητι ἀγαπῶ τὸν ἀδελφόν μου καὶ ἡ εὐχή μού ἐστιν, ἵνα μὴ βλαβῇ ἡ ψυχή σου ἔν τινι, καί, πιστεύων τῇ ὑπακοῇ σου καὶ φροντίζων τῆς σωτηρίας σου, συνήργησα τῷ ἀγαθῷ, τὰ γὰρ κρυπτὰ παρὰ τοῖς ἀνθρώποις, φανερὰ παρὰ τῷ Θεῷ. Καὶ σὺ βλέπεις, ἀδελφέ μου, ὅτι πράγματα πολλά εἰσι καὶ ὑπέρογκα. Καὶ οὐκ ἀπιστεῖς ὅτι εἴ τι ἔνι εἰς τὸ κοινόβιον ἕως τοῦ χώματος,

Διότι, μὲ τὸ νὰ κρατᾶς τὸ θέλημά σου, παροργίζεις τὸν Θεό. Εἴθε ὁ Κύριός μας Ἰησοῦς Χριστὸς νὰ σοῦ δώσει νὰ κάνεις τὸ θέλημά του καὶ νὰ βρεῖς ἔλεος ἐνώπιον αὐτοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη στους αἰῶνες. Γένοιτο.

575

Ἐρώτηση

Ὅταν ὁ ἀδελφὸς δέχθηκε αὐτὴν τὴν ἀπάντηση ἐλευθερώθηκε ἀμέσως ἀπὸ τοὺς λογισμοὺς ποὺ τὸν ἔθλιβαν· δὲν καταλάβαινε ὅμως τὴ δύναμη αὐτῶν ποὺ τοῦ γράφηκαν καὶ ἀποροῦσε, διότι ἄλλα ἐρώτησε καὶ ἄλλα ἀπάντησε ὁ γέροντας· τότε ὁ γέροντας τοῦ δήλωσε μὲ σαφήνεια τὸ πρᾶγμα, προτρέποντάς τον ν' ἀποδεχθεῖ τὴ φροντίδα τοῦ κοινοβίου. Ὁ ἀδελφὸς ὅμως ἀποροῦσε, διότι σκέφθηκε γι' αὐτὸν αὐτό, ἐπειδὴ θεωροῦσε τὸν ἑαυτό του ἀνίκανο γι' αὐτό· μὴ τολμώντας ὅμως νὰ φέρει καμμιὰ ἀντίρρηση στὴ διαταγὴ αὐτοῦ, τοῦ ἔγραψε λέγοντάς του αὐτά.

> Ἀββᾶ, περισσότερο ἀπὸ ὅσο γνωρίζω ἐγώ, μὲ γνωρίζει τὸ Πνεῦμα τοῦ Θεοῦ ποὺ κατοικεῖ μέσα σας καὶ εἶμαι γεμᾶτος ἀπὸ φόβο καὶ τρόμο γιὰ τὸν κίνδυνο τοῦ πράγματος. Ἐὰν γνωρίζεις ὅτι μπορῶ νὰ βρῶ ἔλεος μ' αὐτὸ ἔχοντας τὴν δική σας προστασία μὲ τὴ βοήθεια τοῦ Χριστοῦ, δὲν φέρω ἀντίρρηση· διότι ἔχετε τὴν ἐξουσία μου καὶ βρίσκομαι στοῦ Θεοῦ τὰ χέρια καὶ στὰ δικά σας.

Γράφει τότε ὁ γέροντας ἀπόκριση ποὺ ἔχει ὡς ἑξῆς.

Ἀπόκριση

Κύριε ἀδελφέ, μοῦ μαρτυρεῖ ὁ Θεός, ὅτι ἀγαπᾶ γνήσια τὸν ἀδελφό μου καὶ ἡ προσευχή μου εἶναι, ὥστε νὰ μὴ βλαβεῖ ἡ ψυχή σου σὲ κάτι· καὶ ἐπειδὴ πιστεύω στὴν ὑπακοή σου καὶ φροντίζω γιὰ τὴ σωτηρία σου, συνήργησα στὸ ἀγαθό, διότι αὐτὰ ποὺ εἶναι κρυφὰ στοὺς ἀνθρώπους, εἶναι φανερὰ στὸ Θεό. Καὶ σύ, ἀδελφέ μου, βλέπεις ὅτι ὑπάρχουν πολλὰ καὶ ὑπέρογκα πράγματα. Καὶ δὲν ἀμφιβάλλεις ὅτι, ὅσα

τοῦ Θεοῦ ἐστι καὶ ὁ συνάψας τὰ ἐπίγεια τοῖς οὐρανίοις πάντα ἡγίασε διὰ τῆς παρουσίας αὐτοῦ. Λοιπὸν ἐν σοί ἐστι τὸ συνεργῆσαι καὶ κακοπαθῆσαι, ἵνα κοινωνὸς εὑρεθῇς τῶν ψυχῶν τῶν σωζομένων.

Εἶπε γὰρ ὁ Ἀπόστολος «ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ»· καὶ πάλιν εἶπεν, «ὅτι τοῖς ταπεινοῖς συνεπαγόμενοι». Καὶ ὁ Κύριος εἶπεν· «ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει· καὶ ὁ ὑμᾶς ἀθετῶν, ἐμὲ ἀθετεῖ». Ὅλου τοῦ πράγματος τοῦ Θεοῦ ὄντος, οὐ δύνῃ παραιτήσασθαι· καὶ γὰρ εἰ ἔνι τί ποτε ἀνθρώπινον οἶδας, εἰς φροντίδα σε βαροῦμεν κατὰ Θεόν, ᾧ οὐκ ἔστι φροντίς, ἀλλὰ σωτηρία ψυχῆς, καθὼς λέγει ἡ Γραφή, «ὅτι ὁ ἐπιστρέφων ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ, σώσει ψυχὴν ἐκ θανάτου καὶ καλύψει πλῆθος ἁμαρτιῶν».

Ἀνδρίζου ἐν Κυρίῳ καὶ πίστευσον τῷ Ἰησοῦ, καὶ αὐτὸς φυλάττει ἡμᾶς ἀπὸ τοῦ πονηροῦ, καθὼς περὶ τῶν Ἀποστόλων αὐτοῦ ᾐτήσατο παρὰ τοῦ Πατρός. Μὴ οὖν διστάζῃς, ἀλλ' ἔκχυσον τὴν καρδίαν σου εἰς τὸν Θεὸν καὶ εἰς τὸν Κύριον Ἰησοῦν Χριστὸν καὶ εἰς τὸ Πνεῦμα τῆς ἀληθείας, καὶ ἐν τούτῳ πιστεύω ὅτι εὑρίσκεις τὸ ἔλεος εἰς τὸ βῆμα τοῦ Θεοῦ. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος γίνεται μεθ' ἡμῶν. Ἀμήν.

Ταῦτα ἀκούσας ὁ ἀδελφός, ἐδήλωσε τῷ γέροντι.

Ἰδοὺ ὁ δοῦλος ὑμῶν, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου.

Καὶ τῇ κελεύσει τῶν πατέρων ἠξιώθη τοῦ μοναχικοῦ σχήματος, καὶ ἐγένετο παρὰ πάντων ἀξίωσις τῷ ἐπισκόπῳ, καὶ ἐχειροτονήθη πρεσβύτερος καὶ οὕτω προεβλήθη ἡγούμενος τῆς μονῆς. Καὶ τότε ἠξίωθη ἐν πρώτοις ἐλθεῖν πρὸς αὐτὸν τὸν ἀββᾶν Ἰωάννην, καὶ ἐδέξατο αὐτὸν ὁ γέρων, ὡς τὸν μακάριον τὸν ἀββᾶν·

---

71. Γαλ. 6,2.
72. Ρωμ. 13,16.

ὑπάρχουν στὸ κοινόβιο μέχρι καὶ τὸ χῶμα, εἶναι τοῦ Θεοῦ καὶ ὅτι αὐτὸς ποὺ σύνδεσε τὰ ἐπίγεια μὲ τοὺς οὐρανούς, ἁγίασε τὰ πάντα μὲ τὴν παρουσία του. Λοιπὸν ἀπὸ σένα ἐξαρτᾶται τὸ νὰ συνεργήσεις καὶ νὰ κακοπαθήσεις, γιὰ νὰ γίνεις κοινωνὸς τῶν σωζομένων ψυχῶν.

Πράγματι ὁ Ἀπόστολος εἶπε «νὰ βαστάζετε ὁ ἕνας τὰ βάρη τοῦ ἄλλου, καὶ ἔτσι θὰ πραγματοποιήσετε τὸν νόμο τοῦ Χριστοῦ»[71]· καὶ πάλι εἶπε, «νὰ συμπορεύεσθε μὲ τοὺς ταπεινούς»[72]. Καὶ ὁ Κύριος εἶπε· «αὐτὸς ποὺ ἀκούει ἐσᾶς, ἀκούει ἐμένα· καὶ αὐτὸς ποὺ ἀθετεῖ ἐσᾶς, ἀθετεῖ ἐμένα»[73]. Ἀφοῦ ὅλα τὰ πράγματα εἶναι τοῦ Θεοῦ δὲν μπορεῖς νὰ παραιτηθεῖς. Διότι γνωρίζεις ἂν ὑπάρχει τίποτε ἀνθρώπινο· σὲ ἐπιβαρύνομε μὲ φροντίδα κατὰ Θεόν· καὶ στὸ πρᾶγμα αὐτὸ δὲν ὑπάρχει φροντίδα, ἀλλὰ σωτηρία ψυχῆς, ὅπως λέγει ἡ Γραφή, «ἐκεῖνος ποὺ ἐπιστρέφει τὸν ἁμαρτωλὸ ἀπὸ τὸν ἁμαρτωλό του δρόμο, θὰ σώσει ψυχὴ ἀπὸ τὸν θάνατο καὶ θὰ καλύψει πλῆθος ἁμαρτιῶν»[74].

Γίνε ἀνδρεῖος μὲ τὴ βοήθεια τοῦ Κυρίου καὶ πίστεψε στὸν Ἰησοῦ, καὶ αὐτὸς θὰ μᾶς φυλάξει ἀπὸ τὸν πονηρό, ὅπως ζήτησε ἀπὸ τὸν Πατέρα γιὰ τοὺς Ἀποστόλους. Μὴ διστάζεις λοιπόν, ἀλλὰ ἅπλωσε τὴν καρδιά σου στὸν Θεὸ καὶ στὸν Κύριο Ἰησοῦ Χριστὸ καὶ στὸ Πνεῦμα τῆς ἀλήθειας· καὶ μ' αὐτὸ πιστεύω ὅτι θὰ βεῖς τὸ ἔλεος στὸ βῆμα τοῦ Θεοῦ. Ἡ χάρη τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος ἂς ὑπάρχει σὲ σᾶς. Γένοιτο.

Ὅταν ὁ ἀδελφὸς τὰ ἄκουσε αὐτά, δήλωσε στὸν γέροντα.

> Νὰ ὁ δοῦλος σας, ἂς γίνει σὲ μένα σύμφωνα μὲ τὸν λόγο σου'.

Ἔτσι μὲ τὴ διαταγὴ τῶν πατέρων ἀξιώθηκε τὸ μοναχικὸ σχῆμα· ἀξίωσαν τότε ὅλοι ἀπὸ τὸν ἐπίσκοπο νὰ χειροτονηθεῖ πρεσβύτερος καὶ ἔτσι ἔγινε ἡγούμενος τῆς Μονῆς. Καὶ τότε ἀξιώθηκε νὰ ἔλθει πρὸς αὐτὸν κατὰ πρῶτον ὁ ἀββᾶς Ἰωάννης καὶ τὸν δέχθηκε ὁ γέροντας σὰν τὸν μακάριο ἀββᾶ, διότι ἦταν πολὺ τα-

73. Λουκᾶ 10,16. 74. Ἰακ. 5,20.

πολλὴ γὰρ ἦν τοῦ γέροντος ἡ ταπείνωσις. Καὶ λέγει αὐτῷ.

Εὖξαι, ἀββᾶ.

Κἀκεῖνος ἔστηκεν ἐννεός, μὴ τολμῶν εὔξασθαι ἐπ' αὐτοῦ. Καὶ ὡς ἐδευτέρωσεν, ἵνα μὴ ἀντείπῃ, ηὔξατο· καὶ ἐπιτραπεὶς ἐκάθισε. Καὶ λέγει αὐτῷ ὁ γέρων.

Ἀδελφέ, πρὸ πολλοῦ χρόνου προεμήνυσεν ὁ ἅγιος Γέρων περὶ σοῦ, ὅτι μέλλεις ἔσεσθαι μοναχὸς καὶ ἡγούμενος τοῦ κοινοβίου· καὶ ἰδοὺ ἔφθασε κατὰ τὴν τοῦ Θεοῦ εὐδοκίαν. Πρόσεχε οὖν σεαυτῷ καὶ στερεωθήτω ἡ καρδία σου ἐν Κυρίῳ τῷ ἐνδυναμοῦντι σε. Ἀμήν.

ΦΟΣ'

Ὁ αὐτὸς οὖν ἠρώτησε τὸν γέροντα λέγων.

Συγχώρησόν μοι, πάτερ, τῆς προπετείας. Καὶ περὶ ὧν ἐρωτῆσαι θέλων σαφήνισόν μοι, τίνος χάριν οἱ πρῶτοι τῶν ἀδελφῶν οἱ γραφέντες κληρονόμοι παρῃτήσαντο τὴν τοῦ μοναστηρίου διοίκησιν; καὶ διὰ τί συνεχωρήσατε αὐτοῖς, γινώσκοντες τὴν αὐτῶν ἀρετήν τε καὶ ὑπακοήν, καὶ ὅτι ἡ τάξις αὐτοὺς ἐκάλει; Ἐμοὶ δὲ τῷ ἀναξίῳ καὶ οὐδὲν ἔχοντι μοναχικῆς καταστάσεως ἔργον ἐπετρέψατε τὴν τοιαύτην διοίκησιν, τὴν ἐκείνοις μᾶλλον πρέπουσαν;

Ἀπόκρισις

Οἱ ἀδελφοὶ παρῃτήσαντο διὰ τὴν πολλὴν ταπείνωσιν· ἔχοντες γὰρ τοῦ διοικῆσαι τὴν ἐξουσίαν κατὰ Θεὸν ἐκ τῶν πραγμάτων τῆς διαθήκης, οὐ προσέδραμον τούτῳ, ἀλλ' ἠγάπησαν μᾶλλον τὴν ὑπακοήν· καὶ προθύμως ἐψηφίσαντό σε, εἰς ἔλεγχον τῶν κληρονομίας καὶ δωρεὰς ἀπαιτούντων, καὶ τὸ κοσμικὸν ἐχόντων τῆς φιλαργυρίας φρόνημα, καὶ προτιμώντων τὰ γήϊνα τῆς βασιλείας τῶν οὐρανῶν. Χαί-

πεινὸς ὁ γέροντας. Καὶ τοῦ λέγει.

'Αββᾶ, προσευχήσου.

Ἐκεῖνος τότε στάθηκε ἄφωνος, χωρὶς νὰ τολμᾶ νὰ προσευχηθεῖ γι' αὐτόν. Καὶ ὅταν τὸ ζήτησε γιὰ δεύτερη φορά, γιὰ νὰ μὴ φέρει ἀντίρρηση, προσευχήθηκε. Μετά, ἀφοῦ τοῦ ἐπιτράπηκε, κάθισε. Καὶ τοῦ λέγει ὁ γέροντας.

''Αδελφέ, ὁ ἅγιος γέροντας προεῖπε γιὰ σένα πρὶν ἀπὸ πολὺ καιρό, ὅτι πρόκειται νὰ γίνεις μοναχὸς καὶ ἡγούμενος τοῦ κοινοβίου· καὶ νά, πραγματοποιήθηκε σύμφωνα μὲ τὴν εὐδοκία τοῦ Θεοῦ. Νὰ προσέχεις λοιπὸν τὸν ἑαυτό σου καὶ νὰ στερεωθεῖ ἡ καρδιά σου στὸν Κύριο ποὺ σὲ ἐνδυναμώνει. Γένοιτο.

576

Ὁ ἴδιος λοιπὸν ἐρώτησε τὸν γέροντα καὶ τοῦ εἶπε.

Συγχώρεσέ με, πάτερ, γιὰ τὴν αὐθάδεια. Διασαφήνισέ μου γιὰ ὅσα θέλω νὰ ἐρωτήσω. Γιὰ ποιό λόγο οἱ πρῶτοι ἀπὸ τοὺς ἀδελφοὺς ποὺ γράφηκαν κληρονόμοι παραιτήθηκαν ἀπὸ τὴ διοίκηση τοῦ μοναστηριοῦ; καὶ γιατί τοὺς τὸ ἐπιτρέψατε, ἐνῶ γνωρίζατε τὴν ἀρετὴ καὶ τὴν ὑπακοή τους, καὶ ὅτι αὐτοὺς καλοῦσε ἡ τάξη; Σὲ μένα ὅμως τὸν ἀνάξιο, ποὺ δὲν ἔχω κανένα ἔργο μοναχικῆς καταστάσεως, ἀναθέσατε αὐτὴ τὴ διοίκηση, ἐνῶ ἔπρεπε περισσότερο σ' αὐτούς.

'Απόκριση

Οἱ ἀδελφοὶ παραιτήθηκαν ἐξαιτίας τῆς πολλῆς ταπεινώσεως· διότι, ἂν καὶ εἶχαν ἀπὸ τὰ πράγματα τῆς διαθήκης τὴν ἐξουσία κατὰ Θεὸν νὰ διοικήσουν, δὲν ἔτρεξαν σ' αὐτό, ἀλλ' ἀγάπησαν περισσότερο τὴν ὑπακοή· καὶ πρόθυμα σὲ ψήφισαν, γιὰ ἔλεγχο αὐτῶν ποὺ ἀπαιτοῦν κληρονομίες καὶ δωρεές, καὶ αὐτῶν ποὺ ἔχουν τὸ φρόνημα τῆς φιλαργυρίας καὶ προτιμοῦν τὰ γήϊνα ἀπὸ τὴ βασιλεία τῶν οὐρανῶν. Γεμᾶτοι

ροντες οὖν τῇ αὐτῶν ταπεινώσει, συνεχωρήσαμεν αὐτοῖς παραιτήσασθαι· σοὶ δὲ ἀπετρέψαμεν καταδέξασθαι διὰ τὴν παρὰ τοῦ Θεοῦ εὐδοκίαν, τοῦ πάντα πρὸς τὸ συμφέρον οἰκονομοῦντος ἑκάστου, κατὰ τὴν αὐτοῦ πρόγνωσιν.

Μὴ οὖν νομίσῃς ὅτι κατὰ παρακοὴν αὐτῶν τοῦτο γέγονε· καὶ γὰρ καὶ Μωϋσῆς, ἐπιτραπεὶς παρὰ Θεοῦ τὴν τοῦ λαοῦ διοίκησιν, εἶπεν, «ἰσχνόφωνός εἰμι καὶ βραδύγλωσσος», καὶ συνεχώρησεν αὐτῷ ὁ Θεός· ὅτι τοῦτο εἶπεν οὐκ ἀντιλέγων, ἀλλὰ κατὰ πολλὴν ταπείνωσιν. Τοῦτο καὶ Ἱερεμίας ὁ προφήτης ἐποίησεν, λέγων, «Δέσποτα Κύριε, ἰδοὺ οὐκ ἐπίσταμαι λαλεῖν, ὅτι νεώτερός εἰμι ἐγώ», καὶ οὐκ ἐλογίσθη αὐτῷ εἰς ἀντιλογίαν. Ἐχρήσατο τούτῳ καὶ ὁ ἑκατόνταρχος εἰπὼν τῷ Σωτῆρι, «οὐκ εἰμι ἄξιος, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς», καὶ ἐθαυμάσθη αὐτοῦ ἡ πίστις συγκεκραμένη τῇ ταπεινώσει.

Καὶ μὴ εἴπῃς, 'Διὰ τί οὖν Ἰησοῦς ὁ τοῦ Ναυῆ οὐ παρῃτήσατο τὴν ἡγεμονίαν καὶ οἱ Ἀπόστολοι τὸ κήρυγμα; ἆρα ὡς μὴ ἔχοντες ταπείνωσιν;' Καὶ ποία μείζων ταπείνωσις τῆς αὐτῶν εὑρίσκεται; Ἀλλὰ καὶ οἱ παραιτησάμενοι τὴν ὑπακοὴν εἶχον, καὶ οἱ καταδεξάμενοι τὴν ταπείνωσιν· οὐ δύναται γὰρ μία τῆς ἄλλης χωρισθῆναι, ἀλλὰ τὰ πάντα γίνεται, ἵνα τὰ κρίματα τοῦ Θεοῦ ὑπὲρ ἡμᾶς ὄντα προβῇ, καὶ ἵνα δειχθῶσι τῶν ἁγίων πολυτρόπως αἱ ἀρεταί. Πάντα οὖν πίστευε τὰ παρὰ τοῦ Θεοῦ καλῶς προβαίνειν, καὶ μηδὲν πλέον περιεργάζου.

Ὁ Κύριος συνετίσοι σε καὶ φωτίσοι τοὺς ὀφθαλμοὺς τῆς διανοίας σου, εὐχαῖς ἁγίων. Ἀμήν.

ΦΟΖ'

Ἐρώτησις

Ταῦτα ἀκούσας ἐδόξασε τὸν Θεὸν καὶ εἶπε τῷ γέροντι.

---

75. Ἐξ. 4,10.
76. Ἱερ. 1,6.

χαρὰ λοιπὸν γιὰ τὴν ταπείνωσή τους, τοὺς ἀφήσαμε νὰ παραιτηθοῦν, καὶ ἀναθέσαμε σὲ σένα ν' ἀποδεχθεῖς τὴ διακονία ἐξαιτίας τῆς εὐδοκίας τοῦ Θεοῦ, ποὺ οἰκονομεῖ τὰ πάντα πρὸς τὸ συμφέρον τοῦ καθενός, σύμφωνα μὲ τὴν πρόγνωσή του.

Μὴ νομίσεις λοιπὸν ὅτι αὐτὸ ἔγινε ἀπὸ παρακοή τους· διότι καὶ ὁ Μωϋσῆς, ὅταν τοῦ προσφέρθηκε ἀπὸ τὸν Θεὸ ἡ διοίκηση τοῦ λαοῦ, εἶπε, «εἶμαι ἰσχνόφωνος καὶ βραδύγλωσσος»[75], καὶ τοῦ τὸ συγχώρεσε αὐτὸ ὁ Θεός· διότι δὲν τὸ εἶπε αὐτὸ φέροντας ἀντίρρηση, ἀλλὰ μὲ πολλὴ ταπείνωση. Αὐτὸ ἔκανε καὶ ὁ Ἱερεμίας ὁ προφήτης, λέγοντας, «Δέσποτα Κύριε, νά, δὲν γνωρίζω νὰ ὁμιλῶ, διότι εἶμαι νεώτερος[76], καὶ δὲν θεωρήθηκε σὰν ἀντίρρησή του. Αὐτὸ ἔκανε καὶ ὁ ἑκατόνταρχος ποὺ εἶπε στὸν Σωτῆρα, «δὲν εἶμαι ἄξιος γιὰ νὰ μπεῖς κάτω ἀπὸ τὴ στέγη μου»[77]· καὶ θαυμάσθηκε ἡ πίστη του ποὺ ἦταν ἀναμιγμένη μὲ τὴν ταπείνωση.

Καὶ μὴ πεῖς· 'Γιατί τότε ὁ Ἰησοῦς τοῦ Ναυῆ δὲν ἄφησε τὴν ἡγεμονία καὶ οἱ Ἀπόστολοι τὸ κήρυγμα; ἄραγε ἐπειδὴ δὲν εἶχαν ταπείνωση; Καὶ ποιά ταπείνωση εἶναι μεγαλύτερη τῆς δικῆς τους; Ἀλλὰ καὶ ἐκεῖνοι ποὺ παραιτήθηκαν εἶχαν τὴν ὑπακοὴ καὶ ἐκεῖνοι ποὺ ἀποδέχθηκαν εἶχαν τὴν ταπείνωση· διότι δὲ μπορεῖ νὰ χωρισθεῖ ἡ μία ἀπὸ τὴν ἄλλη, ἀλλὰ τὰ πάντα γίνονται, γιὰ ν' ἀποβοῦν ὑπὲρ ἡμῶν τὰ κρίματα τοῦ Θεοῦ, καὶ γιὰ νὰ φανοῦν πολυτρόπως οἱ ἀρετὲς τῶν ἁγίων. Πίστευε λοιπὸν ὅτι ὅλα γίνονται σωστὰ ἀπὸ τὸν Θεό, καὶ νὰ μὴ περιεργάζεσαι τίποτε περισσότερο.

Εἴθε ὁ Κύριος νὰ σὲ συνετίσει καὶ νὰ φωτίσει τὰ μάτια τῆς διάνοιάς σου, μὲ τὶς προσευχὲς τῶν ἁγίων. Γένοιτο.

577

Ἐρώτηση

Ὅταν ἄκουσε αὐτὰ ὁ νέος ἡγούμενος δόξασε τὸν Θεὸ καὶ εἶπε στὸν γέροντα.

---

77. Ματθ. 8,8.

Πάτερ, ἐπειδὴ ἀρχάριός εἰμι καὶ οὐδὲν οἶδα, τί κελεύεις εἴπω τοῖς ἀδελφοῖς;

Ἀπόκρισις

Εἰπὲ αὐτοῖς ταῦτα· 'Τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ φροντίζοντος ὑμῶν, αὐτοῦ εἰπόντος, «οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς, ἔρχομαι πρὸς ὑμᾶς», προσέχετε ἑαυτοῖς μετὰ πάσης ταπεινοφροσύνης καὶ ἀγάπης εἰς Θεόν, καὶ εὐλογεῖ ὑμᾶς καὶ γίνεται ὑμῶν σκέπη καὶ ὁδηγός'. Εἰπὲ δὲ αὐτοῖς, μή τις κρύψῃ λογισμόν, ἐπειδὴ ἡ χαρὰ τῶν πνευμάτων, τὸ κρύψαι ἐστὶ λογισμόν, ἵνα ἀπολέσωσι τὴν ψυχήν. Κἂν τις αὐτῶν εἴπῃ σοι τὸν λογισμὸν αὐτοῦ, εἰπὲ τῷ σῷ λογισμῷ· 'Κύριε, εἴ τί σοί ἐστιν εἰς σωτηρίαν τῆς ψυχῆς, δός μοι ἵνα λαλήσω αὐτῷ, καὶ ἵνα τὸν λόγον σου λαλήσω καὶ μὴ τὸν ἴδιον'. Καὶ τὸ ἐρχόμενόν σοι εἰπέ, λέγων ἐν σεαυτῷ, ὅτι 'οὐκ ἔστιν ἐμὸς ὁ λόγος· γέγραπται γάρ, «εἴ τις λαλεῖ, ὡς λόγια Θεοῦ»'.

ΦΟΗ'

Ἐρώτησις

Ὅτε εὐλογοῦνται οἱ ἀδελφοὶ παρ' ἐμοῦ, δώσω αὐτοῖς τὴν χεῖρά μου ἢ οὔ; Λέγει δέ μοι ὁ λογισμός, ἵνα καταφιλῶ τὰς κεφαλὰς αὐτῶν· ἆρα καλόν ἐστι;

Ἀπόκρισις

Ὅτε εὐλογοῦνται δὸς τὴν χεῖρα καὶ εἰπὲ αὐτοῖς, ὅτι· 'Βλέπετε, ὅτι κατὰ τὴν πίστιν ὑμῶν, ποιεῖ ὁ Θεὸς μεθ' ὑμῶν· μὴ οὖν κατὰ ἀνθρωπαρέσκειαν· αὐτὸς γὰρ ὁ Κύριος εἶπεν· «ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται, καὶ ὁ δεχόμενος δίκαιον εἰς ὄνομα δι-

Πάτερ, ἐπειδὴ εἶμαι ἀρχάριος καὶ δὲ γνωρίζω τίποτε, τί διατάζεις νὰ πῶ στοὺς ἀδελφούς;

Ἀπόκριση

Πές τους αὐτά· 'Ὁ Κύριος Ἰησοῦς Χριστὸς ποὺ σᾶς φροντίζει εἶπε· «δὲν θὰ σᾶς ἀφήσω ὀρφανούς, ἔρχομαι σὲ σᾶς»[78]. Προσέχετε τοὺς ἑαυτούς σας μὲ κάθε ταπεινοφροσύνη καὶ ἀγάπη στὸ Θεό, καὶ αὐτὸς θὰ σᾶς εὐλογήσει καὶ θὰ σᾶς γίνει προστάτης καὶ ὁδηγός'. Πὲς σ' αὐτούς, νὰ μὴ κρύψει κανεὶς τὸν λογισμό του, ἐπειδὴ ἡ χαρὰ τῶν πνευμάτων εἶναι τὸ νὰ κρύψουν οἱ ἄνθρωποι τὸν λογισμὸ γιὰ νὰ χάσουν τὴν ψυχή. Κι ἂν κάποιος ἀπὸ αὐτοὺς σοῦ πεῖ τὸν λογισμό του, πὲς στὸν λογισμό σου· 'Κύριε, ἂν ὑπάρχει κάτι σὲ σένα γιὰ σωτηρία τῆς ψυχῆς, δός τό μου γιὰ νὰ τὸ πῶ σ' αὐτόν, ὥστε νὰ πῶ τὸν δικό σου λόγο καὶ ὄχι τὸν δικό μου'. Καὶ πὲς αὐτὸ ποὺ σοῦ ἔρχεται λέγοντας μέσα σου· 'Δὲν εἶναι δικός μου ὁ λόγος, διότι ἔχει γραφεῖ, «ἂν κανεὶς μιλᾶ, αὐτὰ ποὺ λέγει νὰ εἶναι σὰν λόγια τοῦ Θεοῦ»'.

578

Ἐρώτηση

Ὅταν οἱ ἀδελφοὶ εὐλογοῦνται ἀπὸ μένα, νὰ τοὺς δίνω τὸ χέρι ἢ ὄχι; Ὁ λογισμὸς μοῦ λέγει, νὰ καταφιλῶ τὰ κεφάλια τους· ἄραγε εἶναι καλό;

Ἀπόκριση

Ὅταν εὐλογοῦνται δῶσε τὸ χέρι σου, καὶ πές τους· 'Προσέχετε, διότι ὁ Θεὸς ἐνεργεῖ σὲ σᾶς σύμφωνα μὲ τὴν πίστη σας καὶ ὄχι σύμφωνα μὲ τὴν ἀνθρωπαρέσκεια· διότι ὁ ἴδιος ὁ Κύριος εἶπε· «ἐκεῖνος ποὺ δέχεται προφήτη στὸ ὄνομα προφήτη, θὰ λάβει ἀμοιβὴ προφήτη, καὶ ἐκεῖνος ποὺ δέ-

78. Ἰω. 14,18.

καίου μισθὸν δικαίου λήψεται». Ἐὰν οὖν ᾖ προφήτης καὶ δίκαιος καὶ μὴ δέξηταί τις αὐτὸν ὡς προφήτην καὶ δίκαιον, μηδὲ δίκαιος καὶ δέξηται αὐτὸν ὡς προφήτην καὶ δίκαιον, μισθὸν προφήτου καὶ δικαίου λήψεται᾿.

Τὰς δὲ κεφαλὰς αὐτῶν οὐ χρὴ καταφιλεῖν· ὑπόκρισιν γὰρ ἔχει τὸ πρᾶγμα ἀνθρωπαρεσκείας.

ΦΟΘ᾿

Ἐρώτησις

Ὁποῖος ὀφείλω εἶναι πρὸς τοὺς ἀδελφούς;

Ἀπόκρισις

Ἔχε σεαυτὸν ὑποκάτω πάντων, καὶ πάλιν διοικητὴν πάντων, ἀπαιτούμενος τὴν τάξιν, ἣν κατεδέξω σπλαγχνίζεσθαι εἰς πάντας, ὡς εἶπεν ὁ Ἀπόστολος· «ἀλλήλων τὰ βάρη βαστάζετε, νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖτε τοὺς ὀλιγοψύχους»· μή τις κακὸν ἀντὶ κακοῦ ἀποδῶ, ἀλλὰ τὸ ἀγαθόν. Ἐὰν δέ τις μὴ ὑποτάσσηται, τοῦτον σημειοῦσθε. Ὁ αὐτὸς Ἀπόστολος συνετίσοι σε τὰ λοιπὰ ἐκ τοῦ μικροῦ μου λόγου.

ΦΠ᾿

Ἐρώτησις

Ὁποῖος ὀφείλει εἶναι ὁ κανονάρχος καὶ ὁ οἰκονόμος πρὸς τοὺς ἀδελφούς.

---

79. Ματθ. 10,41.

χεται δίκαιο στὸ ὄνομα δικαίου, θὰ λάβει ἀμοιβὴ δικαίου»[79]. Ἐὰν λοιπὸν εἶναι προφήτης καὶ δίκαιος καὶ δὲν τὸν δεχθεῖ κανεὶς σὰν προφήτη καὶ δίκαιο, δὲν ἔχει ἀμοιβή· ἐὰν ὅμως δὲν εἶναι προφήτης οὔτε δίκαιος καὶ τὸν δεχθεῖ σὰν προφήτη καὶ δίκαιο, θὰ λάβει ἀμοιβὴ προφήτη καὶ δικαίου'.

Ὅσο γιὰ τὰ κεφάλια τους δὲν πρέπει νὰ τὰ καταφιλᾶς, διότι τὸ πρᾶγμα ἔχει ὑπόνοια ἀνθρωπαρέσκειας.

579

Ἐρώτηση

Πῶς πρέπει νὰ συμπεριφέρομαι πρὸς τοὺς ἀδελφούς;

Ἀπόκριση

Νὰ ἔχεις τὸν ἑαυτό σου κάτω ἀπὸ ὅλους, ἀλλὰ καὶ διοικητὴ ὅλων, ἔχοντας τὴν ὑποχρέωση, σύμφωνα μὲ τὴ θέση ποὺ ἀποδέχθηκες, νὰ εὐσπλαγχνίζεσαι ὅλους, ὅπως εἶπε ὁ Ἀπόστολος· «νὰ βαστάζετε ὁ ἕνας τὰ βάρη τοῦ ἄλλου»[80], «νὰ συμβουλεύετε τοὺς ἄτακτους καὶ νὰ παρηγορεῖτε τοὺς ὀλιγόψυχους»[81]· νὰ μὴ ἀνταποδώσει κανεὶς κακὸ ἀντὶ κακοῦ, ἀλλὰ τὸ ἀγαθό. Ἐὰν κανεὶς δὲν ὑποτάσσεται, νὰ τοῦ κάνετε συστάσεις. Ὁ ἴδιος Ἀπόστολος εἴθε νὰ σὲ συνετίσει στὰ ὑπόλοιπα ἀπὸ τὸν μικρό μου λόγο.

580

Ἐρώτηση

Πῶς ὀφείλει νὰ εἶναι ὁ κανονάρχης καὶ ὁ οἰκονόμος πρὸς τοὺς ἀδελφούς.

80. Γαλ. 6,2.
81. Α΄ Θεσ. 5,14.

Ἀπόκρισις

Μακρόθυμος, ἵνα δύναται βαστάζειν τὸν ἀσθενάριον.

ΦΠΑ΄

Ἐρώτησις

Ἐάν τις τῶν ἀδελφῶν ἁμάρτῃ, πῶς αὐτὸν ἐλέγξω; ἰδίᾳ ἢ ἐπὶ τῶν ἀδελφῶν;

Ἀπόκρισις

Ἐὰν ᾖ τὸ πρᾶγμα σκληρὸν ἐπὶ τῶν ἀδελφῶν, προειπεῖν δὲ αὐτῷ χρή, ὅτι, "Ἐὰν μὴ διορθώσῃ, καὶ ἐπὶ τῶν ἀδελφῶν ἔχω εἰπεῖν, ὅτι οὕτως ἐνετείλατο ὁ Κύριος· «ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου. Καὶ ἐὰν ἐπιστρέψῃ, ἐκέρδησας τὸν ἀδελφόν σου, ἐὰν δὲ μή, λάβε μετὰ σεαυτοῦ ἔτι ἕνα ἢ δύο» καὶ τὰ λοιπά". Εἰ δὲ μικρὸν ᾖ τὸ ἁμάρτημα, ἰδίᾳ ἔλεγξον αὐτόν, καὶ πρὸς αὐτὸν τὴν ἐπιτιμίαν.

ΦΠΒ΄

Ἐρώτησις

Ἐὰν ὑπομείνῃ τις ἐν τῷ κοινοβίῳ, ποίῳ τρόπῳ σώζεται; καὶ τί πλέον ἔχει ὁ οἰκῶν ἐν τόπῳ, ἔνθα εἰσὶν οἱ ἅγιοι πατέρες;

Ἀπόκρισις

Ἐὰν ἀποθάνῃ τις ἐν ταπεινώσει καὶ ὑπακοῇ, οὗτος διὰ τοῦ Χριστοῦ σώζεται· ὁ γὰρ Κύριος Ἰησοῦς λόγον δίδωσιν ὑπὲρ αὐτοῦ. Ἐὰν δὲ ἔχῃ θέλημα, καὶ ἔστιν ὅτε σχηματίζεται ὑπακοὴν καὶ ταπείνωσιν, τοῦτο κρῖμα τοῦ Θεοῦ

᾿Απόκριση

Μακρόθυμος, γιὰ νὰ μπορεῖ νὰ βαστάζει τὸν ἀσθενή.

581

Ἐρώτηση

Ἐὰν ἁμαρτήσει κάποιος ἀπὸ τοὺς ἀδελφούς, πῶς θὰ τὸν ἐλέγξω; Ἰδιαιτέρως ἢ μπροστὰ στοὺς ἀδελφούς;

᾿Απόκριση

Ἐὰν τὸ πρᾶγμα εἶναι σκληρό, μπροστὰ στοὺς ἀδελφούς· πρέπει ὅμως νὰ τὸν προειδοποιήσεις καὶ νὰ τοῦ πεῖς· "Ἂν δὲν θὰ διορθωθεῖς, εἶμαι ὑποχρεωμένος νὰ τὸ πῶ καὶ μπροστὰ στοὺς ἀδελφούς· διότι ἔτσι διέταξε ὁ Κύριος· «ἔλεγξέ τον ὄντας παρόντες σὺ καὶ αὐτὸς μόνο. Καὶ ἂν ἐπιστρέψει, κέρδισες τὸν ἀδελφό σου, ἐὰν ὄχι, πάρε μαζί σου ἀκόμα ἕνα ἢ δύο»[82], καὶ τὰ λοιπά. Ἐὰν ὅμως τὸ ἁμάρτημα εἶναι μικρό, ἔλεγξέ τον ἰδιαιτέρως καὶ βάλε του τὸ ἐπιτίμιο.

582

Ἐρώτηση

Ἐὰν κανεὶς δείξει ὑπομονὴ στὸ κοινόβιο, μὲ ποιόν τρόπο θὰ σωθεῖ; Καὶ τί περισσότερο ἔχει αὐτὸς ποὺ κατοικεῖ σὲ τόπο, ὅπου βρίσκονται οἱ ἅγιοι πατέρες;

᾿Απόκριση

Ἐὰν κανεὶς πεθάνει μὲ ταπείνωση καὶ ὑπακοή, αὐτὸς θὰ σωθεῖ μὲ τὴ βοήθεια τοῦ Χριστοῦ· διότι ὁ Κύριος Ἰησοῦς θὰ δώσει λόγο ὑπὲρ αὐτοῦ. Ἐὰν ὅμως ἔχει ἐγωϊσμὸ καὶ μερικὲς φορὲς ὑποκρίνεται ὑπακοὴ καὶ ταπείνωση,

82. Ματθ. 18,15.

ἐστιν. Τὸν δὲ διὰ τὴν ἀνάπαυσιν τοῦ σώματος καὶ οὐ δι' ὠφέλειαν ψυχῆς κατὰ τὸ ἴδιον θέλημα διάγοντα, τὸν τοιοῦτον χρὴ ἅπαξ ἅπαξ παρακαλεῖν, διὰ τὸν θέλοντα πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Ἐὰν δὲ ἐμμένῃ εἰς τὸ ἴδιον θέλημα, βαστάσατε αὐτὸν ἕως οὐ ἐντραπῇ ἢ ἐξ ἰδίου θελήματος ἀπορρήξει ἑαυτόν. Ἐὰν δὲ γεννᾷ βλάβην τοῖς ἀδελφοῖς, διαμάρτυραι αὐτῷ, ὅτι, ἐὰν ἐμμένῃς τῇ πράξει ταύτῃ, ὧδε μετὰ τῶν ἀδελφῶν οὐ δύνασαι εἶναι. Καὶ γὰρ φύσει οὐ δύναται ἄνθρωπος βαστάσαι ἀνάπαυσιν ἑνός καὶ βλάψαι πολλούς. Ὁ δὲ μένων ἐν πίστει ἀγαθῇ καὶ κατὰ Θεὸν ἐν τῇ μονῇ, λαμβάνει σκέπην παρὰ Θεοῦ καὶ οἰκοδομεῖται καὶ ὁ κοιμηθεὶς ταύτην ἔχων τὴν πρᾶξιν εὑρίσκει ἀνάπαυσιν.

Τὸ δὲ πλέον ἔχειν τὸν ἐνοικοῦντα τόπῳ ἐν ᾧ εἰσιν οἱ ἅγιοι πατέρες, τοῦτό ἐστι τὸ ἔχειν πίστιν ἐν τῇ ἀγαθῇ πράξει καὶ πιστεύειν τῇ δυνάμει τῶν πατέρων, ὅτι «πολλὰ ἰσχύει δέησις δικαίου ἐνεργουμένη», ὅπερ οὐ πανταχοῦ εὑρίσκει τις. Εἶπε γὰρ ὁ Κύριος περὶ τῶν Ἀποστόλων, «ὅτε ἤμην μετ' αὐτῶν, ἐγὼ ἐφύλαττον αὐτούς, νῦν δὲ πρὸς σὲ ἔρχομαι, φύλαξον αὐτοὺς ἐν τῷ ὀνόματί σου», ὅτι σοῦ ἐστιν ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΦΠΓ'

Αἴτησις

Κέλευσον δηλῶσαι τοῖς ἀδελφοῖς περὶ ὑπομονῆς καὶ ὑπακοῆς, ὅτι τὸν λόγον σου δέχονται· καὶ ἐδήλωσεν ὁ γέρων τοῖς ἀδελφοῖς ταῦτα.

αὐτὸ ἐπισύρει τὴν κατάκριση τοῦ Θεοῦ. Ἐκεῖνον ποὺ ζεῖ σύμφωνα μὲ τὸ δικό του θέλημα γιὰ τὴν ἀνάπαυση τοῦ σώματος καὶ ὄχι γιὰ τὴν ὠφέλεια τῆς ψυχῆς, αὐτὸν πρέπει κάπου κάπου νὰ τὸν παρακαλεῖς, χάριν Ἐκείνου ποὺ θέλει νὰ σωθοῦν ὅλοι οἱ ἄνθρωποι καὶ νὰ ἔλθουν σὲ ἐπίγνωση τῆς ἀλήθειας. Ἂν ὅμως ἐπιμένει στὸ θέλημά του, νὰ τὸν βαστάξετε μέχρι ποὺ νὰ ντραπεῖ ἢ νὰ ξεκοπεῖ ἀπὸ τὸ θέλημά του. Ἐὰν πάλι προξενεῖ βλάβη στοὺς ἀδελφούς, νὰ τὸν διβεβαιώσεις ὅτι, 'Ἂν ἐπιμείνεις σ' αὐτὴ τὴν πράξη, δὲν μπορεῖς νὰ μένεις ἐδῶ μαζὶ μὲ τοὺς ἀδελφούς'. Διότι ἀπὸ τὴ φύση του ὁ ἄνθρωπος δὲν μπορεῖ νὰ βαστάξει τὴν ἀνάπαυση τοῦ ἑνὸς καὶ νὰ βλάψει τοὺς πολλούς. Ἐκεῖνος ὅμως ποὺ μένει στὴν ἀγαθὴ πίστη καὶ ζεῖ στὸ μοναστήρι κατὰ Θεόν, δέχεται βοήθεια ἀπὸ τὸν Θεὸ καὶ οἰκοδομεῖται, καὶ ἐκεῖνος ποὺ κοιμήθηκε ἔχοντας αὐτὴν τὴν πράξη, βρίσκει ἀνάπαυση

Τὸ ὅτι ἔχει περισσότερα αὐτὸς ποὺ κατοικεῖ σὲ τόπο ὅπου βρίσκονται οἱ ἅγιοι πατέρες, σημαίνει αὐτό, ὅτι ἔχει πίστη στὴν ἀγαθὴ πράξη καὶ πιστεύει στὴ δύναμη τῶν πατέρων· «διότι ἡ δέηση ποὺ γίνεται ἀπὸ τὸν δίκαιο ἔχει πολλὴ δύναμη»[83], πρᾶγμα ποὺ δὲν βρίσκει κανεὶς παντοῦ. Διότι ὁ Κύριος εἶπε γιὰ τοὺς Ἀποστόλους, «ὅταν ἤμουν μαζί τους, ἐγὼ τοὺς φύλαγα, τώρα ὅμως ποὺ ἔρχομαι σὲ σένα, φύλαξέ τους τὸ ὄνομά σου»[84], διότι δική σου εἶναι ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

583

Αἴτηση

Παράγγειλε νὰ δηλώσω στοὺς ἀδελφοὺς γιὰ ὑπομονὴ καὶ ὑπακοή, διότι δέχονται τὸν λόγο σου· καὶ ὁ γέροντας δήλωσε στοὺς ἀδελφοὺς αὐτά.

83. Ἰακ. 5,16.
84. Ἰω. 17,12.

Ἀπόκρισις

Ἀδελφοί, οὐκ ἐληλύθατε εἰς ἀνάπαυσιν, ἀλλ' εἰς θλῖψιν, ὅτι οὕτως ἐνετείλατο ὁ Κύριος τοῖς Ἀποστόλοις, «ὅτι θλῖψιν ἐπὶ τῆς γῆς καὶ λύπην ἕχετε»· ἐὰν ἀκολουθῆτε τῷ Κυρίῳ Ἰησοῦ, καὶ αὐτὸς μεθ' ὑμῶν ἐστιν, ἐὰν ἀποβάλητε αὐτόν, καὶ αὐτὸς ἀποβάλλει ὑμᾶς. Ὁ θέλων οὖν εὐλογίαν εὑρεῖν παρὰ τοῦ Θεοῦ, ἀκούει αὐτοῦ, ὅτι αὐτὸς εἶπεν, «ὁ φυλάσσων τὸν λόγον μου, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα». Ὁ ζητῶν οὖν ζωὴν αἰώνιον, ζητεῖ φυλάξαι αὐτοῦ τὸν λόγον ἕως ἐκχύσεως αἵματος ἐν τῷ κόψαι τὸ ἴδιον θέλημα· οὐδεὶς γὰρ ζητῶν τὸ ἴδιον θέλημα τὸ ἀπαρέσκον Θεῷ, μέρος ἔχει μετὰ τοῦ Χριστοῦ.

Προσέχετε οὖν ἑαυτοῖς ἐν φόβῳ Θεοῦ, καὶ σκεπάζει ὑμᾶς ὁ Κύριος, εὐχαῖς ἁγίων. Ἀμήν.

ΦΠΔ'

Ἐρώτησις

Εἰπέ μοι, πάτερ, πῶς ὀφείλω ἀπαντᾶν τοῖς εἰσερχομένοις, εἴτε κοσμικοῖς, εἴτε πατράσιν, εἴτε ἀδελφοῖς.

Ἀπόκρισις

Ἐν σοφίᾳ περιπατῶν, πάντας δέχου ἀπροσκόπως, κατὰ τὸν εἰπόντα Ἀπόστολον, ὃς ἤρεσκε καὶ Ἰουδαίοις καὶ Ἕλλησι, καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ· διὰ δὲ τὴν ἀγάπην τοῦ Χριστοῦ, ὑπομιμνήσκω τὸν Κύριόν μου· ὅτι ὁ καιρὸς ἔκλινεν εἰς τὴν ἀνάπαυσιν τοῦ σώματος καὶ εἰς τὴν πλησμονὴν τῆς κοιλίας, τὰ γεννῶντα πάντα τὰ πάθη, ἵνα φυλάξῃς σεαυτὸν ἀπὸ τῶν ἐρχομένων διὰ ταύτην τὴν πρόφασιν, εἴτε κοσμικῶν,

Ἀπόκριση

Ἀδελφοί, δὲν ἔχετε ἔλθει σὲ ἀνάπαυση, ἀλλὰ σὲ θλίψη· διότι τέτοια ἐντολὴ ἔδωσε ὁ Κύριος στοὺς Ἀποστόλους· « θὰ ἔχετε θλίψη καὶ λύπη πάνω στὴ γῆ»[85]. Ἐὰν ἀκολουθεῖτε τὸν Κύριο Ἰησοῦ, καὶ αὐτὸς θὰ εἶναι μαζί σας· ἐὰν τὸν διώξετε, καὶ αὐτὸς θὰ σᾶς διώξει. Ὅποιος λοιπὸν θέλει νὰ βρεῖ εὐλογία ἀπὸ τὸν Θεό, τὸν ἀκούει, διότι αὐτὸς εἶπε, «ὅποιος φυλάγει τὸν λόγο μου, δὲν θὰ πεθάνει στὸν αἰώνα»[86]. Ὅποιος λοιπὸν ζητᾶ αἰώνια ζωή, ζητᾶ νὰ φυλάξει τὸν λόγο του μέχρι ἐκχύσεως αἵματος, κόβοντας τὸ θέλημά του· διότι κανένας, ποὺ ζητᾶ τὸ θέλημά του ποὺ δὲν ἀρέσει στὸν Θεό, δὲν ἔχει θέση κοντὰ στὸν Χριστό. Νὰ προσέχετε λοιπὸν τοὺς ἑαυτούς σας μὲ φόβο Θεοῦ, καὶ ὁ Κύριος θὰ σᾶς προστατεύει μὲ τὶς προσευχὲς τῶν ἁγίων. Γένοιτο.

584

Ἐρώτηση

Πές μου, πάτερ, πῶς ὀφείλω νὰ συναντῶ αὐτοὺς ποὺ ἔρχονται, εἴτε κοσμικούς, εἴτε πατέρες, εἴτε ἀδελφούς;

Ἀπόκριση

Περπατώντας μὲ σοφία, νὰ τοὺς δέχεσαι ὅλους μὲ καλωσύνη, σύμφωνα μὲ τὸν λόγο τοῦ Ἀποστόλου, ὁ ὁποῖος ἀγαποῦσε καὶ τοὺς Ἰουδαίους καὶ τοὺς Ἕλληνες, καὶ τὴν Ἐκκλησία τοῦ Θεοῦ. Γιὰ τὴν ἀγάπη ὅμως τοῦ Χριστοῦ, ὑπενθυμίζω τὸν Κύριό μου, διότι ὁ καιρὸς ἔκλινε πρὸς τὴν ἀνάπαυση τοῦ σώματος καὶ τὸν κορεσμὸ τῆς κοιλιᾶς, αὐτὰ ποὺ γεννοῦν ὅλα τὰ πάθη· γι' αὐτὸ φύλαξε τὸν ἑαυτό σου ἀπὸ τοὺς ἐρχόμενους ἐξαιτίας αὐτῆς τῆς προφάσεως, εἴτε κοσμικούς, εἴτε

85. Ἰω. 16,33.
86. Ἰω. 11,26.

εἴτε ἀδελφῶν, εἴτε πατέρων· καὶ ἐὰν γένηται ἔρχεσθαι αὐτούς, μήτε λιπάνῃς, μήτε ἀποβάλῃς. Ἐὰν δὲ ᾖ ἄνθρωπος εἰς αὐτὸ τοῦτο σχολάζων, κόψον· οὐκ ἀγνοεῖς ἅπαξ τὴν διαγωγὴν τοῦ ἀββᾶ πῶς διῆγε μετὰ τῶν ἐρχομένων. Συμφέρει σοι ἀκοῦσαι σκνιφὸς μὴ ὢν τοιοῦτος, ἢ ἀκοῦσαι τρυφητής.

Λοιπὸν ἐν σεμνότητι δέχου, ποιῶν σχήματα περὶ σεαυτοῦ, ἵνα εὑρεθῇς παραμικρόν· εἰ δὲ βιάσεταί τις, λέγε αὐτῷ, ὁ Ἀπόστολος λέγει, «μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία». Οἱ πατέρες λέγουσι· παρακαλοῦμεν πάντα ἄνθρωπον σωθῆναι θέλοντα καὶ δοῦναι μετάνοιαν τῷ Θεῷ, φυλάξαι ἑαυτὸν ἀπὸ πολυοινίας, ἥτις γεννᾷ πάντα τὰ πάθη. Φύλαξον οὖν σεαυτὸν ἀπὸ τῶν λεγόντων, 'ἐὰν μὴ πίῃς οὐ πίνω, καὶ ἐὰν μὴ φάγῃς, οὐ τρώγω', καὶ μετὰ πάσης ταπεινοφροσύνης παρακάλεσον αὐτόν, λέγων, ὅτι οἱ Ἀπόστολος εἶπεν, «ὁ ἐσθίων μὴ ἐξουθενείτω τὸν μὴ ἐσθίοντα· Κυρίῳ γὰρ οὐκ ἐσθίει· καὶ ὁ μὴ ἐσθίων τὸν ἐσθίοντα μὴ κρινέτω»· Κυρίῳ γὰρ ἐσθίει καὶ δοξάζει τὸν Θεόν. Ὥστε ἀμφότεροι τίμιοί εἰσι παρὰ τῷ Θεῷ· διότι κατὰ δόξαν Θεοῦ ποιοῦσι τὰ ἀμφότερα μέρη.

Λοιπὸν ἅπαξ διὰ τὴν ἀγάπην τοῦ Θεοῦ, ἕκαστος ποιήσει τὴν χρείαν αὐτοῦ, ὅτι ἀσθενής εἰμι καὶ οὐ δύναμαι, καὶ ποιεῖτε μετ' ἐμοῦ ἀγάπην· καὶ γὰρ ὁ Ἀπόστολος εἶπεν οὕτως· «οὐκ ἔστιν ἡ βασιλεία τῶν οὐρανῶν βρῶσις καὶ πόσις», ἀλλὰ ἀγάπη καὶ καθαρὰ καρδία, καὶ τὰ ἑξῆς. Λοιπὸν ἔχε φρόνησιν πρὸς τοὺς ἐρχομένους, ἵνα πρὸς ἕκαστον ἔχῃς σύνεσιν καὶ σοφίαν μαθεῖν, διατί καὶ πῶς ἦλθε, ἢ διὰ τὸν Θεὸν ἢ διὰ βρώματα. Καὶ λοιπὸν ὅσον δύνῃ μὴ δώσῃς σεαυτὸν εἰς λόγους σαρκικῆς διδαχῆς εἰς τοὺς παραβάλλοντας, ἐὰν μή τις χρείαν ἔχῃ τὸν λόγον Θεοῦ

ἀδελφούς, εἴτε πατέρες· καὶ ἂν συμβεῖ νὰ ἔρθουν αὐτοί, οὔτε νὰ τοὺς φιλοξενήσεις πλούσια, οὔτε νὰ τοὺς διώξεις. Ἐὰν ὅμως ὑπάρχει κανεὶς ποὺ ἀσχολεῖται συνέχεια μ' αὐτά, κόψε τον. Δὲν ἀγνοεῖς βέβαια τὴ διαγωγὴ τοῦ ἀββᾶ, πὼς συμπεριφερόταν πρὸς ἐκείνους ποὺ ἔρχονταν. Σὲ συμφέρει νὰ σὲ λένε φιλάργυρο χωρὶς νὰ εἶσαι, παρὰ νὰ σὲ ποῦν καλοφαγᾶ.

Νὰ τοὺς δέχεσαι λοιπὸν μὲ σεμνότητα, προβαίνοντας σὺ ὁ ἴδιος σὲ προσχήματα, ὥστε νὰ παρουσιάζεσαι ὀλιγοχόρταγος. Ἐὰν ὅμως σὲ βιάζει κάποιος, νὰ τοῦ λές· ὁ Ἀπόστολος λέγει, «νὰ μὴ μεθᾶτε μὲ κρασί, στὸ ὁποῖο ὑπάρχει ἀσωτία»[87]. Οἱ πατέρες πάλι λένε· 'Παρακαλοῦμε κάθε ἄνθρωπο, ποὺ θέλει νὰ σωθεῖ καὶ νὰ δώσει μετάνοια στὸ Θεό, νὰ φυλάξει τὸν ἑαυτό του ἀπὸ τὴν πολυποσία, ἡ ὁποία γεννᾶ ὅλα τὰ πάθη'. Φύλαξε λοιπὸν τὸν ἑαυτό σου ἀπὸ αὐτοὺς ποὺ λένε, 'ἂν δὲν πιεῖς, δὲν πίνω, καὶ ἂν δὲν φάγεις, δὲν τρώγω'· καὶ παρακάλεσέ τον μὲ κάθε ταπεινοφροσύνη, λέγοντας, ὅτι ὁ Ἀπόστολος εἶπε· «αὐτὸς ποὺ τρώγει νὰ μὴ ἐξουθενώνει ἐκεῖνον ποὺ δὲν τρώγει· διότι δὲν τρώγει γιὰ τὸν Κύριο. Καὶ ἐκεῖνος ποὺ δὲν τρώγει νὰ μὴ κρίνει αὐτὸν ποὺ τρώγει»[88]· διότι τρώγει γιὰ τὸν Κύριο καὶ δοξάζει τὸν Θεό. Ὥστε καὶ οἱ δύο εἶναι τίμιοι ἐνώπιον τοῦ Θεοῦ· διότι καὶ οἱ δύο ἐνεργοῦν γιὰ τὴ δόξα τοῦ Θεοῦ.

Ἔτσι λοιπὸν γιὰ τὴν ἀγάπη τοῦ Θεοῦ θὰ ἱκανοποιήσει ὁ καθένας τὴν ἀνάγκη του, διότι εἶμαι ἀσθενὴς καὶ δὲν μπορῶ, καὶ δείξατέ μου ἀγάπη· ἄλλωστε καὶ ὁ Ἀπόστολος εἶπε αὐτό· «ἡ βασιλεία τῶν οὐρανῶν δὲν εἶναι τροφὴ καὶ ποτό»[89], ἀλλὰ ἀγάπη καὶ καθαρὴ καρδιά, καὶ τὰ ἑξῆς. Δεῖχνε λοιπὸν φρόνηση πρὸς ἐκείνους ποὺ ἔρχονται, ὥστε νὰ μπορεῖς μὲ σύνεση καὶ σοφία νὰ μάθεις γιὰ τὸν καθένα, γιατί καὶ πῶς ἦρθε, γιὰ τὸν Θεό, ἢ γιὰ φαγητό. Καὶ ἔπειτα ὅσο μπορεῖς νὰ μὴ ἀφήσεις τὸν ἑαυτό σου νὰ παρασυρθεῖ σὲ λόγους σαρκικῆς διδαχῆς πρὸς τοὺς ἐπισκέπτες, ἂν κάποιος δὲν ἔχει ἀνάγκη νὰ ἀκούσει τὸν

87. Ἐφ. 5,18.
88. Ρωμ. 14,3.
89. Ρωμ. 14,17.

ἀκοῦσαι (δίδωσι γάρ σοι ὁ Θεὸς σύνεσιν), ἀλλὰ τὴν συντυχίαν ποιεῖσθαι ἀπὸ βίου πατέρων, ἀπὸ Εὐαγγελίου, ἀπὸ Ἀποστόλων, ἀπὸ τῶν προφητῶν· καὶ μὴ ἐνδῷς αὐτοῖς φθέγξασθαι κοσμικὸν πρᾶγμα, ἐπεὶ καὶ τὸ βρῶμα καὶ πάντα σαρκικὰ γίνονται.

Ταῦτα δὲ ἃ εἶπον, οὐκ ἔστι σαρκικῆς διδαχῆς, ὅσα γὰρ διὰ κοσμικὰ πράγματα λαλεῖται, ταῦτα μὴ λαλῆσαι, διδαχὴ γὰρ σαρκική ἐστι. Καὶ εἰπὲ αὐτῷ· "Ἀββᾶ, εἶπεν ὁ Κύριος, «ἀπόδοτε τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ»· εἰ δὲ διὰ τὸν Θεὸν ἦλθες, τὰ τοῦ Θεοῦ δυνάμεθα συμβουλεῦσαι. Ὁ κόσμος τὸ ἴδιον ἀγαπᾷ· οὐ συμφωνεῖ δὲ ὁ κόσμος τῇ συμφωνίᾳ τοῦ Θεοῦ· εἰ δὲ μήγε, κολαζόμεθα παρὰ τὸ θέλημα τοῦ Θεοῦ συμβουλεύοντες. Ὁ Ἀπόστολος γὰρ εἶπε· «τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς Θεόν· τῷ γὰρ θελήματι τοῦ Θεοῦ οὐχ ὑποτάσσεται, οὐδὲ γὰρ δύναται»'.

ΦΠΕ'

Ἐρώτησις

Εἰπέ μοι, πάτερ, πῶς γίνεται ἡ σαρκικὴ ἐρώτησις, καὶ πῶς ἡ πρὸς αὐτὸν κατὰ Θεὸν ἀπόκρισις;

Ἀπόκρισις

Ιδοὺ ἤρχοντο πρὸς ἡμᾶς τινες ἐρωτῶντες διὰ στρατείαν, καὶ ἀπεκρινόμεθα αὐτοῖς, ὅτι τὸ πρᾶγμα ἀδικίαν ἔχει· οὐ συνεργεῖ οὖν ὁ Θεὸς εἰς ἀδικίαν. Ἐὰν δέ τις ἐρωτήσῃ περὶ τῶν σαρκικῶν, δὸς αὐτῷ ἀπόκρισιν τὸ ἀληθὲς καὶ μὴ τὸ χαλεπόν, τουτέστι τὸ κατὰ Θεὸν καὶ μὴ τὸ σαρκικόν.

λόγο τοῦ Θεοῦ· διότι ὁ Θεὸς θὰ σοῦ δώσει σύνεση. Κάνε λοιπὸν τὴ συζήτηση μιλώντας ἀπὸ τοὺς βίους τῶν πατέρων, ἀπὸ τὸ Εὐαγγέλιο, τοὺς Ἀποστόλους καὶ τοὺς προφῆτες, καὶ μὴ τοὺς ἀφήσεις νὰ ποῦν κοσμικὸ πρᾶγμα, διότι ἔτσι καὶ ἡ τροφὴ καὶ ὅλα γίνονται σαρκικά.

Αὐτὰ ποὺ εἶπα δὲν εἶναι λόγια σαρκικῆς διδασκαλίας· διότι ὅσα ἀναφέρονται σὲ κοσμικὰ πράγματα, αὐτὰ εἶναι καλὸ νὰ μὴ λεχθοῦν, διότι εἶναι σαρκικὴ διδασκαλία. Καὶ πές του· "Ἀββᾶ, ὁ Κύριος εἶπε «ἀποδώσατε τὰ τοῦ Καίσαρος στὸν Καίσαρα, καὶ τὰ τοῦ Θεοῦ στὸν Θεό»[90]· ἂν ἦρθες γιὰ τὸ Θεό, μποροῦμε νὰ σὲ συμβουλέψομε τὰ τοῦ Θεοῦ. Ὁ κόσμος ἀγαπᾶ τὰ δικά του· ὁ κόσμος δὲν συμφωνεῖ μὲ τὴ συμφωνία τοῦ Θεοῦ· ἂν ὄχι, τότε θὰ τιμωρηθοῦμε, ἀφοῦ συμβουλεύομε ἀντίθετα πρὸς τὸ θέλημα τοῦ Θεοῦ. Διότι ὁ Ἀπόστολος εἶπε· «τὸ φρόνημα τῆς σάρκας εἶναι ἐχθρικὸ στὸν Θεό· διότι δὲν ὑποτάσσεται στὸ θέλημα τοῦ Θεοῦ, οὔτε βέβαια καὶ μπορεῖ»[91].

585

Ἐρώτηση

Πές μου, πάτερ, πῶς γίνεται ἡ σαρκικὴ ἐρώτηση, καὶ πῶς ἡ κατὰ Θεὸν ἀπόκριση πρὸς αὐτόν.

Ἀπόκριση

Νά, ἔρχονταν μερικοὶ σὲ μᾶς νὰ ἐρωτήσουν γιὰ ἐκστρατεία· καὶ τοὺς ἀπαντούσαμε, ὅτι τὸ πρᾶγμα ἐνέχει ἀδικία· δὲ συνεργεῖ λοιπὸν ὁ Θεὸς γιὰ ἀδικία. Ἂν ὅμως κανεὶς ἐρωτήσει γιὰ τὰ σαρκικά, δός του ὡς ἀπάντηση τὸ ἀληθινὸ καὶ ὄχι τὸ ψεύτικο, δηλαδὴ τὸ σύμφωνο μὲ τὸν Θεὸ καὶ ὄχι τὸ σύμφωνο μὲ τὴ σάρκα.

---

90. Λουκᾶ 20,25.
91. Ρωμ. 8,7.

ΦΠS'

Αἴτησις

Δέσποτα, δέομαι τῶν οἰκτιρμῶν σου, αἴτησον μετὰ τοῦ ἁγίου Γέροντος, ἵνα λυτρωθῶ τῆς ὑψηλοφροσύνης, καὶ ἐν ταπεινῇ καρδίᾳ καὶ φόβῳ Θεοῦ λαλῶ τὴν ἀπόκρισιν ἑκάστῳ, ὥσπερ ᾐτήσατο καὶ περὶ τοῦ ἐν ἁγίοις πατρός.

Ἀπόκρισις

Εὐλογητὸς ὁ Θεός· γένοιτό σοι κατὰ τὸ θέλημά σου καὶ ὁ Θεός, ὁ πάντα πλουσίως δωρούμενος, χαρίσαιτό σοι ταῖς εὐχαῖς τοῦ ἁγίου Γέροντος ἐν τῷ Πνεύματι τῷ ἁγίῳ λαλεῖν ἐν τῷ φόβῳ αὐτοῦ, καὶ μετὰ πάσης ταπεινοφροσύνης καὶ ἀναξιότητος διδόναι ἀπόκρισιν ἑκάστῳ καθὼς ἐστι χρεία. Ὅπου οὖν φθάσῃς, αἴτησαι ἐν τῇ διανοίᾳ σου τὸν ἅγιον Γέροντα, ὅτι "Ἀββᾶ, τί λαλήσω;" καὶ μὴ μεριμνήσῃς τί εἴπῃς, κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου λέγοντος· «μὴ μεριμνήσητε τί λαλήσετε· ὅτι οὐχ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς, τὸ λαλοῦν ἐν ὑμῖν».

ΦΠΖ'

Ἐρώτησις

Πῶς ὀφείλομεν κεχρῆσθαι τῇ φιλοξενίᾳ καὶ τῇ τῶν πτωχῶν ἐντολῇ, κἂν εἰ χρὴ πάντας τοὺς ἐρχομένους ἀφαρεὶ δέχεσθαι· καὶ ἐπειδὴ ὀχλοῦσιν ἡμῖν διὰ ἱμάτια, ἐὰν ὅλως περισσεύσωμεν, εἰ χρὴ διδόναι, καὶ τίνι.

---

92. Ἐδῶ ὁ ἐρωτῶν ἀπευθύνεται πρὸς τὸν γέροντα Ἰωάννη καὶ τὸν παρακαλεῖ νὰ εὐχηθεῖ μαζὶ μὲ τὸν ἅγιο γέροντα, δηλαδὴ τὸν Βαρσανούφιο. Ὁ ἐν

586

Αἴτηση

Δέσποτα, παρακαλῶ τὴν εὐσπλαχνία σου, ζήτησε μαζὶ μὲ τὸν ἅγιο γέροντα νὰ λυτρωθῶ ἀπὸ τὴν ὑψηλοφροσύνη, καὶ μὲ ταπεινὴ καρδιὰ καὶ φόβο Θεοῦ νὰ λέγω τὴν ἀπάντηση στὸν καθένα, ὅπως ἀκριβῶς παρακάλεσε καὶ γιὰ τὸν πατέρα ποὺ βρίσκεται ἀνάμεσα στοὺς ἁγίους[92].

᾿Απόκριση

Εὐλογητὸς ὁ Θεός· εἴθε νὰ σοῦ γίνει σύμφωνα μὲ τὸ θέλημά σου· καὶ ὁ Θεός, ὁ ὁποῖος δωρίζει πλουσιοπάροχα τὰ πάντα, εἴθε μὲ τὶς προσευχὲς τοῦ ἁγίου γέροντα νὰ σὲ ἀξιώσει νὰ μιλᾶς μὲ τὸ ἅγιο Πνεῦμα κατὰ φόβον αὐτοῦ, καὶ νὰ δίνεις ἀπάντηση στὸν καθένα μὲ κάθε ταπεινοφροσύνη καὶ μετριοφροσύνη, ὅπως εἶναι ἀνάγκη. Ὅπου λοιπὸν βρεθεῖς, παρακάλεσε μὲ τὸν νοῦ σου τὸν ἅγιο γέροντα, λέγοντας, ''Ἀββᾶ, τί νὰ πῶ;' καὶ νὰ μὴ φροντίσεις τί θὰ πεῖς, σύμφωνα μὲ τὴν ἐντολὴ τοῦ Κυρίου ποὺ λέγει· «μὴ φροντίσετε τί θὰ πεῖτε· διότι δὲν εἶσθε ἐσεῖς ποὺ μιλᾶτε, ἀλλὰ τὸ Πνεῦμα τοῦ ἐπουράνιου Πατέρα σας, ποὺ μιλᾶ μέσα σας».

587

Ἐρώτηση

Πῶς ὀφείλομε νὰ πραγματοποιοῦμε τὴ φιλοξενία καὶ τὴν ἐντολὴ τῶν φτωχῶν· καὶ ἀκόμη, ἂν πρέπει νὰ δεχόμαστε ἀμέσως ὅλους αὐτοὺς ποὺ ἔρχονται. Ἐπίσης, ἐπειδὴ μᾶς ἐνοχλοῦν γιὰ ἐνδύματα, ἐφ' ὅσον συμβεῖ νὰ μᾶς περισσέψουν, ἂν πρέπει νὰ δίνομε, καὶ σὲ ποιόν;

ἁγίοις πατὴρ εἶναι ὁ ἡγούμενος Σέριδος ποὺ εἶχε πεθάνει καὶ ὁ ἐρωτῶν εἶναι ὁ διάδοχός του Αἰλιανός.

Ἀπόκρισις

Τῇ φιλοξενίᾳ καὶ τῇ ἐντολῇ κατὰ δύναμιν συμμετροῦντες τῷ πράγματι τῆς ὑπομονῆς, κἂν εὕρητε πλεῖον εἰς τὰς χεῖρας, καὶ οὕτω χρήσασθε τῇ συμμετρίᾳ, ἵνα μή τις συνήθεια κατάσχῃ καὶ ἔρχεται ἀπορίᾳ καὶ τὸ αὐτὸ ἀπαιτεῖ, ἀκριβάζοντες διὰ τί ὁ ἐρχόμενος ἔρχεται· ἐὰν γὰρ ᾖ κλέπτης, ὡς εἶπον οἱ πατέρες, δότε εὐλογίαν καὶ ἀπολύσατε· καὶ ἐπειδή εἰσί τινες ὧδε ἐρχόμενοι ἐπιβαρῆσαι, μὴ δῷς αὐτοῖς παρρησίαν· καὶ γὰρ διὰ σκνιφείαν ἔρχονται βαρῆσαι, μὴ χρείαν ἔχοντες. Ἱμάτιον δὲ μηδενὶ δότε ὡς ἔτυχεν, ἐὰν μὴ πάνυ ᾖ ὁ ἄνθρωπος φοβούμενος τὸν Θεὸν καὶ αἰσχύνηται αἰτῆσαι· ἐρευνῶντες οὖν τὴν ἀλήθειαν εἰ ὅλως ἀκτήμων ᾖ καὶ χρῄζων διὰ τὸν Θεόν, καὶ οὐ δι' ἀσωτίαν, συμπαθήσατε αὐτῷ.

ΦΠΗ'

Ἐρώτησις

Διὰ τί οὐ χρὴ δέχεσθαι τοὺς περιάκτας εἰς τὸ κοινόβιον;

Ἀπόκρισις

Ἐπειδὴ εἰσερχόμενοι θλίβουσι· διὰ τοῦτο χρὴ εὐλογίαν διδόναι καὶ ἀπολύειν.

ΦΠΘ'

Ἐρώτησις

Τί οὖν ὅτι φιλονεικοῦσιν εἰσελθεῖν; δεξόμεθα αὐτοὺς ἢ οὔ;

Ἀπόκριση

Θὰ ἐνεργεῖτε συμμετρώντας κατὰ δύναμη τὸ θέμα τῆς ὑπομονῆς μὲ τὴ φιλοξενία καὶ τὴν ἐντολή, καὶ ἂν βρεῖτε περισσότερα στὰ χέρια νὰ δίνετε. Καὶ ἔτσι νὰ ἐφαρμόζετε τὴ συμμετρία, γιὰ νὰ μὴ ἐπικρατήσει συνήθεια καὶ ἔρχεται κανεὶς ὁδηγούμενος ἀπὸ φτώχεια καὶ ἀπαιτεῖ τὸ ἴδιο, ἐξακριβώνοντας γιατί ἔρχεται ὁ ἐρχόμενος· διότι, ἂν εἶναι κλέφτης, ὅπως εἶπαν οἱ πατέρες, δῶστε εὐλογία καὶ ἀπομακρύνατέ τον· καὶ ἐπειδὴ ὑπάρχουν μερικοὶ ποὺ ἔρχονται ἐδῶ γιὰ νὰ ἐπιβαρύνουν, νὰ μὴ τοὺς δώσεις θάρρος· διότι ἐξαιτίας τῆς φιλαργυρίας τους ἔρχονται νὰ σᾶς ἐπιβαρύνουν χωρὶς νὰ ἔχουν ἀνάγκη. Μὴ δώσετε σὲ κανέναν ἐνδύματα στὴν τύχη, ἐὰν δὲν εἶναι ἄνθρωπος ποὺ φοβᾶται πολὺ τὸν Θεὸ καὶ ντρέπεται νὰ ζητήσει. Ἐρευνώντας λοιπὸν τὴν ἀλήθεια, ἂν εἶναι ὁπωσδήποτε ἀκτήμονας καὶ χρειάζεται γιὰ τὸν Θεὸ καὶ ὄχι γιὰ ἀσωτία, νὰ τὸν βοηθήσετε.

588

Ἐρώτηση

Γιατί δὲν πρέπει νὰ δεχόμαστε στὸ κοινόβιο τοὺς περιπλανώμενους στὰ μοναστήρια μοναχούς;

Ἀπόκριση

Επειδή, ὅταν ἔρχονται, στενοχωροῦν· γι' αὐτὸ πρέπει νὰ τοὺς δίδεται εὐλογία καὶ νὰ τοὺς ἀπομακρύνετε.

589

Ἐρώτηση

Τί πρέπει νὰ γίνει ὅμως, ὅταν ἐπιμένουν νὰ εἰσέλθουν; νὰ τοὺς δεχθοῦμε ἢ ὄχι;

Ἀπόκρισις

Τὸν μὴ ὀφείλοντα δεχθῆναι, κἂν πάνυ φιλονεικῇ, μὴ δέξῃ, ὡς εἶπον οἱ γέροντες· ἀλλ᾽ ἐὰν ᾖ χρεία τοῦ δοῦναι αὐτῷ μικρὸν περισσόν, δὸς καὶ ἀπόλυσον· τοῦτο γὰρ συμφέρει.

ΦϞ᾽

Ἐρώτησις

Ἐὰν ἀγνοῶμέν τινα παντελῶς καὶ οὐκ οἴδαμεν ὁποῖός ἐστι, δεξόμεθα αὐτὸν ἢ οὔ;

Ἀπόκρισις

Τὸν ἀγνοούμενον δέξαι τὸ πρῶτον ἅπαξ, καὶ μανθάνεις πῶς ἐστιν ὁ ἄνθρωπος· μὴ ἀφαρεὶ δὲ ἀφῇς τινα κοιμηθῆναι, ἵνα μὴ γένηται πειρασμὸς ἐξ αὐτοῦ καὶ θλιβῆτε, μὴ δυνάμενοι βαστάσαι.

ΦϞΑ᾽

Ἐρώτησις

Τίς ποτε μοναχὸς πρεσβύτερος παραβάλλων τῷ κοινοβίῳ βλάπτει τοὺς ἀδελφοὺς καὶ λαλῶν καὶ ποιῶν σκάνδαλα, καὶ βούλεται οἰκῆσαι πλησίον ὡς ἀπὸ δύο μιλίων, ὅθεν γίνεται ἡ πάροδος τῶν ἀδελφῶν. Τί οὖν κελεύεις, συγχωρήσωμεν εἰσέρχεσθαι εἰς τὸ κοινόβιον καὶ οἰκῆσαι πλησίον ἐν τῷ εἰρημένῳ τόπῳ ἢ οὔ;

Ἀπόκρισις

Κώλυσον αὐτὸν εἰσελθεῖν εἰς τὸ κοινόβιον, λέγων αὐτῷ· Ῥύριε ἀββᾶ, ἐσκανδάλισας τοὺς ἀδελφούς, καὶ οὐ χρεία εἰσελθεῖν ὧδε, ἵνα μὴ πάλιν ἀφῇς σκάνδαλον εἰς

Ἀπόκριση

Ἐκεῖνον ποὺ δὲν πρέπει νὰ τὸν δεχθεῖτε, καὶ ἂν ἀκόμα ἐπιμένει πολύ, νὰ μὴ τὸν δεχθεῖς, ὅπως εἶπαν οἱ γέροντες· ἂν ὅμως εἶναι ἀνάγκη νὰ τοῦ δώσετε κάτι τὸ παραμικρό, δῶσε του καὶ ἀπομάκρυνέ τον· διότι αὐτὸ συμφέρει.

590

Ἐρώτηση

Ἂν ἀγνοοῦμε κάποιον τελείως καὶ δὲν γνωρίζομε ποιός εἶναι, νὰ τὸν δεχθοῦμε ἢ ὄχι;

Ἀπόκριση

Δέξου μία φορὰ τὸν ἄγνωστο στὴν ἀρχὴ καὶ θὰ μάθεις ποιός εἶναι ὁ ἄνθρωπος· νὰ μὴ ἀφήσεις ὅμως κάποιον νὰ κοιμηθεῖ ἐλεύθερα, γιὰ νὰ μὴ γίνει πειρασμὸς ἀπὸ αὐτὸν καὶ θλιβεῖτε, μὴ μπορώντας νὰ τὸν βαστάξετε.

591

Ἐρώτηση

Κάπου κάπου κάποιος μοναχὸς πρεσβύτερος μπαίνοντας στὸ κοινόβιο βλάπτει τοὺς ἀδελφούς, μιλώντας καὶ κάνοντας σκάνδαλα, καὶ θέλει νὰ κατοικήσει πλησίον καὶ σὲ ἀπόσταση δύο μιλίων ἀπὸ τὸ μοναστήρι, ἀπ' ὅπου γίνεται τὸ πέρασμα τῶν ἀδελφῶν. Τί διατάζεις λοιπόν, νὰ τὸν ἐπιτρέψομε νὰ μπαίνει στὸ κοινόβιο καὶ νὰ κατοικήσει κοντά μας στὸν τόπο ποὺ προαναφέρθηκε ἢ ὄχι;

Ἀπόκριση

Ἐμπόδισέ τον νὰ μπεῖ στὸ κοινόβιο, λέγοντάς του· 'Κύριε ἀββᾶ, σκανδάλισες τοὺς ἀδελφοὺς καὶ δὲν χρειάζεται νὰ μπεῖς ἐδῶ, γιὰ νὰ μὴ προξενήσεις πάλι σκάνδα-

αὐτούς. Καὶ μὴ νομίσῃς ὅτι διὰ μῖσός σε ἀποβάλλομεν «ὁ γὰρ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἀνθρωποκτόνος ἐστίν», ἀλλὰ διὰ τὸ σκάνδαλον· ἀλλ' οὐδὲ πλησίον δύνασαι οἰκῆσαι διὰ τὴν βλάβην τῶν ἀδελφῶν'. Ταῦτα εἰπὲ αὐτῷ διὰ σαυτοῦ παραχρῆμα, ἵνα μὴ καταισχύνῃς αὐτὸν δι' ἄλλου, κληρικὸς γάρ ἐστιν.

ΦϞΒ'

Ἐρώτησις

Ἄλλος τις παραβαλὼν τῷ κοινοβίῳ ἐποίησε πρᾶγμα δολερὸν καὶ ἄτοπον· ἔλαβε γὰρ πράγματα ἐξ ὀνόματος τοῦ μακαρίου τοῦ ἀββᾶ δίχα αὐτοῦ, καὶ τοῦτο μαθὼν ὁ ἀββᾶς παρήγγειλε μὴ εἰσελθεῖν αὐτὸν εἰς τὸ κοινόβιον· καὶ ἀκούσας τοῦτο εἰσῆλθε διὰ τῆς πλαγίας εἰς τὴν αὐλήν, καὶ ἰδὼν αὐτὸν ὁ θυρωρὸς ἀπήγγειλε τῷ ἀββᾷ, καὶ εἶπεν αὐτῷ· 'ἔκβαλε αὐτὸν ἔξω'· καὶ ἐξέβαλε καὶ τελείως ἔκοψεν αὐτὸν ἔνθεν. Πάλιν ἐὰν ἔλθῃ συγχωρήσωμεν αὐτῷ εἰσελθεῖν ἢ οὔ;

Ἀπόκρισις

Οὐ χρείαν ἔχεις δέξασθαι αὐτόν, οὐκ ὠφελεῖ γάρ σε· ἀλλὰ δήλωσον αὐτῷ δι' ἄλλου ὅταν ἔλθῃ, ὅτι οὐ δύνασαι εἰσελθεῖν ὧδε· οὐκ ἔχει γὰρ ὠφέλειαν ψυχῆς.

ΦϞΓ'

Ἐρώτησις

Ἄλλος ἀδελφός, οἰκήσας ποτὲ ἐν τῷ κοινοβίῳ καὶ μὴ ὠφελῶν τοὺς ἀδελφούς, ἐξῆλθε, καὶ μετὰ χρόνον ἠβουλήθη ἀναλῦσαι, καὶ οὐκ ἐδέξατο αὐτὸν ὁ ἀββᾶς, εἰπὼν ὅτι 'Κἂν ἐγὼ

λο σ' αὐτούς. Καὶ μὴ νομίσεις ὅτι σὲ διώχνομε ἀπὸ μίσος, διότι «ὅποιος μισεῖ τὸν ἀδελφό του εἶναι ἀνθρωποκτόνος»[93], ἀλλὰ γιὰ τὸ σκάνδαλο. Οὔτε ὅμως κοντὰ μπορεῖς νὰ κατοικήσεις ἐξαιτίας τῆς βλάβης τῶν ἀδελφῶν'. Αὐτὰ νὰ τοῦ πεῖς ἀμέσως σὺ ὁ ἴδιος, γιὰ νὰ μὴ τὸν καταντροπιάσεις μὲ ἄλλον, διότι εἶναι κληρικός.

592

Ἐρώτηση

Κάποιος ἄλλος ποὺ μπῆκε στὸ κοινόβιο ἔκανε πρᾶγμα δολερὸ καὶ ἄτοπο· διότι πῆρε πράγματα ἐξ ὀνόματος τοῦ μακαρίου τοῦ ἀββᾶ χωρὶς νὰ εἶναι αὐτὸς ἐκεῖ. Μόλις τὸ ἔμαθε αὐτὸ ὁ ἀββᾶς παρήγγειλε νὰ μὴ μπεῖ αὐτὸς στὸ κοινόβιο. Ὅταν τὸ ἄκουσε αὐτὸ ἐκεῖνος μπῆκε ἀπὸ τὰ πλάγια στὴν αὐλή· τὸν εἶδε ὅμως ὁ θυρωρὸς καὶ τὸ ἀνήγγειλε στὸν ἀββᾶ, καὶ αὐτὸς τοῦ εἶπε· 'βγάλε τον ἔξω'. Αὐτὸς τότε τὸν ἔβγαλε ἔξω καὶ τὸν ἀπέκοψε τελείως ἀπὸ δῶ. Ἐὰν ἔρθει πάλι νὰ τὸν ἐπιτρέψομε νὰ μπεῖ ἢ ὄχι;

Ἀπόκριση

Δὲν εἶσαι ὑποχρεωμένος νὰ τὸν δεχθεῖς, διότι δὲν σὲ ὠφελεῖ· ἀλλὰ δήλωσέ του μὲ ἄλλον ὅταν ἔρθει, ὅτι δὲν μπορεῖς νὰ μπεῖς ἐδῶ· διότι δὲν ἀποβαίνει αὐτὸ πρὸς ὠφέλεια ψυχῆς.

593

Ἐρώτηση

Ἄλλος ἀδελφός, ἀφοῦ κατοίκησε κάποτε στὸ κοινόβιο, ἐπειδὴ δὲν ὠφελοῦσε τοὺς ἀδελφούς, ἔφυγε. Μετὰ ἀπὸ καιρὸ θέλησε νὰ ἐπιστρέψει, ἀλλὰ δὲν τὸν δέχθηκε ὁ ἀββᾶς, λέ-

---

93. Ἰω. 3,15.

θέλω, οὐ δύναμαι βλάψαι τὴν συνείδησιν τῶν ἀδελφῶν· θλίβονται γὰρ ἐὰν δέξωμαί σε, καὶ οὐκ ἔστι τοῦτο δυνατόν'. Ἐπειδὴ οὖν ἦλθε δεχθῆναι θέλων, τί κελεύεις εἴπω αὐτῷ;

Ἀπόκρισις

Εἰπὲ αὐτῷ, ὅτι, "Ἅπαξ καὶ δὶς ἐλάλησας περὶ τούτου τῷ ἀββᾷ, καὶ εἶπέ σοι, ὅτι οὐ δυνατόν· λοιπὸν μὴ προσδοκήσῃς μήτε νῦν μήτε μετὰ καιρὸν οἰκῆσαι ὧδε', καὶ ἀπόλυσον αὐτόν. Ἐὰν δὲ παραβάλῃ ἅπαξ καὶ ἅπαξ, δέξαι αὐτὸν μετὰ πτωχείας ὡς ἀδελφόν· ἐὰν δὲ συνεχῶς, εἰπὲ αὐτῷ· 'Οὐ καταγινώσκει σου τὸ συνειδός;'

ΦϞΔ'

Ἐρώτησις

Ἐάν τις ἐνέγκῃ ἡμῖν πρᾶγμα ἐπ' ἐλπίδι λαβεῖν πλέον, τί ποιήσω; λάβω ἢ οὔ; Συμβαίνει δὲ ὅτι καὶ χρείαν ἔχω τοῦ πράγματος.

Ἀπόκρισις

Ἐὰν οὐ χρείαν ἔχῃς, μὴ λάβῃς· ἐὰν δὲ χρείαν ἔχῃς, εἰπὲ αὐτῷ, ὅτι "Ἐὰν λάβω, τὴν τιμὴν δίδωμι', καὶ σπούδασον δοῦναι αὐτῷ τὰ ἴσα.

ΦϞΕ'

Ἐρώτησις

Ἐπειδὴ ἔστιν ὅτε παραβάλλουσιν ἡμῖν γυναῖκες κατὰ πίστιν καὶ μητέρες δὲ τῶν παρ' ἡμῖν ἀδελφῶν, καὶ δεχόμεθα αὐτὰς εἰς τὸ κελλίον τὸ ἔξωθεν, καὶ ἔχει θυρίδας εἰς τὴν μονήν, ὀφείλω διὰ τῶν θυρίδων συντυγχάνειν αὐταῖς

γοντας· 'Κι ἂν ἀκόμη ἐγὼ θέλω, δὲν μπορῶ νὰ βλάψω τὴ συνείδηση τῶν ἀδελφῶν, διότι θὰ θλιβοῦν ἂν σὲ δεχθῶ, καὶ αὐτὸ δὲν εἶναι δυνατόν'. Ἐπειδὴ λοιπὸν ἦρθε θέλοντας νὰ γίνει δεκτός, τί διατάζεις νὰ τοῦ πῶ;

Ἀπόκριση

Πές του· 'Μία καὶ δύο φορὲς μίλησες γι' αὐτὸ στὸν ἀββᾶ, καὶ σοῦ εἶπε ὅτι δὲν εἶναι δυνατό· λοιπὸν νὰ μὴ ἐλπίζεις οὔτε τώρα, οὔτε μετὰ ἀπὸ καιρὸ νὰ μείνεις ἐδῶ', καὶ ἀπομάκρυνέ τον. Ἐὰν ἔρχεται κάπου κάπου νὰ τὸν δέχεσαι φτωχικὰ σὰν ἀδελφό, ἂν ὅμως ἔρχεται συνέχεια, πές του· 'Δὲν σὲ κατακρίνει ἡ συνείδησή σου;'

594

Ἐρώτηση

Ἐὰν κανεὶς μᾶς φέρει κάτι μὲ τὴν ἐλπίδα νὰ πάρει περισσότερο, τί νὰ κάνω; νὰ τὸ πάρω ἢ ὄχι; Συμβαίνει μάλιστα καμμιὰ φορὰ νὰ ἔχω καὶ ἀνάγκη τοῦ πράγματος.

Ἀπόκριση

Ἐὰν δὲν τὸ ἔχεις ἀνάγκη, νὰ μὴ τὸ πάρεις· ἐὰν ὅμως τὸ ἔχεις ἀνάγκη, νὰ τοῦ πεῖς· '῎Αν τὸ πάρω θὰ τὸ πληρώσω'· καὶ φρόντισε νὰ τοῦ δώσεις τὴν ἴση ἀξία.

595

Ἐρώτηση

Ἐπειδὴ μερικὲς φορὲς μᾶς ἐπισκέπτονται γυναῖκες μὲ πίστη καὶ μητέρες τῶν ἀδελφῶν ποὺ βρίσκονται μαζί μας, καὶ τὶς δεχόμαστε στὸ ἐξωτερικὸ κελλὶ ποὺ ἔχει παραθυράκια πρὸς τὴ μονή, ὀφείλω νὰ συνομιλῶ μαζί τους μέσα

ἢ οὔ; Καὶ ἐπειδὴ ἡ γραῖά μου οὐκ ἠθέλησε μεῖναι παρὰ τοῖς ἀνεψιοῖς αὐτῆς καὶ πάντα τὰ αὐτῆς ἐδωρήσατό μοι, κελεύεις ἵνα, ὅτε ἅπαξ ἔρχεται, λαλῶ αὐτῇ καὶ χορηγῶ τὴν χρείαν αὐτῆς; ἢ πῶς ποιήσω; πῶς χρὴ γενέσθαι;

Ἀπόκρισις

Ἐὰν γένηται πρόφασις τοῦ γυναῖκας παραβαλεῖν ἡμῖν διὰ τὸν Θεόν, οὐ διὰ θεωρίαν τόπου, οὐδὲ διὰ θέλημα, ἀλλὰ εἰδικῶς διὰ τὸ ἀκοῦσαι λόγον Θεοῦ ἢ προσενεγκεῖν τι τῷ τόπῳ καὶ χρεία ἐστὶ συντυχεῖν αὐταῖς, σύντυχε καὶ βίασαι τοῦ φυλάξαι τοὺς ὀφθαλμούς σου, ὅτι «ὁ ἐμβλέπων γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ». Καὶ πᾶν πρᾶγμα διὰ τὸν Θεὸν γινόμενον ὁ Θεὸς σκεπάζει. Μὴ ἐν ἀνθρωπαρεσκείᾳ, μὴ ὡς ζητῶν ἔπαινον, ἀλλ' ἐκ καθαρᾶς καρδίας ἔκτεινον τὸν λογισμὸν πρὸς τὸν Θεόν· κἂν ᾖ μήτηρ ἀδελφοῦ καὶ ἔλθῃ διά τινα ἀνάγκην, λάλησον μετ' αὐτῆς κατὰ τὴν ἐντολὴν ἣν ἔχεις, ἐπειδὴ χωρὶς ἀνάγκης, οὐ χρεία ἐστί· δύναται γὰρ ὁ υἱὸς αὐτῆς πληροφορῆσαι αὐτήν, ὑμῶν ὑπουργούντων τὰ τῆς χρείας, οὐκ ἐν ἀσωτίᾳ, ἀλλὰ τὰ ἐπάναγκες.

Τῇ δὲ γραίᾳ σου τὸν χρόνον τῆς ζωῆς αὐτῆς ὀφειλέτης εἶ ἅπαξ ἅπαξ λαλεῖν καὶ ποιεῖν τὰς χρείας αὐτῆς, εἴτε εἰς τὴν πόλιν θέλει εἶναι, εἴτε εἰς ταύτην τὴν κώμην. Τοὺς δὲ παῖδας μὴ συγχωρήσῃς ποιεῖν τὰ θελήματα αὐτῶν, ἕως οὗ εὐοδώσῃς αὐτοὺς εἰς βίον. Διοίκει δὲ αὐτοὺς ἐν φόβῳ Θεοῦ, τρέφων αὐτοὺς καὶ ἐνδύων μετὰ ἀκριβείας, διὰ τὴν ἀσωτίαν καὶ καταφρόνησιν, καὶ τὸ μὴ ζητεῖν τι περισσόν, ἀλλὰ δοκιμάζων τὰς χρείας καὶ ἐλέγχων αὐτοὺς καὶ λέγων αὐτοῖς· 'Θέτε παρ' ἑαυτοῖς, ὅτι οὐκ ἐστὲ δοῦλοι, ἀλλ' ἐλεύθεροι· πόσην ἀμεριμνίαν ἔχετε καὶ ἀνάπαυσιν πλείονα τῶν ἐχόντων οὐσίας;' Κἂν ἀποθάνῃ ἡ γραῖα, ἐλευθέρωσον αὐτοὺς καὶ δὸς αὐτοῖς τὴν ἀποτροφὴν αὐτῶν μετὰ συμμε-

ἀπὸ τὰ παράθυρα ἢ ὄχι; Καὶ ἐπειδὴ ἡ γερόντισσά μου δὲν θέλησε νὰ μείνει κοντὰ στοὺς ἀνεψιούς της, καὶ ὅλα τὰ δικά της μοῦ τὰ δώρισε, διατάζεις ὅταν καμμιὰ φορὰ ἔρχεται νὰ τῆς μιλῶ καὶ νὰ τῆς χορηγῶ τὰ ἀναγκαῖα της; ἢ τί νὰ κάνω; τί πρέπει νὰ γίνει;

Ἀπόκριση

Ὅταν συμβεῖ νὰ μᾶς ἐπισκεφθοῦν γυναῖκες γιὰ τὸν Θεό, καὶ ὄχι γιὰ νὰ δοῦν τὸν τόπο, οὔτε γιὰ θέλημα, ἀλλὰ εἰδικὰ γιὰ νὰ ἀκούσουν λόγο Θεοῦ ἢ νὰ προσφέρουν κάτι στὸν τόπο καὶ εἶναι ἀνάγκη νὰ συνομιλήσεις μαζί τους, συνομίλησε καὶ φρόντισε νὰ φυλάξεις τοὺς ὀφθαλμούς σου, διότι «αὐτὸς ποὺ βλέπει γυναίκα μὲ ἐπιθυμία, ἤδη ἐμοίχευσε μὲ αὐτὴν στὴν καρδιά του»[94]. Ὁ Θεὸς προστατεύει κάθε πρᾶγμα ποὺ γίνεται γιὰ τὸν Θεό. Νὰ μὴ τὶς δέχεσαι μὲ ἀνθρωπαρέσκεια, σὰν νὰ ζητᾶς ἔπαινο, ἀλλὰ μὲ καθαρὴ καρδιὰ ἅπλωσε τὸν λογισμὸ πρὸς τὸν Θεό. Καὶ ἂν εἶναι μητέρα ἀδελφοῦ καὶ ἔρθει γιὰ κάποια ἀνάγκη, μίλησε μ' αὐτὴν σύμφωνα μὲ τὴν ἐντολὴ ποὺ ἔχεις, διότι χωρὶς νὰ ὑπάρχει ἀνάγκη, δὲν χρειάζεται. Μπορεῖ ὁ γιός της νὰ τὴν πληροφορήσει, ἐνῶ ἐσεῖς θὰ χορηγεῖτε τὰ χρειαζούμενα, ὄχι μὲ ἀσωτία, ἀλλὰ τὰ ἀναγκαῖα.

Στὴ γερόντισσά σου ὀφείλεις ὅλον τὸν χρόνο τῆς ζωῆς της νὰ τὴ μιλᾶς κάπου κάπου καὶ νὰ ἱκανοποιεῖς τὶς ἀνάγκες της, εἴτε θέλει νὰ εἶναι στὴν πόλη εἴτε σ' αὐτὴν τὴν κωμόπολη. Ὡς πρὸς τὰ παιδιὰ ὅμως νὰ μὴ δεχθεῖς νὰ κάνεις τὰ θελήματά τους, ὥς ποὺ νὰ τὰ βάλεις σὲ καλὸ δρόμο στὴ ζωή. Νὰ τὰ καθοδηγεῖς μὲ φόβο Θεοῦ, τρέφοντάς τα καὶ ντύνοντάς τα μὲ ἰδιαίτερη προσοχή, πρὸς ἀποφυγὴ τῆς ἀσωτίας καὶ τῆς περιφρονήσεως καὶ γιὰ νὰ μὴ ζητοῦν τίποτε περισσότερο. Νὰ ἐξετάζεις τὶς ἀνάγκες τους, νὰ τὰ ἐλέγχεις καὶ νὰ τὰ λές, 'Σκεφθεῖτε ὅτι δὲν εἶσθε δοῦλοι ἀλλὰ ἐλεύθεροι· πόση ἀμεριμνησία ἔχετε καὶ ἀνάπαυση περισσότερη ἀπὸ ἐκείνους ποὺ ἔχουν περιουσία;' Καὶ ἂν πεθάνει ἡ γερόντισσα, ἐλευθέρωσέ τα καὶ δῶσε τὴ διατροφή τους

94. Ματθ. 5,28.

τρίας, εἴτε ἐνταῦθα ἐν τῇ κώμῃ, εἴτε ὅπου θέλεις (οὐκ ἔστι γὰρ τοῦτο ὑπὸ νόμον), ἀπειλῶν αὐτοῖς ἀλλοτριώσουσι καὶ τῶν σῶν ἐναριθμήσουσι.

ΦϞS'

Ἐρώτησις

Ἐὰν φανῆταί μοι ὅτι χρεία παρασαλεῦσαί τινα τῶν διδομένων μοι παρ' ὑμῶν παραγγελιῶν, ποιήσω ἢ οὔ; εἰ δὲ οὐ χρή, καὶ ἡττηθῶ ὡς ἄνθρωπος, τί ποιήσω;

Ἀπόκρισις

Ἐὰν ἀπαιτῇ τὸ πρᾶγμα ἐν ἀληθείᾳ τὸ παρασαλεῦσαι μὴ κωλύσῃς, ἐὰν δὲ μὴ καὶ ἡττηθῇς ὡς ἄνθρωπος καὶ βλέπῃς ἐν τῷ πράγματι μικρὸν ὅτι χρεία ἦν, καὶ ὁ λογισμὸς οὐ δύναται κόψαι τὸ πᾶν, συγκατάβηθι τῷ λογισμῷ καὶ αἴτησαι παρὰ τοῦ Θεοῦ συγχώρησιν, καὶ παραφέρει. Οὐ μόνῳ δὲ ἐν τούτῳ, ἀλλὰ καὶ ἐν παντὶ πράγματι χρὴ βαστάζειν τὴν μέμψιν· ἐὰν γὰρ ποιήσῃς, φησίν, οὐρανὸν καινὸν καὶ γῆν καινήν, οὐ δύνασαι ἀμεριμνῆσαι.

ΦϞΖ'

Ἐρώτησις

Ἐὰν συνείδω ἐναλλάξαι τῆς ὡρισμένης ἐκ τοῦ μακαρίου τοῦ ἀββᾶ διατυπώσεως ἢ καὶ διορθώσασθαί τι ἐν τῇ μονῇ, κελεύεις ποιήσω ἢ οὔ;

Ἀπόκρισις

Εἴ τι φαίνεταί σοι ὅτι χρεία ἐναλλάξαι ἐν φόβῳ Θεοῦ, μὴ διακριθῇς, καὶ ὅσα χρῄζει διορθώσεως διορθωθῇ, μὴ ἐν πλατυσμῷ, ἀλλ' ὡς ἀπαιτεῖ ἡ χρεία· καὶ αὐτὸ μικρὸν ἐν στενώσει, ὡς ἐν παροικίᾳ· τὰ γὰρ τοῦ αἰῶνος τούτου

μὲ συμμετρία, εἴτε ἐδῶ στὴν κωμόπολη, εἴτε ὅπου θέλεις (διότι αὐτὸ δὲν ὑπόκειται σὲ νόμο), ἀπειλώντας τα ὅτι, ἂν θὰ τὰ πουλήσουν, νὰ ὑπολογίσουν καὶ τὰ δικά σου.

596

Ἐρώτηση

Ἐὰν μοῦ φανεῖ ὅτι εἶναι ἀνάγκη νὰ παραβιάσω κάποια ἀπὸ τὶς παραγγελίες ποὺ μοῦ δίνετε, νὰ τὸ κάνω ἢ ὄχι; ἂν ὅμως δὲν πρέπει, καὶ νικηθῶ σὰν ἄνθρωπος, τί νὰ κάνω;

Ἀπόκριση

Εὰν τὸ πρᾶγμα ἀπαιτεῖ ἀληθινὰ τὴν παραβίαση, νὰ μὴ τὴν ἐμποδίσεις· ἐὰν ὄχι, καὶ νικηθεῖς σὰν ἄνθρωπος καὶ βλέπεις στὸ πρᾶγμα ὅτι ὑπῆρχε κάποια ἀνάγκη, καὶ ὁ λογισμὸς δὲν μπορεῖ νὰ κόψει τὸ πᾶν, δεῖξε συγκατάβαση στὸν λογισμό, καὶ ζήτησε συγχώρηση ἀπὸ τὸν Θεὸ καὶ θὰ σοῦ τὴ δώσει. Καὶ ὄχι μόνο σ' αὐτό, ἀλλὰ καὶ σὲ κάθε πρᾶγμα πρέπει νὰ βαστάζεις τὴν κατηγορία· διότι λένε, ἀκόμη καὶ ἂν κάνεις καινούργιο οὐρανὸ καὶ κανούργια γῆ, δὲν μπορεῖς ν' ἀμεριμνήσεις.

597

Ἐρώτηση

Ἐὰν θελήσω ἀπὸ ἀνάγκη ν' ἀλλάξω τὸν ὁρισμένο κανονισμὸ ἀπὸ τὸν μακάριο ἀββᾶ ἢ νὰ διορθώσω κάτι στὸ μοναστήρι, διατάζεις νὰ τὸ κάνω ἢ ὄχι;

Ἀπόκριση

Αν σοῦ φαίνεται ὅτι εἶναι ἀνάγκη νὰ ἀλλάξεις κάτι μὲ φόβο Θεοῦ, νὰ μὴ διστάσεις. Καὶ νὰ διορθωθοῦν ὅσα χρειάζονται διόρθωση, ὄχι γενικά, ἀλλὰ ὅπως ἀπαιτεῖ ἡ ἀνάγκη, καὶ αὐτὸ λίγο μὲ στένωση, μὲ τὴ σκέψη ὅτι αὐτὰ εἶ-

σκηνή ἐστιν. Ὅτε βλέπεις τὸν λογισμὸν ζητοῦντα ποιῆσαί τι πρᾶγμα, εἰπὲ αὐτῷ· 'Διατί θέλεις ποιῆσαι;' Καὶ εἰ μέν ἐστι τὸ πρᾶγμα χρείας οὔσης ἀναγκαίας, γενέσθω, εἰ δὲ οὐκ ἔστιν ἀνάγκη, εἰπὲ τῷ λογισμῷ, 'Τί ὠφελῇ ἐκ τούτου;' Ἐὰν δὲ ᾖ σαρκικὸς λογισμός, καταφρόνησον αὐτοῦ, ἐὰν δὲ πάνυ ὀχλύσῃ σοι, μὴ ἀποκριθῇς αὐτῷ, ἀλλὰ πρόσφυγε τῷ Θεῷ.

ΦϞΗ'

Αἴτησις

Ἐπειδὴ προεμήνυσας, δέσποτα, ἡμῖν περὶ τῆς ὑμῶν τελευτῆς καὶ εἰμὶ ἐν φόβῳ καὶ λύπῃ, μὴ διὰ τὴν ἀναξιότητά μου ἐγκαταλειφθῶμεν παρὰ τοῦ Θεοῦ, δός μοι λόγον παρακαλῶ, ὅτι, ὥσπερ βοηθούμεθα ἐν τῇ ζωῇ ὑμῶν, οὕτω μέλλομεν βοηθεῖσθαι καὶ μετὰ τὴν ὑμῶν πρὸς Θεὸν ἀναχώρησιν, καὶ ἵνα συνεργῇ ἡμῖν ὁ Θεὸς ἐν πᾶσι κατὰ τὸ αὐτοῦ ἔλεος.

Ἀπόκρισις

Ο *Θεὸς ἅπαξ εἶπεν, «οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλείπω», καὶ πιστεύομεν εἰς τὸν Θεόν ὅτι καὶ περισσὸν οὗ ἦμεν μεθ' ὑμῶν, ποιεῖ· κἂν οὖν εἴπῃς κἂν μὴ εἴπῃς, πλέον οὐ ζητεῖς, αὐτὸς συνεργεῖ μεθ' ὑμῶν, καθὼς εἶπεν ὁ Ἀπόστολος ὅτι, «τί προσεύξασθαι καθ' ὃ δεῖ οὐκ οἴδαμεν». Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ κατελθὼν διὰ τὴν σωτηρίαν*

---

95. Ὁ ἀββᾶς Ἰωάννης εἶχε δηλώσει ὅτι θὰ πέθαινε στὰ ἕβδομα τοῦ ἀββᾶ Σέριδου, ἡγουμένου τῆς Μονῆς. Ὁ διάδοχος αὐτοῦ Αἰλιανὸς παρακάλεσε νὰ μείνει στὴ ζωὴ ἄλλες δύο ἑβδομάδες, γιὰ νὰ τοῦ δώσει ὁδηγίες γιὰ τὴ διοίκηση τῆς Μονῆς καὶ ἔμεινε.

ναι παροικία· διότι τὰ πράγματα αὐτοῦ τοῦ αἰώνα εἶναι σκηνή. Ὅταν βλέπεις τὸν λογισμὸ νὰ ζητᾶ νὰ κάνει κάποιο πρᾶγμα, πές του· 'Γιατί θέλεις νὰ τὸ κάνω;' Καὶ ἂν ὑπάρχει μεγάλη ἀνάγκη γιὰ τὸ πρᾶγμα, ἂς γίνει, ἂν ὅμως δὲν ὑπάρχει ἀνάγκη, πὲς στὸν λογισμό· 'Τί ὠφελεῖσαι ἀπὸ αὐτό;' Ἂν ὅμως εἶναι σαρκικὸς λογισμός, περιφρόνησέ τον· ἂν πάλι σὲ ἐνοχλήσει πολύ, νὰ μὴ τοῦ ἀπαντήσεις, ἀλλὰ νὰ καταφύγεις στὸν Θεό.

598

Αἴτηση

Ἐπειδή, δέσποτα, μᾶς προμήνυσες γιὰ τὸ θάνατό σας[95] καὶ εἶμαι κυριευμένος ἀπὸ φόβο καὶ λύπη, μήπως ἐγκαταλειφθοῦμε ἀπὸ τὸν Θεὸ ἐξαιτίας τῆς ἀναξιότητάς μου, σὲ παρακαλῶ νὰ μοῦ δώσεις ὑπόσχεση ὅτι, ὅπως βοηθούμαστε ὅσο βρίσκεσθε στὴ ζωή, ἔτσι νὰ βοηθηθοῦμε καὶ μετὰ τὴν ἀναχώρησή σας πρὸς τὸν Θεό, καὶ νὰ συνεργήσει μὲ μᾶς ὁ Θεὸς σὲ ὅλα σύμφωνα μὲ τὸ ἔλεός του.

Ἀπόκριση

Ο Θεὸς μία φορὰ εἶπε, «δὲν θὰ σὲ στενοχωρήσω, οὔτε θὰ σὲ ἐγκαταλείψω»[96], καὶ πιστεύομε στὸν Θεὸ ὅτι θὰ κάνει καὶ περισσότερα ἀπὸ ὅσα ὅταν ἤμαστε μαζί σας. Εἴτε λοιπὸν πεῖς εἴτε δὲν πεῖς, αὐτὸς θὰ συνενεργήσει μὲ σᾶς περισσότερο ἀπ' ὅσο ζητᾶς, διότι ὅπως εἶπε ὁ Ἀπόστολος, «ἐμεῖς δὲν γνωρίζομε πῶς νὰ προσευχηθοῦμε σύμφωνα μὲ τὸ πρέπον»[97]. Ὁ Κύριός μας Ἰησοῦς Χριστός, ὁ ὁποῖος κατέβηκε ἀπὸ τὸν πατρικὸ θρόνο γιὰ τὴ σωτηρία μας, αὐτὸς εἴθε νὰ σᾶς

96. Γεν. 28,15.
97. Ρωμ. 8,26.

ἡμῶν ἐκ τοῦ πατρικοῦ θρόνου, αὐτὸς καὶ σώσοι καὶ ἀποκαταστήσοι καὶ φυλάξοι ἐκ τοῦ πονηροῦ, ὑμῶν συνεργούντων, εὐχαῖς ἁγίων. Ἀμήν.

ΦϞΘ'

Ἐρώτησις

Τινὲς τοῦ κοινοβίου γέροντες ἠρώτησαν τὸν αὐτὸν γέροντα.

Παρακαλοῦμεν, ἵνα ἡμῖν εἴπῃς, δέσποτα, διατί μεθ' ὃ ἐπηγγείλασθε ἡμῖν, ὅτι δυσωπεῖτε τὸν Δεσπότην Θεὸν ἀφεῖναι μεθ' ὑμᾶς τὸν μακάριον τὸν ἀββᾶν, πάλιν ἔλαβε πρὸ ὑμῶν, ὁ ἀεὶ ποιῶν τὸ θέλημα τῶν φοβουμένων αὐτόν; Καὶ τοῦτο δέ, πάτερ, δίδαξον ἡμᾶς· διατί ἔστιν ὅτε κρύπτει ὁ Θεὸς πράγματα ἀπὸ τῶν ἁγίων, ὡς ἐπὶ τοῦ προφήτου Ἐλισσαίου; καὶ τίνος χάριν ἀνῆλθε τὰ ἀνθράκια εἰς τὸν ἀββᾶν, ὅτι ἔμελλε τελευτᾶν;

Ἀπόκρισις

Καθὼς εἶπε τῷ ἀββᾷ Ἀντωνίῳ, ὅτι ταῦτα κρίματα Θεοῦ εἰσι καὶ οὐ δύνῃ αὐτὰ μαθεῖν· τοῦτό ἐστι. Περὶ δὲ τῶν ἀνθρακίων καὶ τῆς ἀλλοιώσεως, ἅπαξ ὑπὲρ τὸ μέτρον ἔλαβεν ὁ ἀββᾶς δόξαν ὑπὸ τῶν ἀνθρώπων καὶ τοῦ Θεοῦ· ἵνα οὖν μὴ θεοποιῶσιν αὐτὸν οἱ ἄνθρωποι. Καὶ γὰρ ἐν ἀληθείᾳ Πνεύματος ἁγίου καὶ τελειότητος ἦν μέτοχος· ἔσβεσεν οὖν ὁ Θεὸς διὰ τῆς προφάσεως ταύτης τὴν δόξαν τῶν ἀνθρώπων, ἵνα τελείως ὑπερπερισσεύσῃ ἡ δόξα τοῦ Θεοῦ. Οὐδὲ γὰρ ἔτι ἠδύνατο τοιούτου μέτρου ὤν, φροντίζειν τὰ γήϊνα, καὶ εἰς μέσον ἀνθρώπων, οὐκ ἠδύνατο εὐλυτῶσαι, καὶ διὰ τοῦτο ἔλαβεν αὐτὸν ὁ Θεός. Περὶ γὰρ ἡμῶν προσεδοκήσαμεν ὅτι γίνεται, καθὼς ἐλο-

98. Ἐννοεῖ τὸν ἀββᾶ Σέριδο.

σώσει καὶ νὰ σᾶς ἀποκαταστήσει καὶ νὰ σᾶς φυλάξει ἀπὸ τὸν πονηρό, ἐνῶ ἐσεῖς θὰ συνενεργεῖτε μὲ τὶς προσευχὲς τῶν ἁγίων. Γένοιτο.

599

Ἐρώτηση

Μερικοὶ γέροντες τοῦ κοινοβίου ἐρώτησαν τὸν ἴδιο γέροντα.

Σὲ παρακαλοῦμε, δέσποτα, νὰ μᾶς πεῖς, γιατί μετὰ ἀπὸ αὐτὸ ποὺ μᾶς ὑποσχεθήκατε ὅτι παρακαλεῖτε τὸν Δεσπότη Θεὸ ν' ἀφήσει μετὰ ἀπὸ σᾶς τὸν μακάριο ἀββᾶ[98], πάλι τὸν πῆρε πρὶν ἀπὸ σᾶς, αὐτὸς ποὺ πάντα κάνει τὸ θέλημα ἐκείνων ποὺ τὸν φοβοῦνται; Ἐπίσης δίδαξέ μας, πάτερ, καὶ αὐτό· γιατί συμβαίνει κάποτε ὁ Θεὸς νὰ κρύβει πράγματα ἀπὸ τοὺς ἁγίους, ὅπως στὴν περίπτωση τοῦ προφήτη Ἐλισσαίου; Καὶ γιὰ ποιό λόγο ἔπιασε τὸν ἀββᾶ ἡ ἀρρώστια τοῦ ἄνθρακα, ὥστε νὰ πεθάνει;

Ἀπόκριση

Ὅπως εἶπε στὸν ἀββὰ Ἀντώνιο, ὅτι αὐτὰ εἶναι ἀποφάσεις τοῦ Θεοῦ καὶ δὲν μπορεῖς νὰ τὶς μάθεις· αὐτὸ εἶναι ὁ λόγος. Ὅσο γιὰ τὴν ἀρρώστια τοῦ ἄνθρακα καὶ τὴν ἀλλοίωση ὁ λόγος εἶναι ὅτι ὁ ἀββᾶς ἔλαβε δόξα ἀπὸ τοὺς ἀνθρώπους καὶ ἀπὸ τὸν Θεὸ παραπάνω ἀπὸ τὸ μέτρο, καὶ γι' αὐτὸ τὸν ἔπιασε ἡ ἀρρώστια, γιὰ νὰ μὴ τὸν θεοποιήσουν οἱ ἄνθρωποι. Διότι πραγματικὰ ἦταν μέτοχος τοῦ ἁγίου Πνεύματος καὶ τῆς τελειότητας. Ἔσβησε λοιπὸν ὁ Θεὸς μ' αὐτὴν τὴν πρόφαση τὴ δόξα τῶν ἀνθρώπων, γιὰ νὰ ὑπερπερισσεύσει τελείως ἡ δόξα τοῦ Θεοῦ. Ἄλλωστε, ἀφοῦ εἶχε φθάσει σὲ τέτοιο μέτρο, δὲν μποροῦσε πιὰ νὰ φροντίζει τὰ γήινα, καὶ βρισκόμενος ἀνάμεσα στοὺς ἀνθρώπους δὲν μποροῦσε νὰ γλιτώσει· γι' αὐτὸ λοιπὸν τὸν πῆρε ὁ Θεός. Περιμέναμε δηλαδὴ νὰ γίνει γιὰ μᾶς ὅπως

γιζόμεθα, καὶ ἐγένετο κατὰ τὸ θέλημα τοῦ Θεοῦ τοῦ ὑπερέχοντος τῇ προνοίᾳ τῆς σωτηρίας. Λοιπὸν οὐκ ἔστιν ἀνθρώπου τὸ ἐκζητεῖν τὰ ἀκατάληπτα, ἀλλὰ πᾶσαν ἔννοιαν καὶ πᾶν ἔργον ἀγαθὸν ἐπιρρίπτειν τῷ ἐξουσίαν ἔχοντι, ἵνα κατὰ τὸ θέλημα αὐτοῦ γένηται. Ὁ Κύριος Ἰησοῦς Χριστὸς πληροφορήσαι ὑμᾶς καὶ ἀπορρίψαι ὑμῶν πᾶσαν διψυχίαν καὶ κακίαν πονηρίας. Ἐρρῶσθε ὑμᾶς εὔχομαι ἐν Κυρίῳ. Ἀμήν.

Εὔξασθε ὑπὲρ ἐμοῦ, ἵνα κἀγὼ εὕρω ἔλεος καὶ σωθῶ ἀπὸ τῆς ψευδογνωσίας καὶ τῆς ἀφροσύνης, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Χ'

Ἐρώτησις

Ἀδελφὸς ἠρώτησε τὸν ἅγιον Γέροντα τὸν ἀββᾶν Βαρσανούφιον λέγων.

Οὐκ οἶδα, πάτερ, πῶς ἐνέπεσον εἰς τὰ βιβλία Ὠριγένους καὶ Διδύμου καὶ εἰς τὰ γνωστικὰ Εὐαγρίου καὶ εἰς τὰ τῶν μαθητῶν αὐτοῦ, καὶ λέγουσιν ὅτι οὐκ ἐδημιουργήθησαν αἱ τῶν ἀνθρώπων ψυχαὶ μετὰ τῶν σωμάτων, ἀλλὰ προϋπῆρχον αὐτῶν νόες γυμνοὶ οὖσαι, τουτέστιν ἀσώματοι. Ὁμοίως καὶ οἱ ἄγγελοι νόες γυμνοὶ ἦσαν καὶ οἱ δαίμονες νόες γυμνοί. Καὶ οἱ μὲν ἄνθρωποι, παραβάντες, κατεδικάσθησαν εἰς τὸ σῶμα τοῦτο, οἱ δὲ ἄγγελοι, τηρήσαντες ἑαυτούς, γεγόνασιν ἄγγελοι, καὶ ὅσα ἄλλα λέγουσι τοιαῦτα. Καὶ πάλιν ὅτι δεῖ τὴν μέλλουσαν κόλασιν τέλος λαβεῖν καὶ ἔχουσιν οἱ ἄνθρωποι καὶ οἱ ἄγγελοι καὶ οἱ δαίμονες

σκεπτόμασταν, καὶ ἔγινε κατὰ τὸ θέλημα τοῦ Θεοῦ, ποὺ ὑπερέχει ὡς πρὸς τὴν πρόνοια τῆς σωτηρίας[99]. Λοιπὸν δὲν ἀνήκει στὴν ἱκανότητα τοῦ ἀνθρώπου νὰ ζητεῖ νὰ μάθει τὰ ἀκατάληπτα, ἀλλὰ νὰ ἀναθέτει κάθε ἔννοια καὶ κάθε ἀγαθὸ ἔργο σ' Ἐκεῖνον ποὺ ἔχει ἐξουσία, ὥστε νὰ γίνει κατὰ τὸ θέλημά του. Ὁ Κύριος Ἰησοῦς Χριστὸς εἴθε νὰ σᾶς πληροφορήσει καὶ νὰ ἀπομακρύνει ἀπὸ σᾶς κάθε διψυχία καὶ κακία πονηρίας. Εὔχομαι στὸ ὄνομα τοῦ Κυρίου νὰ εἶσθε ὑγιεῖς. Γένοιτο.

Προσευχηθεῖτε γιὰ μένα γιὰ νὰ βρῶ καὶ ἐγὼ ἔλεος καὶ νὰ σωθῶ ἀπὸ τὴν ψευδογνωσία καὶ τὴν ἀφροσύνη, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

600

Ἐρώτηση

Ἀδελφὸς ἐρώτησε τὸν ἅγιο γέροντα, τὸν ἀββᾶ Βαρσανούφιο, λέγοντας.

> Δὲν γνωρίζω, πάτερ, πῶς ἔπεσα μέσα στὰ βιβλία τοῦ Ὠριγένη καὶ τοῦ Διδύμου καὶ στὰ γνωστικὰ τοῦ Εὐαγρίου καὶ στὰ τῶν μαθητῶν του. Αὐτοὶ λένε ὅτι οἱ ψυχὲς τῶν ἀνθρώπων δὲν δημιουργήθηκαν μὲ τὰ σώματα, ἀλλὰ προϋπῆρχαν αὐτῶν καὶ ἦταν γυμνοὶ νόες, δηλαδὴ ἀσώματες. Παρόμοια καὶ οἱ ἄγγελοι ἦταν γυμνοὶ νόες καὶ οἱ δαίμονες γυμνοὶ νόες. Οἱ ἄνθρωποι ἐπειδὴ ἔκαναν παράβαση, καταδικάσθηκαν σ' αὐτὸ τὸ σῶμα, ἐνῶ οἱ ἄγγελοι, ἐπειδὴ πρόσεξαν τοὺς ἑαυτούς τους, ἔγιναν ἄγγελοι, καὶ ὅσα ἄλλα παρόμοια λένε. Καὶ ἐπίσης ὅτι πρόκειται ἡ μέλλουσα κόλαση νὰ λάβει τέλος καὶ πρόκειται οἱ ἄνθρωποι καὶ οἱ ἄγγελοι καὶ οἱ δαίμονες νὰ ἐπανέλθουν στὴν κατά-

99. Δηλαδὴ ἐμεῖς περιμέναμε νὰ γίνει τὸ δικό μας θέλημα, νὰ μείνει στὴ ζωὴ ὁ ἀββᾶς, ἀλλ' ἔγινε τὸ θέλημα τοῦ Θεοῦ.

ἐπανελθεῖν ὡς ὑπῆρχον νόες γυμνοί, ὃ λέγουσιν ἀποκατάστασιν.

Ἐπεὶ οὖν θλίβεται ἡ ψυχή μου ἐμπεσοῦσα εἰς διψυχίαν, εἰ ἀληθῆ ταῦτά εἰσιν ἢ οὔ, δέομαί σου, δέσποτα, δίδαξόν με τὴν ἀλήθειαν, ἵνα οὕτω κρατήσω καὶ μὴ ἀπόλωμαι· καὶ γὰρ οὐδὲν τούτων εἴρηται ἐν τῇ θείᾳ Γραφῇ· ὥσπερ καὶ αὐτὸς Ὠριγένης διαβεβαιοῦται ἐν τῷ αὐτοῦ ἐξηγητικῷ τῆς πρὸς Τίτον ἐπιστολῆς, μὴ εἶναι τῶν Ἀποστόλων μηδὲ τῆς Ἐκκλησίας παράδοσιν, τὸ εἶναι πρεσβυτέραν τὴν ψυχὴν τῆς τοῦ σώματος κατασκευῆς, ὡς αἱρετικὸν χαρακτηρίζων τὸν ταῦτα λέγοντα. Ἀλλὰ καὶ Εὐάγριος μαρτυρεῖ ἐν τοῖς Γνωστικοῖς αὐτοῦ κεφαλαίοις, ὅτι περὶ τούτων οὐδεὶς ἐμήνυσεν, οὐδὲ αὐτὸ τὸ Πνεῦμα ἐξηγήσατο. Ἔχει γὰρ ἐν τῷ ξδʹ κεφαλαίῳ τῆς δευτέρας ἑκατοντάδος τῶν αὐτοῦ Γνωστικῶν, περὶ δὲ τῶν προτέρων, ὁ μηνύσων οὐδείς, περὶ δὲ τῶν δευτέρων, ὁ ἐν Χωρὴβ ἐξηγήσατο. Καὶ πάλιν ἐν τῷ ξθʹ κεφαλαίῳ τῆς αὐτῆς ἑκατοντάδος οὕτω φησίν, ὅτι 'Τὸ Πνεῦμα τὸ ἅγιον οὐ τὴν πρώτην τῶν λογικῶν διαίρεσιν, οὐδὲ τὴν πρώτην τῶν σωμάτων οὐσίαν ἐξηγήσατο'. Περὶ δὲ τοῦ μὴ εἶναι ἀποκατάστασιν μηδὲ τέλος κολάσεως, αὐτὸς ὁ Κύριος ἐφανέρωσεν ἐν τῷ Εὐαγγελίῳ, εἰπών, «ἀπελεύσονται εἰς κόλασιν αἰώνιον», καὶ πάλιν, «ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται».

Πόθεν οὖν, δέσποτα, μηδὲ τῶν Ἀποστόλων παραδεδωκότων, μηδὲ τοῦ ἁγίου Πνεύματος ἐξηγησαμένου, καθὼς αὐτοὶ ἐμαρτύρησαν καὶ τῶν Εὐαγγελίων ἐναντίως ἐχόντων, ταῦτα ἐξέθεντο; Ποίησον οὖν ἔλεος εὐσπλαγχνίας, πάτερ, μετὰ τῆς ἀσθενείας μου καὶ φανέρωσόν μοι τί εἰσι τὰ δόγματα ταῦτα.

1. Αὐτὴ ἡ ἐρώτηση ἀνταποκρίνεται στὰ χρόνια τοῦ Ἰουστινιανοῦ, ποὺ εἶχαν ἀνακινηθεῖ οἱ ὠριγενιστικὲς ἀπόψεις στὴν Παλαιστίνη.

σταση ἐκείνη ὅπως ὅταν ἦταν γυμνοὶ νόες, πρᾶγμα ποὺ τὸ ὀνομάζουν ἀποκατάσταση[1].

Ἐπειδὴ λοιπὸν θλίβεται ἡ ψυχή μου ποὺ ἔπεσε σὲ διψυχία, ἂν εἶναι ἀληθινὰ αὐτὰ ἢ ὄχι, σὲ παρακαλῶ, δέσποτα, δίδαξέ με τὴν ἀλήθεια, γιὰ νὰ κρατηθῶ ἔτσι καὶ νὰ μὴ χαθῶ· διότι τίποτε ἀπὸ αὐτὰ δὲν ἔχει λεχθεῖ στὴ θεία Γραφή· ὅπως ἀκριβῶς καὶ ὁ ἴδιος ὁ Ὠριγένης διαβεβαιώνει στὴ δική του ἑρμηνεία τῆς πρὸς Τίτον ἐπιστολῆς, ὅτι δὲν εἶναι διδασκαλία τῶν Ἀποστόλων οὔτε παράδοση τῆς Ἐκκλησίας, ὅτι ἡ ψυχὴ εἶναι παλαιότερη τῆς κατασκευῆς τοῦ σώματος, χαρακτηρίζοντας σὰν αἱρετικὸ ἐκεῖνον ποὺ τὰ λέγει αὐτά. Ἀλλὰ καὶ ὁ Εὐάγριος μαρτυρεῖ στὰ Γνωστικά του κεφάλαια, ὅτι γι' αὐτὰ δὲν ἔδωσε πληροφορία κανένας, οὔτε τὸ ἴδιο τὸ Πνεῦμα τὰ ἐξήγησε· διότι λέγει στὸ 64 κεφάλαιο τῆς δεύτερης ἑκατοντάδας τῶν Γνωστικῶν του, ὅτι γιὰ τὰ προηγούμενα κανένας δὲν πληροφόρησε, ἐνῶ τὰ δεύτερα τὰ ἐξήγησε ὁ Κύριος στὸν Χωρήβ. Καὶ πάλι στὸ 69 κεφάλαιο τῆς ἴδιας ἑκατοντάδας λέγει τὰ ἑξῆς, ὅτι τὸ ἅγιο Πνεῦμα δὲν ἐξήγησε οὔτε τὴν πρώτη διαίρεση τῶν λογικῶν ὄντων, οὔτε τὴν πρώτη οὐσία τῶν σωμάτων. Σχετικὰ μὲ τὸ ὅτι δὲν ὑπάρχει ἀποκατάσταση οὔτε τέλος κολάσεως, τὸ φανέρωσε ὁ ἴδιος ὁ Κύριος στὸ Εὐαγγέλιο, λέγοντας, ὅτι «θὰ ὁδηγηθοῦν στὴν αἰώνια κόλαση»[2]· καὶ πάλι, «τὸ σκουλήκι αὐτῶν δὲν πεθαίνει καὶ ἡ φωτιὰ δὲν σβήνει»[3].

Ἀπὸ ποῦ λοιπόν, δέσποτα, ἐξέθεσαν αὐτά, ἀφοῦ οὔτε οἱ Ἀπόστολοι δὲν τὰ ἔχουν παραδώσει, οὔτε τὸ ἅγιο Πνεῦμα τὰ ἐξήγησε, ὅπως οἱ ἴδιοι μαρτύρησαν, καὶ τὰ Εὐαγγέλια διδάσκουν ἀντίθετα; Δεῖξε λοιπόν, πάτερ, ἔλεος εὐσπλαγχνίας στὴν ἀσθένειά μου καὶ φανέρωσέ μου τί εἶναι αὐτὰ τὰ δόγματα.

---

2. Ματθ. 25,46.
3. Μάρκ. 9,48.

Ἀπόκρισις

Αδελφέ, οὐαὶ καὶ ἀλαλαὶ τῷ γένει ἡμῶν! τί ἀφήκαμεν καὶ τί ἐρευνῶμεν καὶ εἰς ποῖα σπουδάζομεν, εἰς ποῖα ἀμβλυνόμεθα! τὰς εὐθείας ὁδοὺς ἀφήκαμεν καὶ τὰς σκολιὰς θέλομεν βαδίσαι, ἵνα πληρωθῇ εἰς ἡμᾶς ὁ γραφικὸς λόγος, τὸ «οὐαὶ τοῖς καταλιποῦσι τὰς εὐθείας ὁδοὺς τοῦ πορευθῆναι εἰς ὁδοὺς σκολιάς». Μετὰ ἀληθείας, ἀδελφέ, ἀφῆκέ μου τὸ πένθος καὶ πενθῶ σε ποῦ ἐνέπεσας, καὶ τὸν κλαυθμὸν τῶν ἁμαρτιῶν μου καὶ κλαίω σε ὡς ἴδιον τέκνον. Οὐρανοὶ φρίττουσι, τί πολυπραγμονοῦσιν ἄνθρωποι· ἡ γῆ σείεται, πῶς ἐξιχνιάσαι θέλουσι τὰ ἀκατάληπτα. Ταῦτα Ἑλλήνων εἰσὶ δόγματα· ταῦτα ματαιολογίαι εἰσὶν ἀνθρώπων, οἰομένων τι εἶναι· ταῦτα τὰ ῥήματά εἰσιν ἀργῶν ἀνθρώπων· ταῦτα ἐγένησεν ἡ πλάνη· φησὶ γὰρ «φάσκοντες εἶναι σοφοί, ἐμωράνθησαν».

Καὶ εἰ θέλεις μαθεῖν, πρόσχες· λέγει ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὸ φῶς ἡμῶν, ὁ βασιλεὺς ἡμῶν, «ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς». Ποίους οὖν καρποὺς ἔχουσι; Φυσίωσιν, ἐξουδένωσιν, χαύνωσιν, ἀμέλειαν, πρόσκομμα, ἀλλοτρίωσιν νόμου, μᾶλλον δὲ τοῦ νομοθέτου Θεοῦ, οἰκητήριον δαιμόνων καὶ τοῦ ἄρχοντος αὐτῶν διαβόλου. Ταῦτα οὐκ ἄγουσιν εἰς φῶς τοὺς αὐτοῖς πιστεύοντας, ἀλλ' εἰς τὸ σκότος· ταῦτα εἰς φόβον Θεοῦ οὐ προτρέπουσιν, ἀλλ' εἰς προκοπὴν μᾶλλον τὴν κατὰ διάβολον. Ταῦτα ἀπὸ τοῦ βορβόρου οὐκ ἀνασπῶσιν, ἀλλ' εἰς βόρβορον καταποντίζουσι· ταῦτά εἰσι τὰ ζιζάνια ἃ ἔσπειρεν ὁ ἐχθρὸς ἐν τῷ ἀγρῷ τοῦ οἰκοδεσπότου· αὗταί εἰσιν αἱ ἄκανθαι αἱ ἀναφυεῖσαι ἐν τῇ γῇ τῇ κατηραμένῃ ὑπὸ τοῦ Δεσπότου Θεοῦ, πάντα ψεῦδος, ὅλα σκότος, ὅλα πλάνη, ὅλα ἀλλοτρίωσις Θεοῦ. Φεῦγε αὐτά, ἀδελφέ, μὴ βεβαιωθῇ ὁ λόγος αὐτῶν ἐν τῇ καρδίᾳ σου· ξηραίνουσι δάκρυα, τυφλοῦσι τὴν καρδίαν καὶ ἀπαξαπλῶς

4. Παρμ. 28,18.

Ἀπόκριση

Ἀδελφέ, οὐαὶ καὶ ἀλλοίμονο στὸ γένος μας! τί ἀφήσαμε καὶ τί ἐρευνᾶμε! ποιά μελετοῦμε καὶ γιὰ ποιά ἀδιαφοροῦμε! Ἀφήσαμε τοὺς εὐθεῖς δρόμους καὶ θέλομε νὰ βαδίσομε τοὺς στραβούς, ὥστε νὰ πραγματοποιηθεῖ σὲ μᾶς ὁ γραφικὸς λόγος, «ἀλλοίμονο σ' αὐτοὺς ποὺ ἐγκατέλειψαν τοὺς ἴσιους δρόμους γιὰ νὰ βαδίσουν σὲ στραβοὺς δρόμους»[4]. Εἰλικρινά, ἀδελφέ, μὲ ἄφησε τὸ πένθος μου καὶ πενθῶ ἐσένα ποῦ ἔπεσες· ἄφησα τὸν κλαυθμὸ γιὰ τὶς ἁμαρτίες μου καὶ κλαίω ἐσένα σὰν τέκνο μου. Οἱ οὐρανοὶ φρίττουν μ' αὐτὸ ποὺ πολυπραγμονοῦν οἱ ἄνθρωποι· ἡ γῆ σείεται μὲ τὴ θέλησή τους νὰ ἐξιχνιάσουν τὰ ἀκατάληπτα. Αὐτὰ εἶναι δόγματα τῶν Ἑλλήνων, αὐτὰ εἶναι ματαιολογίες ἀνθρώπων, ποὺ νομίζουν ὅτι εἶναι κάτι· αὐτὰ εἶναι λόγια ἀργῶν ἀνθρώπων· αὐτὰ τὰ γέννησε ἡ πλάνη· διότι ὁ ἀπόστολος λέγει· «ἰσχυριζόμενοι ὅτι εἶναι σοφοί, μωράνθηκαν»[5].

Ἂν λοιπὸν θέλεις νὰ μάθεις, πρόσεχε· ὁ Κύριός μας Ἰησοῦς Χριστός, τὸ φῶς μας, ὁ βασιλιάς μας, λέγει· «αὐτοὺς θὰ τοὺς γνωρίσετε ἀπὸ τοὺς καρπούς τους»[6]. Ποιούς καρποὺς ἔχουν λοιπόν; Ἔπαρση, ἐξουθένωση, ἀποχαύνωση, ἀμέλεια, αὐθάδεια, ἀλλοτρίωση νόμου ἢ καλύτερα ἀλλοτρίωση τοῦ νομοθέτη Θεοῦ, κατοικητήριο δαιμόνων καὶ τοῦ ἄρχοντά τους διαβόλου. Αὐτὰ δὲν ὁδηγοῦν στὸ φῶς ἐκείνους ποὺ τοὺς πιστεύουν, ἀλλὰ στὸ σκοτάδι· αὐτὰ δὲν προτρέπουν σὲ φόβο Θεοῦ, ἀλλὰ μᾶλλον σὲ προκοπὴ ποὺ εἶναι ἐπιθυμητὴ στὸν διάβολο. Αὐτὰ δὲν ἀποσποῦν ἀπὸ τὸν βόρβορο, ἀλλὰ καταποντίζουν στὸν βόρβορο· αὐτὰ εἶναι τὰ ζιζάνια ποὺ ἔσπειρε ὁ ἐχθρὸς στὸ χωράφι τοῦ οἰκοδεσπότη· αὐτὰ εἶναι τὰ ἀκάνθια ποὺ φυτρώνουν στὴ γῆ ποὺ εἶναι καταραμένη ἀπὸ τὸν Δεσπότη Θεό. Ὅλα εἶναι ψεῦδος, ὅλα σκότος, ὅλα πλάνη, ὅλα ἀποξένωση ἀπὸ τὸν Θεό. Ἀπόφευγέ τα, ἀδελφέ, γιὰ νὰ μὴ στερεωθεῖ ὁ λόγος τους στὴν καρδιά σου· ξηραίνουν τὰ δάκρυα, τυφλώνουν

5. Ρωμ. 1,22.
6. Ματθ. 7,16.

ἀπολλύουσι τοὺς προσέχοντας αὐτοῖς ἀνθρώπους. Μὴ στῇς ἐν αὐτοῖς, μὴ μελετήσῃς αὐτά, πικρίας γέμουσι καὶ τελεσφοροῦσι καρπὸν εἰς θάνατον.

Περὶ δὲ τῆς γνώσεως τῶν μελλόντων μὴ πλανηθῇς· ἃ σπείρῃς ἐνταῦθα, θερίζεις ἐκεῖ· οὐκ ἔνι μετὰ τὴν ἄφιξιν τῶν ὧδε προκόψαι τινά· οὐ κοπιᾷ ὁ Θεὸς συγκτίσαι ἀνθρώπῳ καὶ τὴν αὐτοῦ ψυχήν.

Περὶ δὲ τῶν οὐρανίων ταγμάτων ἐπιστομίζει ἡ θεία Γραφὴ πάντα λέγουσα, ὅτι «εἶπε καὶ ἐγενήθησαν, ἐνετείλατο καὶ ἐκτίσθησαν· ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος» καὶ ἃ ἔστησεν ὁ Θεὸς ἀλλοιοῦνται; οὐ γάρ ἐστι παρ' αὐτῷ ἀλλοίωσις, κατὰ τὴν Γραφήν. Ποῦ γὰρ εὗρες ὅτι σπουδῇ τοῦδε τοῦ ἀγγέλου ἤγαγεν αὐτὸν εἰς προκοπήν;

Ἀδελφέ, ὧδε ἔργασις, ἐκεῖ μισθός· ὧδε ἄθλησις, ἐκεῖ στέφανοι. Ἀδελφέ, εἰ σωθῆναι θέλεις, μὴ βάλῃς σεαυτὸν εἰς ταῦτα· ἐπεὶ μαρτύρομαί σοι ἐνώπιον Θεοῦ, ὅτι εἰς βόθυνον ἐνέπεσας τοῦ διαβόλου καὶ εἰς τὸν ἔσχατον θάνατον. Λοιπὸν ἀπόστα τούτων καὶ ἰχνηλάτησον τοὺς πατέρας· κτῆσαι σεαυτῷ τὴν ταπείνωσιν καὶ τὴν ὑπακοήν, τὸν κλαυθμόν, τὴν ἄσκησιν, τὴν ἀκτημοσύνην, τὸ ἀψήφιστον καὶ ὅσα τοιαῦτά εἰσι.καὶ εὑρίσκεις εἰς τὰ ῥήματα αὐτῶν καὶ τοὺς βίους. Ποίησον δὲ καρποὺς ἀξίους τῆς μετανοίας καὶ μὴ προσχῇς ἐμοὶ τῷ λέγοντι καὶ μὴ ποιοῦντι, ἀλλ' εὖξαι ἵνα κἀγὼ ἔλθω ποτὲ εἰς ἐπίγνωσιν τῆς ἀληθείας, εἰς δόξαν τῆς ἁγίας Τριάδος, νῦν καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΧΑ'

Ἐρώτησις

Ὁ αὐτὸς ἀδελφὸς ἠρώτησε τὸν ἄλλον γέροντα, τὸν ἀββᾶν Ἰωάννην.

---

7. Ψαλμ. 32,9.
8. Ἐννοεῖται ὅτι τὸν ἐρώτησε γιὰ τὸ ἴδιο θέμα, ὅπως φαίνεται ἀπὸ τὴν

τὴν καρδιὰ καὶ γενικὰ καταστρέφουν τοὺς ἀνθρώπους ποὺ τὰ προσέχουν. Μὴ παραμείνεις σ' αὐτά, μὴ τὰ μελετήσεις, εἶναι γεμᾶτα πίκρα καὶ παράγουν καρπὸ ποὺ ὁδηγεῖ στὸ θάνατο.

Ὅσο γιὰ τὴ γνώση τῶν μελλόντων μὴ πλανηθεῖς. Αὐτὰ ποὺ θὰ σπείρεις ἐδῶ, θὰ θερίσεις ἐκεῖ· δὲν εἶναι δυνατὸ νὰ προκόψει κανεὶς μετὰ τὴν παρέλευση αὐτῶν ἐδῶ· ὁ Θεὸς δὲν κοπιάζει νὰ συνοικοδομήσει τὸν ἄνθρωπο καὶ τὴν ψυχή του.

Ὅσο γιὰ τὰ οὐράνια τάγματα, ἀποστομώνει ἡ θεία Γραφὴ ὅλους, λέγοντας, «εἶπε καὶ γεννήθηκαν, διέταξε καὶ κτίσθηκαν· ἔστησε αὐτὰ στὸν αἰώνα καὶ στὸν αἰώνα τοῦ αἰώνα»[7]. Καταστρέφονται λοιπὸν ὅσα ἔκτισε ὁ Θεός; Σύμφωνα μὲ τὴ Γραφή, δὲν ὑπάρχει ἀλλοίωση σ' αὐτὸν τὸν κόσμο· ποῦ δηλαδὴ βρῆκες ὅτι μὲ τὴ φροντίδα τοῦ τάδε ἀγγέλου ὁδήγησε αὐτὸν σὲ προκοπή;

Ἀδελφέ, ἐδῶ εἶναι ἡ ἐργασία, ἐκεῖ ὁ μισθός· ἐδῶ τὸ ἄθλημα, ἐκεῖ τὰ στεφάνια. Ἀδελφέ, ἂν θέλεις νὰ σωθεῖς, νὰ μὴ ἀφήσεις τὸν ἑαυτό σου νὰ παρασυρθεῖ σ' αὐτά· διότι σὲ διαβεβαιώνω ἐνώπιον τοῦ Θεοῦ, ὅτι ἔπεσες μέσα στὸ βόθρο τοῦ διαβόλου καὶ στὸν ἔσχατο θάνατο. Λοιπὸν ἀπομακρύνσου ἀπὸ αὐτὰ καὶ ἀκολούθησε τὰ ἴχνη τῶν πατέρων· ἀπόκτησε τὴν ταπείνωση καὶ τὴν ὑπακοή, τὸν κλαυθμό, τὴν ἄσκηση, τὴν ἀκτημοσύνη, τὸ ἀψήφιστο καὶ ὅσα τέτοια ὑπάρχουν καὶ βρίσκεις στὰ λόγια τους καὶ στοὺς βίους. Κάνε ὅμως καρποὺς ἄξιους τῆς μετάνοιας καὶ νὰ μὴ προσέχεις ἐμένα ποὺ τὰ λέγω καὶ δὲν τὰ κάνω, ἀλλὰ νὰ προσεύχεσαι γιὰ νὰ ἔλθω κάποτε καὶ ἐγὼ σὲ ἐπίγνωση τῆς ἀλήθειας, πρὸς δόξα τῆς ἁγίας Τριάδας, τώρα καὶ στοὺς αἰῶνες. Γένοιτο.

601

Ἐρώτηση

Ὁ ἴδιος ἀδελφὸς ἐρώτησε τὸν ἄλλο γέροντα, τὸν ἀββᾶ Ἰωάννη[8].

ἀπάντηση.

Ἀπόκρισις

Αὕτη ἡ σοφία ἄνωθεν οὐκ ἔστιν, ἀλλὰ ψυχική, δαιμονιώδης. Αὕτη ἡ διδαχὴ τοῦ διαβόλου ἐστίν· αὕτη ἀπάγει τοὺς προσέχοντας αὐτῇ εἰς κόλασιν αἰώνιον· ὁ ἐνδελεχῶν αὐτῇ, αἱρετικὸς γίνεται· ὁ πιστεύων αὐτῇ, ἐξετράπη τῆς ἀληθείας· ὁ συντιθέμενος αὐτῇ, ἀλλότριός ἐστι τῆς ὁδοῦ τοῦ Θεοῦ. Οἱ ἐργάται τοῦ Χριστοῦ οὐκ ἐδίδαξαν ταῦτα· οἱ δεχόμενοι τὸν λόγον τῆς ἀληθείας ταῦτα οὐ δέχονται. Διὰ τάχους ἀπόσπα ἀπ' αὐτῶν, ἀδελφέ· μὴ καύσῃς τὴν καρδίαν σου τῷ πυρὶ τοῦ διαβόλου· μὴ ἀντὶ σίτου σπείρῃς ἐν τῇ γῇ ἀκάνθας καὶ ἀντὶ ζωῆς λάβῃς θάνατον. Καὶ τί πολλὰ λέγω; Μὴ ἀντὶ τοῦ Χριστοῦ τὸν διάβολον. Μὴ χρονίσῃς ἐν αὐτοῖς καὶ σώζῃ, ὡς ὁ Λὼτ ἀπὸ Σοδόμων, εὐχαῖς ἁγίων. Ἀμήν.

ΧΒ'

Ἐρώτησις *τοῦ αὐτοῦ.*

Οὐκ ὀφείλομεν οὖν ἀναγινώσκειν τὰ Εὐαγρίου;

Ἀπόκρισις *Ἰωάννου.*

Τὰ μὲν δόγματα τὰ τοιαῦτα μὴ δέχου, ἀναγίνωσκε δὲ αὐτοῦ, εἰ θέλεις, τὰ πρὸς ὠφέλειαν ψυχῆς, κατὰ τὴν παραβολὴν τὴν ἐν τῷ Εὐαγγελίῳ περὶ τῆς σαγήνης ὡς γέγραπται, ὅτι «τὰ μὲν καλὰ ἔβαλαν εἰς ἀγγεῖα, τὰ δὲ σαπρὰ ἔξω ἔρριψαν»· οὕτω καὶ σὺ ποίησον.

9. Ἐδῶ ἔχομε τὴ διάκριση τῶν συγγραμμάτων τοῦ Εὐαγρίου σὲ δογματικὰ καὶ σὲ νηπτικά. Τὰ πρῶτα εἶναι ἀπορριπτέα καὶ χάθηκαν, διατηρούμενα

᾿Απόκριση

Αὐτὴ ἡ σοφία δὲν προέρχεται ἀπὸ τὸν Θεό, ἀλλ᾿ εἶναι ψυχική, δαιμονιώδης. Αὐτὴ εἶναι ἡ διδαχὴ τοῦ διαβόλου· αὐτὴ ὁδηγεῖ ὅσους τὴν προσέχουν στὴν αἰώνια κόλαση· ὅποιος ἐπιμένει νὰ μένει σ᾿ αὐτήν, γίνεται αἱρετικός· ὅποιος τὴν πιστεύει, ἐκτράπηκε ἀπὸ τὴν ἀλήθεια· ὅποιος τὴν ἀκολουθεῖ, εἶναι ξένος πρὸς τὸ δρόμο τοῦ Θεοῦ. Οἱ ἐργάτες τοῦ Χριστοῦ δὲν δίδαξαν αὐτά· ὅσοι δέχονται τὸν λόγο τῆς ἀληθείας, δὲν δέχονται αὐτά. Γρήγορα ἀπομακρύνσου ἀπὸ αὐτά, ἀδελφέ. Μὴ κάψεις τὴν καρδιά σου μὲ τὴ φωτιὰ τοῦ διαβόλου· μὴ σπείρεις στὴ γῆ ἀκάνθια ἀντὶ γιὰ σιτάρι καὶ λάβεις ἀντὶ γιὰ ζωὴ θάνατο· καὶ γιατί νὰ πολυλογῶ; Μὴ δεχθεῖς ἀντὶ τοῦ Χριστοῦ τὸν διάβολο· μὴ χρονίσεις σ᾿ αὐτά, καὶ θὰ σωθεῖς ὅπως ὁ Λὼτ ἀπὸ τὰ Σόδομα, μὲ τὶς προσευχὲς τῶν ἁγίων. Γένοιτο.

602

᾿Ερώτηση τοῦ ἰδίου.

Δὲν πρέπει λοιπὸν νὰ διαβάζομε τὰ βιβλία τοῦ Εὐαγρίου;

᾿Απόκριση ᾿Ιωάννη

Νὰ μὴ δέχεσαι τὰ δογματικά του ἔργα· διάβαζε ὅμως, ἐὰν θέλεις, τὰ ψυχωφελή του βιβλία[9], σύμφωνα μὲ τὴν παραβολὴ ποὺ βρίσκεται στὸ Εὐαγγέλιο γιὰ τὴ σαγήνη, καὶ στὴν ὁποία ἔχει γραφεῖ, ὅτι «τὰ καλὰ τὰ ἔβαλαν στὰ ἀγγεῖα, ἐνῶ τὰ σάπια τὰ ἔρριξαν ἔξω»[10]. Αὐτὸ νὰ κάνεις καὶ ἐσύ.

μόνο σὲ ἀνατολικὲς μεταφράσεις. Τὰ δεύτερα εἶναι ψυχωφελῆ καὶ μερικῶς διατηρήθηκαν καὶ στὰ ἑλληνικά. Δὲν καταδικάσθηκαν ποτὲ τὰ δεύτερα.

10. Ματθ. 13,48.

ΧΓ'

Ἐρώτησις

Ὁ αὐτὸς ἀδελφός, ὁ ταῦτα ἐρωτήσας, διεκρίνετο ἐν ἑαυτῷ ἐνθυμούμενος καὶ λέγων.

> *Καὶ πῶς τινες τῶν νῦν πατέρων δέχονται αὐτὰ καὶ ἔχομεν αὐτοὺς ὅτι καλοὶ μοναχοί εἰσι καὶ προσέχοντες ἑαυτοῖς;*

Καὶ μετὰ ἡμέρας συνέβη τὸν αὐτὸν ἀδελφὸν αἰτῆσαι τὸν μέγαν Γέροντα εὔξασθαι ὑπὲρ αὐτοῦ, καὶ τότε ἐδήλωσεν αὐτῷ ὁ γέρων ἀφ' ἑαυτοῦ περὶ τῆς ἐνθυμήσεως τῆς καρδίας αὐτοῦ, ὥστε θαυμάσαι καὶ ἐκπλαγῆναι τὸν ἀδελφόν· ἔχει δὲ ἡ ἀπόκρισις οὕτως.

Ἀπόκρισις

Επειδὴ εἶπας καὶ ἐνεθυμήθης, ὅτι 'Διὰ τί τινες τῶν πατέρων δέχονται τὰ γνωστικὰ Εὐαγρίου', τινὲς ἀδελφοὶ ὡς γνωστικοὶ δέχονται αὐτὰ καὶ οὐκ ἐδεήθησαν τοῦ Θεοῦ, εἰ ἀληθῆ εἰσι, καὶ ἀφῆκεν αὐτοὺς ὁ Θεὸς περὶ τούτου ἐν τῇ ἰδίᾳ γνώσει. Ἀλλ' ὅμως οὔτε ἐμόν ἐστιν, οὔτε σὸν ταῦτα ζητεῖν, ἀλλ' ὁ καιρὸς ἡμῶν ἐστιν ἐρευνᾶν τὰ πάθη ἡμῶν, τοῦ κλαῦσαι καὶ πενθῆσαι.

ΧΔ'

***Ἐρώτησις** τοῦ αὐτοῦ καὶ ἑτέρων ἀδελφῶν πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.*

> ***Οὐκ ὀκνοῦσι, πάτερ, οἱ ταῦτα φρονοῦντες περὶ τῆς προϋπάρξεως λέγειν περὶ τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου, ὅτι καὶ αὐτὸς ἐκτίθεται περὶ τῆς προϋπάρξεως ἐν τοῖς αὐτοῦ συγγράμμασιν, ἔν τε τοῖς τοῦ Κυρίου γενεθλίοις, καὶ ἐν τῇ τοῦ Πάσχα ἡμέρᾳ, ἑρμηνεύοντές τινα ῥητὰ κατὰ τὴν***

603

Ὁ ἴδιος ἀδελφὸς ποὺ ἐρώτησε αὐτά, ἀμφέβαλλε σκεπτόμενος μόνος του καὶ λέγοντας.

> Καὶ πῶς μερικοὶ ἀπὸ τοὺς τωρινοὺς πατέρες δέχονται αὐτά, καὶ τοὺς θεωροῦμε ὅτι εἶναι καλοὶ μοναχοὶ καὶ προσέχουν τοὺς ἑαυτούς τους;

Μετὰ ἀπὸ μέρες συνέβηκε ὁ ἴδιος ἀδελφὸς νὰ ζητήσει ἀπὸ τὸν μεγάλο Γέροντα νὰ προσευχηθεῖ γι' αὐτόν, καὶ τότε ὁ γέροντας τοῦ δήλωσε ἀπὸ μόνος του γιὰ τὴν ἐνδόμυχη σκέψη τῆς καρδιᾶς του, ὥστε νὰ θαυμάσει καὶ νὰ ἐκπλαγεῖ ὁ ἀδελφός· ἡ ἀπόκριση ἔχει ὡς ἑξῆς.

Ἀπόκριση

Ἐπειδὴ εἶπες μέσα σου καὶ ἔκανες τὴ σκέψη, 'γιατί μερικοὶ ἀπὸ τοὺς πατέρες δέχονται τὰ γνωστικὰ βιβλία τοῦ Εὐαγρίου;' σοῦ λέγω ὅτι μερικοὶ ἀδελφοί, σὰν γνωστικοί, τὰ δέχονται καὶ δὲν παρακάλεσαν τὸν Θεὸ νὰ τοὺς φανερώσει ἂν εἶναι ἀληθινά· γι' αὐτὸ τοὺς ἄφησε ὁ Θεὸς ὡς πρὸς αὐτὸ στὴ δική τους γνώση. Δὲν εἶναι ὅμως οὔτε γιὰ μένα, οὔτε γιὰ σένα νὰ συζητᾶμε αὐτά, ἀλλ' ὁ καιρός μας εἶναι νὰ ἐρευνοῦμε τὰ πάθη μας, νὰ κλάψομε καὶ νὰ πενθήσομε.

604

Ἐρώτηση τοῦ ἰδίου καὶ τῶν ἄλλων ἀδελφῶν πρὸς τὸν ἴδιο μεγάλο Γέροντα

> Πάτερ, αὐτοὶ ποὺ φρονοῦν αὐτὰ γιὰ τὴν προΰπαρξη δὲν διστάζουν νὰ λένε γιὰ τὸν ἅγιο Γρηγόριο τὸν Θεολόγο ὅτι καὶ αὐτὸς ὁμιλεῖ γιὰ τὴν προΰπαρξη στὰ συγγράμματά του ποὺ ἀναφέρονται στὰ Χριστούγεννα καὶ στὸ Πάσχα, ἑρμηνεύοντας μερικὰ ρητὰ σύμφωνα μὲ τὸ βαθύτερο νόη-

αὐτῶν καρδίαν καὶ παρατρέχοντες τὰ ἐκεῖ σαφῶς εἰρημένα περὶ τῆς πρώτης τοῦ ἀνθρώπου δημιουργίας, τῆς τε αὐτοῦ ψυχῆς καὶ τοῦ σώματος, κατὰ τὴν τῆς Ἐκκλησίας παράδοσιν· λέγει γὰρ οὕτως.

«Τοῦτο δὴ βουληθεὶς ὁ τεχνίτης ἐπιδείξασθαι Λόγος, καὶ ζῶον ἓν ἐξ ἀμφοτέρων, ἀοράτου τε λέγω καὶ ὁρατῆς φύσεως δημιουργεῖ τὸν ἄνθρωπον· καὶ παρὰ μὲν τῆς ὕλης λαβὼν τὸ σῶμα, ἤδη προϋποστάσης, παρ' ἑαυτοῦ δὲ πνοὴν ἐνθείς, ὃ δὴ νοερὰν ψυχὴν καὶ εἰκόνα Θεοῦ οἶδεν ὁ λόγος». Καὶ ἐν τοῖς ἐφεξῆς δὲ πολλά τις εὑρήσει σαφῶς καὶ ἀναμφιβόλως αὐτῷ εἰρημένα περὶ τοῦ ἀνθρώπου, τοῦ ἐκ τῆς προϋπαρχούσης ὕλης καὶ τῆς ὑπὸ Θεοῦ δοθείσης ψυχῆς κατασκευασθέντος, ἐν οἷς καὶ πολλὰ ἐγκωμιάζει τὴν τοῦ ἀνθρώπου φύσιν καὶ ἄξιον Θεοῦ δῶρον καλεῖ τὸ σωθῆναι τὸ σῶμα καὶ τὴν ψυχήν· οὐχ ὡς αὐτοί φασι καταδίκης χάριν τὴν ψυχὴν ἐνδυθῆναι τῷ σώματι, ὑπὲρ τῶν αὐτῇ προημαρτημένων τιμωρουμένην. Καὶ ἐν ἄλλοις δὲ αὐτοῦ διαφόροις συγγράμμασιν ὁ σκοπὸς αὐτοῦ φανεροῦται, τούτου παντελῶς καθαρεύων τοῦ δόγματος.

Καὶ περὶ τοῦ ἁγίου Γρηγορίου τοῦ ἀδελφοῦ τοῦ μεγάλου Βασιλείου, ἐπιχαίρουσιν, ὅτι τὸ αὐτὸ εἶπε καὶ λέγει ἐκεῖνος προὕπαρξιν, παρερμηνεύοντες καὶ αὐτοῦ ῥητά τινα. Αὐτὸς δὲ σαφῶς ἐν τῷ τριακοστῷ κεφαλαίῳ περὶ τῆς τοῦ ἀνθρώπου διαπλάσεως τῆς αὐτοῦ πραγματείας, μάχεται ἰσχυρῶς τούτῳ τῷ τῆς προϋπάρξεως δόγματι καὶ ἀνατρέπει αὐτό, καθὼς καὶ ὁ μακάριος Δαβὶδ καὶ οἱ περὶ τὸν ἅγιον Ἰωάννην καὶ Ἀθανάσιον καὶ οἱ λοιποὶ πάντες τῆς Ἐκκλησίας φωστῆρες καὶ διδάσκαλοι. Περὶ δὲ τῆς ἀποκαταστάσεως, σαφῶς λέγει ὁ αὐτὸς ἅγιος Γρηγόριος

μά τους καὶ παρατρέχοντας αὐτὰ ποὺ ἔχουν εἰπωθεῖ ἐκεῖ σαφῶς γιὰ τὴν πρώτη δημιουργία τοῦ ἀνθρώπου, καὶ τῆς ψυχῆς καὶ τοῦ σώματός του, σύμφωνα μὲ τὴν παράδοση τῆς Ἐκκλησίας· διότι λέγει τὰ ἑξῆς ὁ Γρηγόριος.

«Ὅταν ἀποφάσισε ὁ τεχνίτης λόγος αὐτό, νὰ δημιουργήσει δηλαδὴ ἕνα ζῶο ἀποτελούμενο καὶ ἀπὸ τὰ δύο, ἐννοῶ ἀπὸ ἀόρατη καὶ ὁρατὴ φύση, δημιούργησε τὸν ἄνθρωπο. Καὶ τότε ἀπὸ τὴν ὕλη ποὺ ἤδη εἶχε συσταθεῖ πῆρε τὸ σῶμα, καὶ ἔθεσε μέσα σ' αὐτὸ πνοή, πρᾶγμα ποὺ ἀποδέχεται ὁ λόγος ὅτι εἶναι νοερὴ ψυχὴ καὶ εἰκόνα τοῦ Θεοῦ»[11]. Καὶ στὴ συνέχεια βρίσκει κανεὶς νὰ ἔχουν εἰπωθεῖ πολλὰ ἀπὸ αὐτὸν γιὰ τὸν ἄνθρωπο μὲ σαφήνεια καὶ χωρὶς ἀμφιβολία, ὅτι δηλαδὴ κατασκευάσθηκε ἀπὸ τὴν προϋπάρχουσα ὕλη καὶ ἀπὸ τὴν ψυχὴ ποὺ δόθηκε ἀπὸ τὸν Θεό, στὰ ὁποῖα ἐγκωμιάζει πολὺ τὴ φύση τοῦ ἀνθρώπου καὶ ὀνομάζει ἄξιο δῶρο τοῦ Θεοῦ τὴν ταυτόχρονη σωτηρία τοῦ σώματος καὶ τῆς ψυχῆς· ὄχι, ὅπως λένε αὐτοί, ὅτι ἡ ψυχὴ μπῆκε μέσα στὸ σῶμα χάριν καταδίκης, τιμωρούμενη γιὰ τὶς προηγούμενες ἁμαρτίες της. Καὶ σὲ ἄλλα διαφορετικὰ συγγράμματά του γίνεται φανερὴ ἡ διδασκαλία του, ὅπου ξεκαθαρίζει ἐντελῶς τὸ δόγμα.

Χαίρονται καὶ γιὰ τὸν ἅγιο Γρηγόριο, τὸν ἀδελφὸ τοῦ μεγάλου Βασιλείου[12], διότι καὶ ἐκεῖνος εἶπε καὶ λέγει αὐτὸ τὸ ἴδιο προΰπαρξη, παρερμηνεύοντας καὶ αὐτοῦ μερικὰ ρητά. Αὐτὸς ὅμως σαφῶς στὸ τριακοστὸ κεφάλαιο τῆς πραγματείας του γιὰ τὴ δημιουργία τοῦ ἀνθρώπου μάχεται ἰσχυρὰ αὐτὸ τὸ δόγμα τῆς προϋπάρξεως καὶ τὸ ἀνατρέπει, ὅπως καὶ ὁ μακάριος Δαβὶδ καὶ οἱ γύρω ἀπὸ τὸν ἅγιο Ἰωάννη καὶ Ἀθανάσιο καὶ οἱ ὅλοι οἱ ὑπόλοιποι φωστῆρες καὶ διδάσκαλοι τῆς Ἐκκλησίας. Ὅσο γιὰ τὴν ἀποκατάσταση, σαφῶς λέγει ὁ ἴδιος ὁ ἅγιος Γρηγόριος ὁ

11. Γρηγορίου Θεολόγου, *Λόγος* 38,10 καὶ 45,60.

12. Εἶναι ὁ Γρηγόριος ἐπίσκοπος Νύσσης, ὁ μέγας σχολαστικὸς συγγραφέας.

ὁ Νύσσης, ἀλλ' οὐ περὶ ταύτης, ἧς αὐτοὶ λέγουσιν, ὅτι, παυομένης τῆς κολάσεως, μέλλει ὁ ἄνθρωπος ἀποκαθίστασθαι εἰς ὅπερ ἦν ἐξ ἀρχῆς εἰς καθαροὺς νόας· ἀλλὰ τοῦτο λέγει, ὅτι παύσεται ἡ κόλασις καὶ τέλος λαμβάνει. Εἰπὲ οὖν, πάτερ, διατί καὶ τοιοῦτος ἄνθρωπος οὐκ ὀρθῶς λέγει καθὼς ἐνδέχεται ἄνδρα ἅγιον, ἀξιωθέντα λαλεῖν ἐκ Πνεύματος ἁγίου; Καὶ γὰρ καὶ περὶ τοῦ παραδείσου διαφωνοῦσί τινες τῶν πατέρων καὶ διδασκάλων, μὴ λέγοντες αὐτὸν αἰσθητόν, ἀλλὰ νοητόν. Καὶ ἐν ἄλλοις κεφαλαίοις τῆς Γραφῆς, ἔστιν εὑρεῖν τινων διαφωνίαν. Σαφήνισον οὖν ἡμῖν τοῦτο, δέσποτα, παρακαλοῦμεν, ἵνα, παρ' ὑμῶν φωτισθέντες, δοξάσωμεν τὸν Θεὸν καὶ μὴ διακρινώμεθα εἰς τοὺς ἁγίους ἡμῶν πατέρας.

***Ἀπόκρισις** Βαρσανουφίου.*

Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῃ ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ, Ἀμήν».

Ἀδελφοί, εὔκαιρον εἰπεῖν μετὰ τοῦ Ἀποστόλου· «γέγονα ἄφρων, ὑμεῖς με ἠναγκάσατε»· καὶ γὰρ ἀναγκάζομαι δι' ὑμᾶς τὰ ὑπέρμετρά μου ἐρευνᾶν καὶ λαλεῖν τὰ μὴ ὠφελοῦντα πάνυ τὴν ψυχήν, εἰ μὴ καὶ βλάπτοντα. Ἀφήκαμεν Παῦλον τὸν Ἀπόστολον λέγοντα, «πᾶσα ὀργὴ καὶ θυμὸς καὶ βλασφημία ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ», ἐγὼ δὲ λέγω σὺν τῇ γαστριμαργίᾳ καὶ πορνείᾳ καὶ φιλαργυρίᾳ καὶ τοῖς λοιποῖς πάθεσι, περὶ ὧν ὀφείλομεν πενθεῖν νύκτα καὶ ἡμέραν καὶ κλαίειν ἀδιαλείπτως, ἵνα, διὰ τὸ τῶν δακρύων πλῆθος, ὁ ρύπος τούτων ὅλος ἐκπλυθῇ,

Νύσσης, ὄχι ὅμως γι' αὐτὴν ποὺ λέγουν αὐτοί, ὅτι, ὅταν σταματήσει ἡ κόλαση, οἱ ἄνθρωποι πρόκειται ν' ἀποκατασταθοῦν σ' ἐκεῖνο ποὺ ἦταν στὴν ἀρχή, σὲ καθαροὺς δηλαδὴ νόες· ἀλλὰ λέγει αὐτό, ὅτι θὰ σταματήσει ἡ κόλαση καὶ θὰ λάβει τέλος.

Πές μας λοιπόν, πάτερ, γιατί τέτοιος ἄνθρωπος δὲν τὰ λέγει ὀρθά, ὅπως πρέπει νὰ τὰ λέγει ἕνας ἅγιος ἄνδρας ποὺ ἀξιώθηκε νὰ μιλήσει ἀπὸ τὸ ἅγιο Πνεῦμα; Διότι καὶ γιὰ τὸν Παράδεισο διαφωνοῦν μερικοὶ ἀπὸ τοὺς πατέρες καὶ διδασκάλους, χαρακτηρίζοντας αὐτὸν ὄχι αἰσθητόν, ἀλλὰ νοητόν. Καὶ σὲ ἄλλα κεφάλαια τῆς Γραφῆς εἶναι δυνατὸ νὰ βρεῖς διαφωνία μερικῶν. Παρακαλοῦμε λοιπόν, δέσποτα, νὰ μᾶς διασαφήσεις αὐτὸ τὸ θέμα, ὥστε, φωτιζόμενοι ἀπὸ σᾶς, νὰ δοξάσομε τὸν Θεό, καὶ νὰ μὴ ἀμφιβάλλομε γιὰ τοὺς ἁγίους πατέρες μας.

'Απόκριση Βαρσανουφίου.

Εὐλογητὸς ὁ Θεὸς καὶ Πατέρας τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, αὐτὸς ποὺ μᾶς εὐλόγησε μὲ κάθε πνευματικὴ εὐλογία στὰ ἐπουράνια ἐν Χριστῷ. Γένοιτο[13].

'Αδελφοί, εἶναι εὐκαιρία νὰ ποῦμε μαζὶ μὲ τὸν 'Απόστολο «ἔχω γίνει ἄφρονας, ἐσεῖς μὲ ἀναγκάσατε»[14]· διότι ἀναγκάζομαι ἐξαιτίας σας νὰ ἐρευνῶ τὰ ὑπέρμετρά μου καὶ νὰ λέγω αὐτὰ ποὺ δὲν ὠφελοῦν πολὺ τὴν ψυχή, ἴσως καὶ ποὺ τὴν βλάπτουν κιόλας. 'Αφήσαμε τὸν 'Απόστολο Παῦλο ποὺ λέγει, «νὰ ἐξαλειφθεῖ ἀπὸ σᾶς κάθε ὀργὴ καὶ θυμὸς καὶ βλασφημία μαζὶ μὲ κάθε κακία»[15], ἐγὼ ὅμως λέγω μαζὶ μὲ τὴ γαστριμαργία καὶ τὴν πορνεία καὶ τὴν φιλαργυρία καὶ τὰ ὑπόλοιπα πάθη, γιὰ τὰ ὁποῖα ὀφείλομε νὰ πενθοῦμε νύχτα καὶ μέρα καὶ νὰ κλαῖμε ἀδιαλείπτως, γιὰ νὰ πλυθεῖ ὅλος ὁ ρύπος αὐτῶν μὲ τὸ πλῆθος τῶν δακρύων, καὶ

13. Β' Κορ. 1,3.
14. Β' Κορ. 12,11.
15. Ἐφ. 4,31.

καὶ δυνηθῶμεν γενέσθαι ἐκ ρυπαρῶν καθαροί, ἐξ ἁμαρτωλῶν δίκαιοι, ἐκ νεκρῶν ζῶντες, ἀδολεσχῶμεν δὲ εἰς ἕνα λόγον, οὗ μέλλομεν δοῦναι ἀπολογίαν. Φησὶ γὰρ ὅτι «σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ»· καὶ πάλιν ὅτι «δεῖ ἡμᾶς φανερωθῆναι ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθόν, εἴτε κακόν».

Περὶ τούτων ὀφείλομεν σπουδάσαι, περὶ ὧν καὶ οἱ πατέρες ἡμῶν, οἱ περὶ τῶν ἀββᾶν Ποιμένα καὶ τοὺς καθεξῆς ἐσπούδασαν· αὕτη ἡ σπουδὴ ἔχει τὸ ἀψήφιστον, τὸ μὴ μετρεῖν ἑαυτόν, τὸ ἔχειν ἑαυτὸν γῆν καὶ σποδόν· ἐκείνη δὲ ἡ σπουδὴ ἔχει τὸ ἔχειν ἑαυτὸν γνωστικόν, τὸ φέρειν εἰς φυσίωσιν, τὸ ψηφίζειν ἑαυτὸν καὶ μετρεῖν ἐν παντὶ πράγματι, τὸ ἀποστῆναι τῆς ταπεινοφροσύνης· συγχωρήσατέ μοι. Μὴ ἀργοί ἐστε καὶ διὰ τοῦτο ἔρχεσθε εἰς ταῦτα; Εἰ οὕτως ἔχει, κατέλθετε εἰς τὴν ἀγοράν, ἕως οὗ ἔλθῃ ὁ οἰκοδεσπότης καὶ λάβῃ ὑμᾶς εἰς τὸν ἀμπελῶνα αὐτοῦ. Εἰ ἦν σκόλοψ περὶ τῆς ἀπαντήσεως ἐκείνης τῆς φοβερᾶς ἐν τῇ καρδίᾳ ὑμῶν, οὐκ εἴχετε μνησθῆναι τούτων. Ἐπελάθετο ὁ προφήτης φαγεῖν τὸν ἄρτον αὐτοῦ, καὶ ἡμεῖς σπαταλῶμεν καὶ ἀδιαφοροῦμεν καὶ ἀπὸ τούτων ἐμπίπτομεν εἰς ταῦτα.

Οὐκ ἀπαιτεῖ ἡμᾶς ὁ Θεὸς ταῦτα, ἀλλ' ἁγιασμόν, κάθαρσιν, σιωπὴν καὶ ταπείνωσιν. Ἀλλ' ἐπειδὴ ἐᾶσαι ὑμᾶς ἐν λογισμοῖς οὐκ ἠβουλόμην, καὶ τὸ δεηθῆναι τοῦ Θεοῦ πληροφορῆσαί με περὶ τούτου ἐθλιβόμην, συνεχόμενος ἐξ ἀμφοτέρων, ἐξελεξάμην μᾶλλον ἐμαυτῷ τὴν θλῖψιν, ἵνα ὑμᾶς τῆς θλίψεως ἀναπαύσω, μνημονεύων τοῦ λέγοντος, «ἀλλήλων τὰ βάρη βαστάζετε». Καὶ ἀκούσατε τὴν κατὰ Θεὸν πληροφορίαν, τὴν πρὸ τριῶν ἡμερῶν τοῦ γράψαι ὑμᾶς τὴν ἐρώτησιν γενομένην μοι. Πάντες οἱ πατέρες οἱ τῷ Θεῷ εὐαρεστήσαντες ἅγιοι καὶ δίκαιοι καὶ δοῦλοι τοῦ Θεοῦ γνήσιοι, εὐξάσθωσαν ὑπὲρ ἐμοῦ· μὴ νομίσητε δὲ ὅτι, κἂν

---

16. Ρωμ. 2,6.
17. Β' Κορ. 5,10.

νὰ μπορέσομε νὰ γίνομε ἀπὸ βρωμεροὶ καθαροί, ἀπὸ ἁμαρτωλοὶ δίκαιοι, ἀπὸ νεκροὶ ζωντανοί, καὶ ἃς ἀσχοληθοῦμε μὲ ἕνα λόγο γιὰ τὸν ὁποῖο πρόκειται νὰ δώσομε ἀπολογία. Διότι λέγει, «σὺ θὰ ἀποδώσεις στὸν καθένα σύμφωνα μὲ τὰ ἔργα του»[16]. Καὶ πάλι· «πρέπει ἐμεῖς νὰ παρουσιασθοῦμε πάνω στὸ βῆμα τοῦ Χριστοῦ, γιὰ νὰ λάβει ὁ καθένας τὰ ἀντίστοιχα γιὰ ὅσα ἔπραξε μὲ τὸ σῶμα, εἴτε ἀγαθό, εἴτε κακό»[17].

Γι' αὐτὰ ὀφείλομε νὰ φροντίσομε, γιὰ τὰ ὁποῖα φρόντισαν οἱ πατέρες μας, οἱ γύρω ἀπὸ τὸν ἀββᾶ Ποιμένα καὶ τοὺς ὑπόλοιπους· αὐτὴ ἡ φροντίδα ἔχει τὸ ἀψήφιστο, τὸ νὰ μὴ ὑπολογίζει κανεὶς τὸν ἑαυτό του, τὸ νὰ θεωρεῖ τὸν ἑαυτό του χῶμα καὶ στάχτη, ἐνῶ ἐκείνη ἡ φροντίδα ἔχει αὐτά, τὸ νὰ θεωρεῖ κανεὶς τὸν ἑαυτό του γνωστικό, νὰ ὁδηγεῖται σὲ ἔπαρση, νὰ λογαριάζει κανεὶς καὶ νὰ μετρᾶ τὸν ἑαυτό τοὺ σὲ κάθε πρᾶγμα, ν' ἀπομακρύνεται ἀπὸ τὴν ταπεινοφροσύνη· συγχωρέστε με. Μήπως εἶσθε ἀργοί, καὶ γι' αὐτὸ ἔρχεσθε σ' αὐτά; Ἐὰν συμβαίνει αὐτό, κατεβεῖτε στὴν ἀγορά, ὥς ποὺ νὰ ἔρθει ὁ οἰκοδεσπότης καὶ σᾶς πάρει στὸν ἀμπελώνα του· ἂν ὑπῆρχε ἀγκάθι στὴν καρδιά σας γιὰ ἐκείνη τὴ φοβερὴ ἀπάντηση, δὲν θὰ ἦταν δυνατὸ νὰ τὰ θυμηθεῖτε αὐτά. Ὁ προφήτης ξέχασε νὰ φάγει τὸ ψωμί του, καὶ ἐμεῖς σπαταλοῦμε καὶ ἀδιαφοροῦμε καὶ ἀπὸ ἐκεῖνα πέφτομε σ' αὐτά.

Ὁ Θεὸς δὲν ἀπαιτεῖ ἀπὸ μᾶς αὐτά, ἀλλὰ ἁγιασμό, κάθαρση, σιωπὴ καὶ ταπείνωση. Ἐπειδὴ ὅμως δὲν ἤθελα νὰ σᾶς ἀφήσω σὲ λογισμοὺς καὶ στενοχωριόμουν νὰ παρακαλέσω τὸν Θεὸ νὰ μὲ πληροφορήσει γι' αὐτό, πιεζόμενος καὶ ἀπὸ τὰ δύο, διάλεξα μᾶλλον γιὰ τὸν ἑαυτό μου τὴ θλίψη, γιὰ ν' ἀναπαύσω ἐσᾶς ἀπὸ τὴ θλίψη, ἐνθυμούμενος ἐκεῖνον ποὺ λέγει· «νὰ βαστάζετε ὁ ἕνας τὰ βάρη τοῦ ἄλλου»[18]. Ἀκοῦστε λοιπὸν τὴν κατὰ Θεὸν πληροφορία ποὺ δόθηκε σὲ μένα τρεῖς μέρες πρὶν μοῦ γράψετε τὴν ἐρώτηση. Ὅλοι οἱ πατέρες ποὺ εὐαρέστησαν τὸν Θεό, ἅγιοι καὶ δίκαιοι καὶ γνήσιοι δοῦλοι τοῦ Θεοῦ, ἂς προσευχηθοῦν γιὰ μένα. Μὴ νομίσετε ὅμως ὅτι, ἂν καὶ ἦταν

18. Γαλ. 6,2.

ἅγιοι ἦσαν, ὅλα τὰ βάθη τοῦ Θεοῦ γνησίως ἠδυνήθησαν καταλαβεῖν. Ὁ γὰρ Ἀπόστολος λέγει ὅτι, «ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν»· καὶ πάλιν, «ᾧ μὲν δίδοται διὰ τοῦ πνεύματος», τὰ καὶ τά, καὶ οὐχ ὅλα ἐκεῖνα ἐν ἑνὶ ἀνθρώπῳ, ἀλλὰ τὰ μὲν οὕτω, τὰ δὲ οὕτω· πάντα δὲ ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα. Γινώσκων γὰρ ὁ Ἀπόστολος τὰ τοῦ Θεοῦ, ὅτι ἀκατάληπτά ἐστιν, ἔκραξε λέγων· «ὢ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ· τίς γὰρ ἔγνω νοῦν Κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο;» καὶ τὰ λοιπά.

Ἐπιτηδεύσαντες οὖν εἶναι διδάσκαλοι καθ' ἑαυτοὺς ἢ ὑπὸ τῶν ἀνθρώπων ἀναγκασθέντες εἰς τοῦτο ἐλθεῖν, προέκοψαν πάνυ, καὶ ὑπὲρ τοὺς διδασκάλους αὐτῶν, καὶ καινὰ δόγματα πληροφορηθέντες συνέθηκαν, ἅμα δὲ ἔμειναν ἔχοντες τὰς παραδόσεις τῶν διδασκάλων αὐτῶν, μαθήματα μὴ ὀρθῶς ἔχοντα. Καὶ μετὰ ταῦτα, προκόψαντες καὶ πνευματικοὶ διδάσκαλοι γενόμενοι, οὐκ ἐδεήθησαν τοῦ Θεοῦ περὶ τῶν διδασκάλων αὐτῶν, εἰ διὰ τοῦ Πνεύματος τοῦ ἁγίου ἐλαλήθησαν τὰ ὑπ' αὐτῶν εἰρημένα, ἀλλ', ἔχοντες αὐτοὺς σοφοὺς καὶ γνωστικούς, οὐ διέκριναν τοὺς λόγους αὐτῶν· καὶ λοιπὸν συνεμίγησαν αἱ διδασκαλίαι τῶν διδασκάλων αὐτῶν ἐν ταῖς αὐτῶν διδασκαλίαις, καὶ ἐλάλουν ποτὲ μὲν ἀπὸ τῆς διδασκαλίας ἧς ἔμαθον παρ' αὐτῶν, ποτὲ δὲ ἀπὸ τῆς εὐφυΐας τοῦ ἰδίου νοός, καὶ οὕτω λοιπὸν ὀνόματι αὐτῶν ἐγράφησαν οἱ λόγοι. Παραλαβόντες γὰρ παρ' ἄλλων καὶ προκόψαντες καὶ βελτιωθέντες ἐλάλησαν διὰ Πνεύματος ἁγίου, εἴ τι ἐπληροφορήθησαν ὑπ' αὐτοῦ, καὶ ἐλάλησαν ἐκ τῶν μαθημάτων τῶν διδασκάλων τῶν πρὸ αὐτῶν, μὴ διακρίνοντες τοὺς λόγους,

19. Α' Κορ. 13,9.
20. Ρωμ. 11,33.

ἅγιοι, μπόρεσαν νὰ καταλάβουν ὁλοκάθαρα ὅλα τὰ βάθη τοῦ Θεοῦ. Διότι ὁ Ἀπόστολος λέγει· «ἕνα μέρος γνωρίζομε, καὶ ἕνα μέρος προφητεύομε»[19]· καὶ πάλι· «στὸν ἕνα δίνεται διὰ τοῦ πνεύματος», αὐτὸ κι αὐτό, καὶ ὄχι ὅλα ἐκεῖνα σὲ κάθε ἄνθρωπο, ἀλλὰ ἄλλα ἔτσι, καὶ ἄλλα ἀλλιῶς· ὅλα ὅμως τὰ ἐνεργεῖ τὸ ἕνα καὶ τὸ αὐτὸ Πνεῦμα. Διότι, γνωρίζοντας ὁ Ἀπόστολος τὰ πράγματα τοῦ Θεοῦ ὅτι εἶναι ἀκατάληπτα, ἔκραξε λέγοντας, «πὼ πὼ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· πόσο ἀνεξερεύνητα εἶναι τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι οἱ δρόμοι του· ποιός γνωρίζει τὸν νοῦ τοῦ Κυρίου; ἢ ποιός ἔγινε σύμβουλός του;»[20] καὶ τὰ ὑπόλοιπα.

Φροντίζοντας λοιπὸν ἀπὸ μόνοι τους νὰ γίνουν διδάσκαλοι ἢ ἀναγκαζόμενοι ἀπὸ τοὺς ἀνθρώπους νὰ διδάξουν, πρόκοψαν πολὺ καὶ μάλιστα παραπάνω ἀπὸ τοὺς διδασκάλους τους, καὶ ἀφοῦ ἔλαβαν πληροφορία ἀπὸ τὸν Θεὸ σύνθεσαν καινούργια δόγματα, συγχρόνως ὅμως διατήρησαν τὶς παραδόσεις τῶν διδασκάλων τους, μαθήματα ποὺ δὲν ἦταν σωστά[21]. Μετὰ ἀπὸ αὐτά, ἀφοῦ πρόκοψαν καὶ ἔγιναν πνευματικοὶ διδάσκαλοι, δὲν παρακάλεσαν τὸν Θεὸ γιὰ τοὺς διδασκάλους τους νὰ τοὺς φανερώσει, ἂν ὅσα εἶπαν λέχθηκαν αὐτὰ διὰ τοῦ ἁγίου Πνεύματος. Ἀλλά, θεωρώντας τους σοφοὺς καὶ γνωστικούς, δὲν διέκριναν τὰ λόγια τους· ἀναμίχθηκαν λοιπὸν οἱ διδασκαλίες τῶν διδασκάλων τους μὲ τὶς δικές τους διδασκαλίες, καὶ μιλοῦσαν ἄλλοτε μὲ βάση τὴν διδασκαλία ποὺ ἔμαθαν ἀπὸ αὐτοὺς καὶ ἄλλοτε ἀπὸ τὴν εὐφυΐα τοῦ νοῦ τους, καὶ ἔτσι λοιπὸν γράφηκαν οἱ λόγοι μὲ τὸ ὄνομά τους. Δηλαδή, ἀφοῦ παρέλαβαν ἀπὸ ἄλλους[22] καὶ πρόκοψαν καὶ βελτιώθηκαν, μίλησαν φωτιζόμενοι ὑπὸ τοῦ ἁγίου Πνεύματος ὅ,τι πληροφορήθηκαν ἀπὸ αὐτό· συγχρόνως ὅμως μίλησαν καὶ ἀπὸ τὰ μαθήματα τῶν διδασκάλων τῶν πρὶν ἀπὸ αὐτούς, μὴ διακρίνοντας τοὺς λόγους τους, καὶ μὴ σκεπτόμενοι ἂν ἔπρεπε νὰ πληροφορηθοῦν ἀπὸ τὸν Θεὸ μὲ δέηση καὶ

21. Ἐδῶ ἔχει βασικὰ ὑπ' ὄψη τὸν Γρηγόριο Νύσσης, ὁ ὁποῖος κατὰ τὴν ἄποψη τοῦ Βαρσανουφίου ὁμιλεῖ ἐν μέρει κατὰ τὸ ἅγιο Πνεῦμα καὶ ἐν μέρει κατὰ τὸν Ὠριγένη.

22. Ἐδῶ ἐννοεῖ ὀρθοδόξους τώρα.

εἰ ὀφείλουσι πληροφορηθῆναι ὑπὸ τοῦ Θεοῦ διὰ δεήσεως καὶ ἐντεύξεως εἰ ἀληθῆ εἰσι. Καὶ συνεμίγησαν αἱ διδασκαλίαι, καί, ἐπειδὴ παρ' αὐτῶν ἐλαλήθησαν, ἐγράφησαν τῷ ὀνόματι αὐτῶν.

Ὅταν οὖν ἀκούσῃς τινὸς αὐτῶν ὅτι παρὰ Πνεύματος ἁγίου ἤκουσεν ἅπερ λαλεῖ, τοῦτο πληροφορία ἐστὶ καὶ ὀφείλομεν πιστεῦσαι. Ὅτε δὲ λέγει περὶ ἐκείνων τῶν λόγων, οὐχ εὑρίσκεις αὐτὸν λέγοντα τοῦτο· οὐ γὰρ ἀπὸ πληροφορίας, ἀλλ' ἀπὸ μαθημάτων τῶν πρώτων αὐτοῦ διδασκάλων ἐστί, καὶ προσέχων τῇ γνώσει αὐτῶν καὶ τῇ σοφίᾳ, οὐκ ἐπύθετο τὸν Θεὸν περὶ τούτων, εἰ ἀληθῆ εἰσι.

Ἰδοὺ ἠκούσατέ μου ὅλην τὴν ἀφροσύνην, ἡσυχάσατε λοιπὸν καὶ σχολάσατε τῷ Θεῷ, καί, παυσάμενοι τῆς ἀργολογίας, προσέχετε τοῖς πάθεσιν ὑμῶν, περὶ ὧν ἀπαιτηθήσεσθε λόγον ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως· περὶ γὰρ τούτων οὐκ ἀπαιτεῖσθε, 'Διὰ τί οὐκ οἴδατε ταῦτα ἢ ἐμάθετε ταῦτα;' Κλαύσατε λοιπὸν καὶ πενθήσατε, ἐξιχνιάσατε τὰ ἴχνη τῶν πατέρων ἡμῶν, Ποιμένος καὶ τῶν καθεξῆς, καὶ τρέχετε ἵνα καταλάβητε, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΧΕ'

Ἐρώτησις

Ὄντως, πάτερ, ὁδηγοί ἐστε τυφλῶν, καὶ φῶς ἐν Χριστῷ τῶν ἐσκοτισμένων, καὶ δι' ὑμῶν ἡ ἀλήθεια ἡμῖν ἐφανερώθη. Καὶ γὰρ εὑρίσκομεν καὶ εἰς βιβλία γερόντων, ὅτι ἦν τις μέγας γέρων καὶ κατὰ ἰδιωτείαν ἔλεγεν, ὅτι 'οὐκ ἔστιν ὁ ἄρτος ὃν μεταλαμβάνομεν σῶμα Χριστοῦ, ἀλλ' ἀντίτυπον', καὶ εἰ μὴ πρῶτον ἐδεήθη τοῦ Θεοῦ ὑπὲρ τούτου οὐκ ἐπέγνω τὴν ἀλήθειαν. Καὶ ἄλλος δέ, μέγας καὶ

23. Μὲ τὴν ἔννοια τῆς πνευματικῆς ἐπιβεβαιώσεως καὶ μαρτυρίας.

ἀναφορὰ ἂν εἶναι ἀληθινά. Ἔτσι λοιπὸν ἀναμίχθηκαν οἱ διδασκαλίες, καὶ ἐπειδὴ εἰπώθηκαν ἀπ' αὐτούς, γράφηκαν μὲ τὸ ὄνομά τους.

Ὅταν λοιπὸν ἀκούσεις κάποιον ἀπὸ αὐτοὺς νὰ λέγει, ὅτι ἄκουσε ἀπὸ τὸ ἅγιο Πνεῦμα αὐτὰ ποὺ λέγει, αὐτὸ εἶναι πληροφορία[23] καὶ ὀφείλομε νὰ τὸ πιστέψομε. Ὅταν ὅμως λέγει γιὰ τοὺς λόγους ἐκείνων τῶν διδασκάλων, δὲν τὸν βρίσκεις νὰ τὸ λέγει αὐτό· διότι δὲν εἶναι ἀπὸ πληροφορία, ἀλλὰ ἀπὸ μαθήματα τῶν πρώτων διδασκάλων του, καὶ ἔχοντας ἐμπιστοσύνη στὴ γνώση καὶ στὴ σοφία ἐκείνων, δὲν ἐρώτησε τὸν Θεὸ γι' αὐτά, ἂν εἶναι ἀληθινά.

Νά, ἀκούσατε ὅλη τὴν ἀφροσύνη μου· ἡσυχάστε λοιπὸν καὶ ἀφιερωθεῖτε στὸν Θεό, καί, ἀφοῦ σταματήσετε τὴν ἀργολογία, νὰ προσέχετε τὰ πάθη σας, γιὰ τὰ ὁποῖα θὰ σᾶς ἀπαιτηθεῖ λόγος κατὰ τὴν ἡμέρα τῆς κρίσεως. Διότι γι' αὐτὲς τὶς διδασκαλίες δὲν θὰ σᾶς ζητηθεῖ, 'γιατί δὲ γνωρίζατε αὐτὰ ἢ δὲν μάθατε αὐτά;' Κλάψτε λοιπὸν καὶ πενθῆστε, ἐξιχνιάστε τὰ ἴχνη τῶν πατέρων μας, τοῦ Ποιμένα[24] καὶ τῶν ὑπολοίπων, καὶ τρέχετε γιὰ νὰ φθάσετε, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

605

Ἐρώτηση

Πράγματι, πάτερ, εἶστε ὁδηγοὶ τῶν τυφλῶν καὶ φῶς ἐν Χριστῷ ἐκείνων ποὺ βρίσκονται στὸ σκοτάδι· μὲ σᾶς μᾶς φανερώθηκε ἡ ἀλήθεια. Διότι βρίσκομε καὶ σὲ βιβλία γερόντων, ὅτι ὑπῆρχε κάποιος μεγάλος γέροντας ποὺ ἀπὸ ἀπειρία ἔλεγε, ὅτι ὁ ἄρτος τὸν ὁποῖο μεταλαμβάνομε δὲν εἶναι σῶμα Χριστοῦ, ἀλλὰ τύπος· καὶ ἂν δὲν παρακαλοῦσε πρῶτα τὸν Θεὸ γι' αὐτὸ δὲν θὰ γνώριζε τὴν ἀλήθεια.

24. Ὁ Ποιμὴν εἶναι ἕνας ἀπὸ τοὺς μεγάλους πατέρες στὴ Σκήτη. Στὰ ἀποφθέγματα γερόντων διατηροῦνται 175 λόγιά του.

αὐτὸς γέρων, ἐνόμιζε τὸν Χριστὸν εἶναι τὸν Μελχισεδέκ, καὶ ὅτε τοῦ Θεοῦ ἐδεήθη, τότε ὁ Θεὸς αὐτῷ ἀπεκάλυψε. Ἀλλὰ συγχώρησόν μοι, πάτερ, διὰ τὸν Κύριον· τολμῶ γὰρ ἐρωτᾶν τὰ ὑπὲρ ἐμέ. Ἀλλ' ἐπειδὴ ὁ Θεὸς ἡμῶν διὰ τῆς ὑμῶν ἁγιωσύνης ἐφώτισεν ἡμᾶς εἰς τὴν ἀπλανῆ ὁδὸν τῆς ἀληθείας, παρακαλῶ περὶ τούτου τελείως ἡμῖν φανερωθῆναι, ἵνα καθαρεύσῃ ὁ νοῦς ἐκ τῆς περὶ τούτων ζητήσεως καὶ ἡ ἀσθενὴς ἡμῶν καρδία. Τίνος χάριν ἀφῆκεν ὁ Θεὸς τοὺς τοιούτους ἄνδρας πλανηθῆναι, κᾂν γὰρ αὐτοὶ οὐκ ᾔτησαν, διὰ τί οὐκ ἐδόθη αὐτοῖς ἐν χάριτι τοῦτο, εἰς ἀναίρεσιν τῆς βλάβης τῶν μετὰ ταῦτα ἀναγινωσκόντων; Εἰ γὰρ καὶ αὐτοὶ περὶ τὴν ὀρθὴν πίστιν καὶ τὴν ἀρετὴν οὐκ ἐνεποδίσθησαν, ἀλλ' οὖν οἱ κατ' ἐμὲ χαῦνοι καὶ ῥᾴθυμοι, τὸ ἀξιόπιστον αὐτῶν εἰς πίστιν προσδεξάμενοι, εὐχερῶς ἐντεῦθεν καταβλάπτονται, μὴ εἰδότες ἅπερ εἴπατε, ὅτι 'οὐ πάντα ἠδυνήθησαν οἱ ἅγιοι τὰ μυστήρια καταλαβεῖν, καὶ ὅτι τοῦ Θεοῦ οὐκ ἐδεήθησαν περὶ πληροφορίας, εἰ ἀληθῆ ταῦτά ἐστι'. Σαφήνισον οὖν μοι καὶ τοῦτο, πάτερ εὔσπλαγχνε, συγκαταβαίνων τῇ ἀσθενείᾳ μου.

Ἀπόκρισις

Τέκνον, οὐκ ἀφῆκεν ὁ Θεὸς τοὺς τοιούτους ἄνδρας πλανηθῆναι· ὁ γὰρ ἀφείς τινα πλανηθῆναι, ἔστιν ὁ ἐρωτώμενος περὶ τῆς ὁδοῦ καὶ μὴ λέγων αὐτῷ τὴν ἀλήθειαν. Οὐκ ἠρώτησαν οὖν τὸν Θεὸν περὶ τούτου, ἵνα λάβωσι παρ' αὐτοῦ τὴν ἀλήθειαν. Εἰ δὲ λέγεις ὅτι, 'Διὰ τί ὁ Θεὸς χάριτι οὐκ ἐκώλυσεν αὐτοὺς διὰ τὴν ὠφέλειαν τῶν μετ' αὐτοὺς ἀναγινωσκόντων αὐτά;' δύνασαι τοῦτο εἰπεῖν καὶ περὶ παντὸς ἁμαρτωλοῦ· ὅτι, 'εἰδὼς ὁ Θεὸς ὅτι, ἐὰν ἁμάρτῃ τύπος γίνεται πολλοῖς, διὰ τί χάριτι οὐκ ἐκώλυσεν αὐτόν, ἵνα μὴ δι' αὐτοῦ βλαβῶσι πολλοί;' καὶ εὑρίσκεται ἀναγκαστικὴ ἡ ζωὴ τοῖς ἀνθρώποις.

Καὶ ἄλλος, μεγάλος καὶ αὐτὸς γέροντας, νόμιζε ὅτι ὁ Χριστὸς εἶναι ὁ Μελχισεδέκ, καὶ ὅταν παρακάλεσε τὸν Θεό, τότε ὁ Θεὸς τοῦ τὸ ἀποκάλυψε. Ἀλλὰ συγχώρεσέ με, πάτερ, στὸ ὄνομα τοῦ Κυρίου· διότι τολμῶ νὰ ἐρωτῶ ἐκεῖνα ποὺ εἶναι πάνω ἀπὸ μένα. Ἐπειδὴ ὅμως ὁ Θεός μας μᾶς φώτισε μὲ τὴν ἁγιωσύνη σας στὸν ἀπλάνευτο δρόμο τῆς ἀλήθειας, παρακαλῶ γι' αὐτὸ νὰ μᾶς φανερωθεῖ τελείως, γιὰ νὰ καθαρίσει ἀπὸ τὴ ζήτηση αὐτῶν τῶν πραγμάτων ὁ νοῦς καὶ ἡ ἀσθενὴς καρδιά. Γιὰ ποιό σκοπὸ ἄφησε ὁ Θεὸς αὐτοὺς τοὺς ἄνδρες νὰ πλανηθοῦν; Γιατί δηλαδή, κι ἂν ἀκόμη αὐτοὶ δὲν ζήτησαν, δὲν τοὺς δόθηκε ἡ διαφώτιση κατὰ χάριν, πρὸς ἀναίρεση τῆς βλάβης ἐκείνων ποὺ τὰ διαβάζουν στὴ συνέχεια; Διότι, ἂν καὶ αὐτοὶ δὲν ἐμποδίσθηκαν γιὰ τὴν ὀρθὴ πίστη καὶ τὴν ἀρετή, πάντως οἱ ὅπως ἐγὼ χαῦνοι καὶ ράθυμοι, ποὺ πίστεψαν στὴν ἀξιοπιστία τους, εὔκολα καταβλάπτονται ἀπὸ αὐτά, μὴ γνωρίζοντας αὐτὰ ποὺ εἴπατε, ὅτι οἱ ἅγιοι δὲν μπόρεσαν νὰ καταλάβουν ὅλα τὰ μυστήρια καὶ ὅτι δὲν παρακάλεσαν τὸν Θεὸ νὰ τοὺς πληροφορήσει, ἂν αὐτὰ εἶναι ἀληθινά. Διασάφησέ μου λοιπὸν κι αὐτό, εὔσπλαγχνε πάτερ, δείχνοντας συγκατάβαση στὴν ἀσθένειά μου.

Ἀπόκριση

Τέκνο, ὁ Θεὸς δὲν ἄφησε αὐτοὺς τοὺς ἄνδρες νὰ πλανηθοῦν· διότι ἐκεῖνος ποὺ ἀφήνει κάποιον νὰ πλανηθεῖ εἶναι αὐτὸς ποὺ ἐρωτᾶται γιὰ τὸν δρόμο καὶ δὲν λέγει σ' αὐτὸν τὴν ἀλήθεια. Δὲν ἐρώτησαν λοιπὸν τὸν Θεὸ γι' αὐτό, ὥστε νὰ λάβουν ἀπὸ αὐτὸν τὴν ἀλήθεια. Ἂν ὅμως λές, 'γιατί ὁ Θεὸς δὲν τοὺς ἐμπόδισε μὲ τὴ χάρη του γιὰ τὴν ὠφέλεια αὐτῶν ποὺ τὰ διαβάζουν μετὰ ἀπὸ αὐτούς', αὐτὸ μπορεῖς νὰ τὸ πεῖς καὶ γιὰ κάθε ἁμαρτωλό· ὅτι δηλαδή, ἀφοῦ ὁ Θεὸς γνωρίζει ὅτι, ἂν ἁμαρτήσει, γίνεται παράδειγμα στοὺς πολλούς, γιατί δὲν τὸν ἐμπόδισε μὲ τὴ χάρη, γιὰ νὰ μὴ βλαβοῦν ἀπὸ αὐτὸν οἱ πολλοί; Ἔτσι ὅμως ἡ ζωὴ γίνεται ἀναγκαστικὴ στοὺς ἀνθρώπους.

Καὶ τί οὖν κωλύει τὸν Θεὸν τούτῳ τῷ τρόπῳ σῶσαι πάντα ἄνθρωπον; Τί γὰρ καὶ εἰς τὴν Γραφὴν οὐκ ἔστι ῥήματα, τοῖς ἀμαθέσι καὶ μὴ γινώσκουσι τὸ πνευματικὸν τῆς Γραφῆς πρόσκομμα; Ὀφείλομεν οὖν εἰπεῖν, 'διὰ τί τὸ πνευματικὸν τῆς Γραφῆς φανερῶς οὐκ εἶπεν ὁ Θεός, ἵνα μὴ βλαβῶσιν ἄνθρωποι, ἀλλ' ἀφῆκε τοῖς κατὰ καιρὸν ἁγίοις πόνον τοῦ ἑρμηνεῦσαι τὰ ζητούμενα;' Διὰ τοῦτο διδάσκαλοι καὶ ἐξηγηταί, καθὼς λέγει ὁ Ἀπόστολος. Μὴ οὖν πλανηθῇς περὶ ὧν ἠρώτησας ἀνδρῶν· εἰ γὰρ ᾔτησαν τὸν Θεόν, εἶχον λαβεῖν· φησὶ γὰρ «πᾶς ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει». Καθὼς δὲ διὰ τῶν Προφητῶν καὶ Ἀποστόλων ἐφανέρωσε τὴν ὁδὸν τῆς ζωῆς ὁ Θεός, οὕτως ἕκαστος ἐλάλησε μερικῶς. Καὶ δι' ἑνὸς μόνου οὐκ ἐλαλήθη· ἀλλ' εἴ τι ἀφῆκεν οὗτος, ἐλάλησεν ἐκεῖνος θελήματι Θεοῦ. Οὕτως ἐποίησεν ὁ Θεὸς καὶ εἰς τοὺς μετ' αὐτοὺς ἁγίους· καὶ εἴ τι λέγουσιν οἱ πρῶτοι ἔχον ἀμφίβολον, ἀλληγοροῦσιν οἱ ἔσχατοι, ἵνα πάντοτε δοξάζηται ὁ Θεὸς διὰ τῶν ἁγίων αὐτοῦ· αὐτὸς γάρ ἐστιν ὁ Θεὸς τῶν πρώτων καὶ τῶν ἐσχάτων. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

XS'

Ἐρώτησις

Συγχώρησόν μοι, πάτερ φιλάνθρωπε, διὰ τὸν Κύριον, ὅτι πάνυ θλίβομαι· ἀνέγνων γὰρ εἰς βιβλίον δογματικὸν καὶ βλέπω τὴν καρδίαν μου τεταραγμένην· καὶ δηλῶσαι ὑμῖν περὶ τούτου φοβοῦμαι καὶ σιωπῆσαι οὐ δύναμαι ἀπὸ τῶν λογισμῶν. Τί οὖν κελεύεις ποιήσω, ἅγιε πάτερ;

Ἀπόκρισις

Απειδὴ ὁ διάβολος θέλει σε ἐμβαλεῖν εἰς ἀδολεσχίαν ἀνωφελῆ, εἰπὲ ὃ θέλεις, ὁ δὲ Θεὸς χώραν μὴ παράσχῃ αὐτῷ.

---

25. Ματθ. 7,8.
26. Ὁ γέροντας ἀντιλήφθηκε ὅτι αὐτὸς ποὺ ἐρωτᾶ ἔχει στὴ σκέψη του

Καὶ τί ἐμποδίζει λοιπὸν τὸν Θεὸ νὰ σώσει μ' αὐτὸ τὸν τρόπο κάθε ἄνθρωπο; Τί δηλαδή; Δὲν ὑπάρχουν καὶ στὴ Γραφὴ λόγια ποὺ γίνονται ἐμπόδιο γιὰ τοὺς ἀμαθεῖς καὶ γιὰ ἐκείνους ποὺ ἀγνοοῦν τὸ πνευματικὸ νόημα τῆς Γραφῆς; Πρέπει λοιπὸν νὰ ποῦμε, γιατί ὁ Θεὸς δὲν ἐξήγησε φανερὰ τὸ πνευματικὸ νόημα τῆς Γραφῆς, γιὰ νὰ μὴ βλαβοῦν οἱ ἄνθρωποι, ἀλλ' ἄφησε στοὺς κατὰ καιρὸν ἁγίους κόπο γιὰ νὰ ἑρμηνεύσουν τὰ ζητούμενα; Γι' αὐτὸ δόθηκαν διδάσκαλοι καὶ ἐξηγητές, ὅπως λέγει ὁ Ἀπόστολος. Νὰ μὴ πλανηθεῖς λοιπὸν γιὰ τοὺς ἄνδρες ποὺ ἐρώτησες· ἂν παρακαλοῦσαν τὸν Θεό, θὰ ἔπαιρναν πληροφορία· διότι λέγει «ὁ καθένας ποὺ ζητεῖ παίρνει, καὶ αὐτὸς ποὺ ἐρευνᾶ βρίσκει»[25]. Καθὼς ὁ Θεὸς φανέρωσε τὸν δρόμο τῆς ζωῆς μὲ τοὺς Προφῆτες καὶ τοὺς Ἀποστόλους, ἔτσι ὁ καθένας μίλησε μερικῶς. Καὶ δὲν εἰπώθηκε ἀπὸ ἕναν μόνο, ἀλλ' ὅ,τι ἄφησε ὁ ἕνας τὸ εἶπε ὁ ἄλλος μὲ τὸ θέλημα τοῦ Θεοῦ· τὸ ἴδιο ἔκανε ὁ Θεὸς καὶ στοὺς μετὰ ἀπὸ αὐτοὺς ἁγίους· καὶ ἂν λένε κάτι ἀμφίβολο οἱ πρῶτοι, ἀλληγοροῦν οἱ τελευταῖοι, γιὰ νὰ δοξάζεται πάντοτε ὁ Θεὸς μὲ τοὺς ἁγίους του· διότι αὐτὸς εἶναι ὁ Θεὸς τῶν πρώτων καὶ τῶν τελευταίων. Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

606

Ἐρώτηση

Συγχώρεσέ με, φιλάνθρωπε πάτερ, στὸ ὄνομα τοῦ Κυρίου, διότι θλίβομαι πολύ. Διάβασα ἕνα δογματικὸ βιβλίο καὶ βλέπω τὴν καρδιά μου ταραγμένη· φοβᾶμαι βέβαια νὰ σᾶς δηλώσω γι' αὐτό, ἀλλὰ δὲν μπορῶ νὰ σιωπήσω ἀπὸ τοὺς λογισμούς. Τί λοιπὸν διατάζεις νὰ κάνω, ἅγιε πάτερ;

Ἀπόκριση

Επειδὴ ὁ διάβολος θέλει νὰ σὲ βάλει σὲ ἀνωφελὴ ἀσχολία, πὲς αὐτὸ ποὺ θέλεις, καὶ ὁ Θεὸς δὲν θὰ δώσει τόπο σ' αὐτόν[26].

τοὺς Ὠριγενιστὰς ποὺ ἄκμαζαν αὐτὴ τὴν ἐποχή.

ΧΖ'

Ἐρώτησις

Περὶ τῆς ἀναστάσεως τῶν σωμάτων τῶν ἁγίων, εἰπέ μοι, εἰ ἐν τούτῳ τῷ σώματι ἐγείρονται ἐν ᾧ ἐσμεν ἄρτι ἔχοντι ὀστέα καὶ νεῦρα, ἀλλ' ἢ ἀέριον καὶ στρογγύλον. Καὶ τὸ τοῦ Κυρίου γὰρ τοιοῦτον ἔσεσθαι λέγουσιν ἐν τῇ μελλούσῃ ἀναστάσει, ἀρνούμενοι ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν ἐν τῷ ἡμετέρῳ σώματι, ὅπερ ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας διὰ τὴν ἡμετέραν σωτηρίαν ἔλαβε· καὶ ὅτι φασὶ τοῦτο εἶναι, ὃ λέγει ὁ Ἀπόστολος· «ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ»· καὶ πάλιν λέγουσιν, ὁ Ἀπόστολος εἶπεν, ὅτι «σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται»· τοῦτο λέγοντες, ὅτι οὐκ ἐνδέχεται τὸ σῶμα τοῦτο διαιωνίσαι, ἀπὸ τροφῆς γὰρ συνίσταται καὶ ἐν τῷ μέλλοντι αἰῶνι φαγεῖν καὶ πιεῖν οὐκ ἔστι. Καὶ πάλιν λέγουσι, ὅτι περὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ λέγει ὁ Ἀπόστολος· «ὅταν ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσι». Καὶ πάλιν προφέροντες τὸ εἰρημένον τῷ Ἐκκλησιαστῇ, «ἤδη γέγονεν ἐν τοῖς αἰῶσι τοῖς γενομένοις ἔμπροσθεν ἡμῶν», κατασκευάζουσιν ἐντεῦθεν τὴν προΰπαρξιν· καὶ τὸ εἰρημένον δὲ ἐν τῷ Εὐαγγελίῳ, ὅτι «οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν ἕως οὗ ἀποδῷς τὸν ἔσχατον κοδράντην», διαβεβαιοῦνται ἡμῖν τέλος εἶναι τῆς κολάσεως.

Σαφήνισον οὖν μοι ταῦτα διὰ τὸν Κύριον, δέσποτα, ἵνα

---

27. Φιλιπ. 3,21.
28. Α' Κορ. 15,50.

607

Ἐρώτηση

Πές μου γιὰ τὴν ἀνάσταση τῶν σωμάτων τῶν ἁγίων, ἂν ἀνασταίνονται μ' αὐτὸ τὸ σῶμα μὲ τὸ ὁποῖο εἴμαστε τώρα καὶ τὸ ὁποῖο ἔχει ὀστὰ καὶ νεῦρα, ἢ μὲ ἕνα ἀέρινο καὶ στρόγγυλο σῶμα. Διότι λένε ὅτι καὶ τοῦ Κυρίου τὸ σῶμα θὰ εἶναι τέτοιο στὴ μέλλουσα ἀνάσταση, ἀρνούμενοι ὅτι ἀναστήθηκε Αὐτὸς μὲ τὸ δικό μας σῶμα, τὸ ὁποῖο πῆρε ἀπὸ τὴν ἁγία Θεοτόκο καὶ ἀειπαρθένο Μαρία γιὰ τὴ σωτηρία μας. Καὶ λένε ὅτι αὐτὸ σημαίνει ἐκεῖνο ποὺ λέγει ὁ Ἀπόστολος· «ὁ ὁποῖος θὰ μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεώς μας, ὥστε νὰ γίνει σύμμορφο πρὸς τὸ σῶμα τῆς δόξας του»[27]· καὶ πάλι λένε ὅτι ὁ Ἀπόστολος εἶπε· «ἡ σάρκα καὶ τὸ αἷμα δὲν μποροῦν νὰ κληρονομήσουν τὴ βασιλεία τοῦ Θεοῦ»[28], ἐννοώντας μ' αὐτό, ὅτι δὲν μπορεῖ αὐτὸ τὸ σῶμα νὰ διαιωνισθεῖ, διότι συντηρεῖται ἀπὸ τροφή, καὶ δὲν εἶναι δυνατὸ νὰ φάγει καὶ νὰ πιεῖ στὸν μέλλοντα αἰώνα. Καὶ πάλι λένε ὅτι ὁ Ἀπόστολος λέγει γιὰ τὸν Κύριό μας τὸν Ἰησοῦ Χριστό· «ὅταν ὑποταγοῦν ὅλα σ' αὐτόν, τότε καὶ ὁ ἴδιος ὁ Υἱὸς θὰ ὑποταγεῖ σ' αὐτὸν ποὺ ὑπέταξε τὰ πάντα, γιὰ νὰ εἶναι ὁ Θεὸς τὰ πάντα σὲ ὅλα»[29]. Καὶ ἐπίσης προβάλλοντας τὰ λεγόμενα στὸν Ἐκκλησιαστή, «ἤδη ἔχει γίνει στοὺς αἰῶνες ποὺ ὑπῆρξαν πρὶν ἀπὸ μᾶς»[30], κατασκευάζουν ἀπὸ ἐδῶ τὴν προΰπαρξη τῆς ψυχῆς· καὶ τὸ λεγόμενο στὸ Εὐαγγέλιο, ὅτι «δὲν θὰ ἐξέλθεις ἀπὸ ἐκεῖ ὡς ποὺ νὰ δώσεις τὸν τελευταῖο κοδράντη»[31], μᾶς διαβεβαιώνουν ὅτι ὑπάρχει τέλος στὴν κόλαση.

Διασάφησέ μου λοιπόν, δέσποτα, αὐτὰ τὰ πράγματα,

29. Α΄ Κορ. 15,28.
30. Ἐκκλ. 1,10.
31. Τὸ τέταρτο τοῦ ἀσσαρίου νομίσματος, Ματθ. 5,26.

μὴ πλανήσῃ με ὁ ἐχθρὸς καὶ ἐμπέσω ἐξ ἀγνοίας εἰς τὰς παγίδας αὐτοῦ τὰς πονηράς, ὅτι πανταχόθεν ἐκ τῆς ἀφροσύνης μου σαλεύομαι, ἐπειδὴ οὐκ ἐκράτησα τοὺς ἁγίους σου λόγους καὶ ἀπέστην ἐξ ἀρχῆς τῆς τῶν πραγμάτων τούτων ζητήσεως, ὅτι μέγαν ἔχουσι κίνδυνον τῆς ψυχῆς. Καὶ εὖξαι ὑπὲρ ἐμοῦ, πάτερ ἀγαθέ, ἵνα τοῦ λοιποῦ ἀνανήψω καὶ μεριμνήσω περὶ τοῦ κλαυθμοῦ τῶν ἁμαρτιῶν μου καὶ συγχώρησόν μοι ὅτι ἐτόλμησα ταῦτα ἐρωτῆσαι, ἀλλ' ὡς εἰδότες τὰ πάντα ἐπιτρέψατέ μοι εἰπεῖν.

Ἀπόκρισις

Ἀδελφέ, προέγραψά σοι, ὅτι ἄκαιρον ἀδελεσχίαν ἔσπειρεν ἐν σοὶ ὁ διάβολος· ὁ καιρός σου γάρ ἐστι κλαῦσαι καὶ πενθῆσαι τὰς ἁμαρτίας σου. Ἀλλ' ὅμως, ἵνα μὴ ἀφῶ σε τοῖς λογισμοῖς, εἰ μαθεῖν θέλεις περὶ τῆς ἀναστάσεως, εἰ πιστεύεις τοῖς προφήταις, ἔδειξεν ἡμῖν ὁ Θεὸς τὴν ἀνάστασιν πῶς ἔσται, διὰ Ἰεζεκιὴλ τοῦ προφήτου· πῶς συνήχθη ὀστοῦν πρὸς ὀστοῦν, καὶ ἁρμονία πρὸς ἁρμονίαν, καὶ φλέβες καὶ δέρμα καὶ νεῦρα καὶ οὕτως ἀνέστησαν.

Καὶ ὁ Ἀπόστολος, εἰδὼς ὅτι ἐγειρόμεθα τοῖς σώμασιν, ἐδίδαξε λέγων· «δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν». Μὴ πλανηθῇς· σὺν τοῖς ὀστέοις καὶ νεύροις καὶ θριξὶ τὰ σώματα ἐγείρονται, καὶ οὕτως ἔσονται εἰς τὸν αἰῶνα, ἀλλ' ὅμως φωτεινότερα καὶ ἐνδοξότερα κατὰ τὴν φωνὴν τοῦ Κυρίου λέγοντος· «τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν». Τὴν δόξαν προστίθησιν ἐν τοῖς σώμασιν· οἷόν τι λέγω· ὁ ἄνθρωπος εἰσέρχεται εἰς τὸν βασιλέα παγανός, καὶ ποιεῖ αὐτὸν στρατηλάτην καὶ ἐξέρχεται δεδοξασμένος. Οὐχὶ ὁ αὐτός ἐστι; μὴ

στὸ ὄνομα τοῦ Κυρίου, γιὰ νὰ μὴ μὲ πλανήσει ὁ ἐχθρὸς καὶ ἀπὸ ἄγνοια πέσω μέσα στις πονηρὲς παγίδες του· διότι ἀπὸ τὴν ἀφροσύνη μου σαλεύομαι ἀπὸ παντοῦ, ἐπειδὴ δὲν κράτησα τοὺς ἅγιους λόγους σου καὶ δὲν στάθηκα ἀπὸ τὴν ἀρχὴ μακριὰ ἀπὸ τὴ συζήτηση αὐτῶν τῶν πραγμάτων, ποὺ ἔχουν μεγάλο κίνδυνο γιὰ τὴν ψυχή. Καὶ προσευχήσου γιὰ μένα, ἀγαθὲ πάτερ, γιὰ νὰ ἀνανήψω στὸ ἑξῆς καὶ νὰ μεριμνήσω γιὰ τὸν κλαυθμὸ τῶν ἁμαρτιῶν μου, καὶ συγχώρεσέ με, ποὺ τόλμησα νὰ ἐρωτήσω αὐτά, ἀλλά, ἐπειδὴ γνωρίζετε τὰ πάντα, ἐπιτρέψατέ μου νὰ τὰ πῶ.

Ἀπόκριση

Ἀδελφέ, σοῦ ἔγραψα πρὶν ὅτι ὁ διάβολος σοῦ ἔσπειρε ἄκαιρη ἀσχολία· διότι ὁ καιρός σου εἶναι νὰ κλάψεις καὶ νὰ πενθήσεις τὶς ἁμαρτίες σου. Ἀλλ' ὅμως, γιὰ νὰ μὴ σὲ ἀφήσω στοὺς λογισμούς, ἂν θέλεις νὰ μάθεις γιὰ τὴν ἀνάσταση, ἂν πιστεύεις στοὺς Προφῆτες, ὁ Θεὸς μᾶς ἔδειξε πῶς θὰ εἶναι ἡ ἀνάσταση μὲ τὸν προφήτη Ἰεζεκιήλ· πῶς συνάχθηκαν καὶ συνδέθηκαν ὀστὸ μὲ ὀστὸ καὶ ἁρμὸς μὲ ἁρμὸ καὶ φλέβες καὶ δέρμα καὶ νεῦρα καὶ ἔτσι ἀναστήθηκαν.

Καὶ ὁ Ἀπόστολος, γνωρίζοντας ὅτι ἀνασταινόμαστε μὲ τὰ σώματα, δίδαξε λέγοντας· «διότι πρέπει αὐτὸ τὸ φθαρτὸ νὰ ντυθεῖ ἀφθαρσία, καὶ αὐτὸ τὸ θνητὸ νὰ ντυθεῖ ἀθανασία»[32]. Μὴ πλανηθεῖς· τὰ σώματα ἀνασταίνονται μὲ τὰ ὀστὰ καὶ τὰ νεῦρα καὶ τὶς τρίχες, καὶ ἔτσι θὰ εἶναι στὸν αἰώνα, ἀλλὰ φωτεινότερα καὶ ἐνδοξότερα σύμφωνα μὲ τὰ λόγια τοῦ Κυρίου ποὺ λέγει· «τότε οἱ δίκαιοι θὰ λάμψουν μέσα στὴ βασιλεία τῶν οὐρανῶν ὅπως ὁ ἥλιος»[33]. Προσθέτει δηλαδὴ στὰ σώματα τὴ δόξα. Ἐννοῶ τὸ ἑξῆς μ' αὐτὸ ποὺ λέγω· ἕνας ἄνθρωπος χωρικὸς εἰσέρχεται στὸν βασιλιὰ καὶ αὐτὸς τὸν κάνει στρατηλάτη καὶ ἐξέρχεται δοξασμένος. Δὲν εἶναι ὁ ἴδιος; μήπως ἀλλάχθηκε τὸ σῶμα;

32. Α΄ Κορ. 15,53.
33. Ματθ. 13,43.

τὸ σῶμα ἠλλάγη; Ἢ ὡς ἄνθρωπος διάκονος ἄφνω χειροτονηθεὶς ἐπίσκοπος, καὶ εὑρίσκεται παραχρῆμα δεδοξασμένος, οὕτω καὶ ὧδε.

Καὶ τί γάρ; ὡς εἰσιν ἄρτι ἄνθρωποι ἐν τῷ σώματι, οὐ γίνονται θεοφόροι; Καὶ πῶς εἶδε Μωσῆς τὸν Κύριον, πρὸ αὐτοῦ δὲ Ἀβραὰμ καὶ Ἰακὼβ καὶ Στέφανος ἐν ταῖς Πράξεσι καὶ οἱ λοιποί; μὴ ἀσώματοι ἦσαν; Οὕτως ἔσται καὶ ἐν τῇ ἀναστάσει, ταῦτα μὲν τὰ σώματα, ἄφθαρτα δὲ καὶ ἀθάνατα καὶ ἐνδοξότερα. Διὰ τοῦτο λέγει ὁ Ἀπόστολος περὶ τοῦ ἀνθρωπίνου σώματος· «σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ· σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν». Ταῦτα λέγει, ὅτι πολλοὶ τῶν ἁγίων οὔκ εἰσι φανεροὶ τοῖς ἀνθρώποις, ἀλλὰ μᾶλλον ἄτιμοι ἐν ὀφθαλμοῖς αὐτῶν, καὶ ὅταν λάβωσιν ἐκεῖ τὴν δόξαν ὡς χειροτονίαν, φανεροῦνται πᾶσιν ὅτι πνευματικοί εἰσι. Διὰ τοῦτο λέγει, «σπείρεται σῶμα ψυχικὸν παρὰ ἀνθρώποις, ἐγείρεται σῶμα πνευματικὸν ἔνδοξον», καὶ θαυμάζουσι πάντες. Τοῦτο δὲ λέγει ὁ Ἀπόστολος «ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, εἰς τὸ εἶναι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ». Ἐπειδὴ φωτοειδῆ ποιεῖ αὐτά, κατὰ τὸ σῶμα αὐτοῦ, ὡς εἶπεν ὁ Ἀπόστολος Ἰωάννης, ὅτι «ὅταν φανερωθῇ, τότε ὅμοιοι αὐτῷ ἐσόμεθα»· ὅτι φῶς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ αὐτοὶ υἱοὶ Θεοῦ εἰσι, κατὰ τὸν Ἀπόστολον, καὶ υἱοὶ φωτός· κατὰ τοῦτο λέγει ὅτι «μεταχηματίσει».

Περὶ δὲ τοῦ λέγειν, «ὅταν ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα», πρῶτον μάθε τίνι ἔγραψε ταῦτα, Κορινθίοις· καὶ ἀκμὴν ὁ ἑλληνισμὸς ἦν, καὶ ἔθος ἦν παρά τισι τῶν Ἑλλήνων οὕτως· ὅταν ἤρχετο ὁ υἱὸς τοῦ βασιλέως αὐτῶν εἰς ἡλικίαν, ἠγείρετο καὶ

---

34. Α' Κορ. 15,44.
35. Φιλιπ. 3,21.

Ἐπίσης ἕνας ἄνθρωπος διάκονος, ὅταν χειροτονηθεῖ ξαφνικὰ ἐπίσκοπος, καθίσταται ἀμέσως δοξασμένος· τὸ ἴδιο γίνεται καὶ ἐδῶ.

Τί δηλαδή; Καὶ ὅταν ἀκόμη εἶναι ἄνθρωποι καὶ βρίσκονται στὸ σῶμα, δὲν γίνονται θεοφόροι; Πῶς τότε ὁ Μωϋσῆς εἶδε τὸν Κύριο, καὶ πρὶν ἀπὸ αὐτὸν ὁ Ἀβραὰμ καὶ ὁ Ἰακὼβ καὶ ὁ Στέφανος στὶς Πράξεις καὶ οἱ ὑπόλοιποι; Μήπως ἦταν ἀσώματοι; Ἔτσι θὰ εἶναι καὶ στὴν ἀνάσταση, τὰ ἴδια βέβαια τὰ σώματα, ἄφθαρτα ὅμως καὶ ἀθάνατα καὶ ἐνδοξότερα. Γι' αὐτὸ καὶ ὁ Ἀπόστολος λέγει γιὰ τὸ ἀνθρώπινο σῶμα· «σπείρεται μὲ ἀτιμία, ἀνασταίνεται μὲ δόξα· σπείρεται ψυχικὸ σῶμα, ἀνασταίνεται πνευματικὸ σῶμα»[34]. Τὰ λέγει αὐτά, διότι πολλοὶ ἀπὸ τοὺς ἁγίους δὲν εἶναι φανεροὶ στοὺς ἀνθρώπους ὡς ἅγιοι, ἀλλὰ μᾶλλον εἶναι ἄτιμοι στὰ μάτια τους, ὅταν ὅμως λάβουν ἐκεῖ τὴ δόξα σὰν χειροτονία, φανερώνονται σὲ ὅλους ὅτι εἶναι πνευματικοί. Γι' αὐτὸ λέγει, σπείρεται στοὺς ἀνθρώπους ψυχικὸ σῶμα, ἀνασταίνεται πνευματικὸ καὶ ἔνδοξο σῶμα καὶ ὅλοι ἀποροῦν. Αὐτὸ τὸ λέγει ὁ Ἀπόστολος· «ὁ ὁποῖος θὰ μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεώς μας, ὥστε νὰ εἶναι αὐτὸ σύμμορφο μὲ τὸ σῶμα τῆς δόξας του»[35]. Ἐπειδὴ κάνει αὐτὰ φωτοειδή, σύμφωνα μὲ τὸ σῶμα του, ὅπως εἶπε ὁ Ἀπόστολος Ἰωάννης, «ὅταν θὰ φανερωθεῖ, τότε θὰ εἴμαστε ὅμοιοί του»[36], διότι ὁ Υἱὸς τοῦ Θεοῦ εἶναι φῶς καὶ αὐτοὶ εἶναι υἱοὶ τοῦ Θεοῦ σύμφωνα μὲ τὸν Ἀπόστολο, καὶ υἱοὶ φωτός· γι' αὐτὸ λέγει ὅτι «θὰ τὸ μετασχηματίσει».

Σχετικὰ μὲ τὸ λόγο «ὅταν θὰ ὑποταγοῦν σ' αὐτὸν τὰ πάντα, τότε καὶ ὁ ἴδιος ὁ Υἱὸς θὰ ὑποταγεῖ σ' ἐκεῖνον ποὺ ὑπέταξε σ' αὐτὸν τὰ πάντα»[37], πρῶτα μάθε σὲ ποιοὺς τὰ ἔγραψε αὐτά, στοὺς Κορινθίους. Ὑπῆρχε ἀκόμη τότε εἰδωλολατρία, καὶ ὑπῆρχε ἡ ἑξῆς συνήθεια σὲ μερικοὺς εἰδωλολάτρες· ὅταν ἔφθανε ὁ γιὸς τοῦ βασιλιᾶ τους σὲ ἡλικία, σηκωνόταν καὶ σκότωνε

---

36. Α΄ Ἰω. 3,2.
37. Α΄ Κορ. 15,28.

ἐφόνευε τὸν ἴδιον πατέρα. Καὶ ἵνα μή, δεχόμενοι τὸ κήρυγμα τοῦ Ἀποστόλου, ἔχωσι, κατὰ τὸ ἔθος αὐτῶν, καὶ περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ τὸ αὐτὸ ὑπολαβεῖν, ἐξώρισε τὴν κοινωνίαν ταύτην ἀπ' αὐτῶν, λέγων αὐτοῖς· «ὅταν ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα». Ἀλλ' ὅταν οἱ ἐχθροὶ αὐτοῦ δεδεμένοι ὑπὸ τοὺς πόδας αὐτοῦ ἔρχωνται, τὸν διάβολον λέγει καὶ τὰς δυνάμεις αὐτοῦ καὶ τοὺς ἐξακολουθοῦντας τοῖς αὐτῶν θελήμασι· διὰ τοῦτο ἄρα ἔλεγεν ὁ Ἀπόστολος, «οὔπω θεωροῦμεν τὰ πάντα ὑποτεταγμένα αὐτῷ». Ἕως πότε; Ἕως ἥξουσιν οἱ ἄγγελοι τοῦ Θεοῦ καὶ Πατρός, τοῦ εἰπόντος αὐτῷ· «κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου». Τούτους τοὺς ἐχθροὺς εἰς τὴν κρίσιν ἄγει τοῦ Υἱοῦ τοῦ Θεοῦ· «ὁ γὰρ Πατήρ», φησίν, «οὐδένα κρίνει, ἀλλ' ὅλην τὴν κρίσιν δέδωκε τῷ Υἱῷ». Καὶ ἵνα μάθῃς, πῶς παραδίδωσι τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί, ἄκουσον.

Ὁ Υἱὸς τοῦ Θεοῦ σαρκωθεὶς ἦλθε καλέσαι καὶ ἁγιάσαι διὰ τοῦ ἁγίου αὐτοῦ αἵματος ἔθνος ἅγιον, λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων, βασίλειον ἱεράτευμα· καὶ νόησον, μεθ' ὃν ὑποτάσσονται αὐτῷ οἱ ἐχθροὶ αὐτοῦ καὶ κρινεῖ αὐτούς, καὶ αὐτὸς ὡς τύπος ὑποταγῆς παραδίδωσι τὴν βασιλείαν, ἣν περιποιήσατο, τὸν λαὸν τὸν ἅγιον, τῷ Θεῷ καὶ Πατρί, λέγων «ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκας». Καὶ ἵνα μάθῃς τὴν ἰσότητα, ὁ Πατὴρ τὴν κρίσιν δέδωκε τῷ Υἱῷ πᾶσαν· καὶ ὁ Υἱὸς οὓς ἐκάλεσε δέδωκε τῷ Πατρί· καὶ οὕτως ὁ λόγος πληροῦται τὸ «ὅταν ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα».

Περὶ δὲ τῶν αἰώνων ὧν λέγει ὅτι εἶπεν ο Ἐκκλησιαστής, γίνωσκε, ὅτι πᾶς χρόνος ἀνθρώπου αἰὼν αὐτοῦ ἐστι· διὰ τοῦτο οὐκ εἶπεν, ὅτι ἤδη γέγονεν ἐν τοῖς αἰῶσι τοῦ κόσμου τούτου τοῖς

---

38. Ψαλμ. 109,1.
39. Ἰω. 5,22.

τὸν πατέρα του. Γιὰ νὰ μὴ ἐννοήσουν λοιπὸν τὸ ἴδιο πρᾶγμα, σύμφωνα μὲ τὴ συνήθειά τους, καὶ γιὰ τὸν Υἱὸ τοῦ Θεοῦ, δεχόμενοι τὸ κήρυγμα τοῦ Ἀποστόλου, ἀπέκλεισε ἀπ' αὐτοὺς αὐτὴ τὴ συνήθεια, λέγοντάς τους· «ὅταν θὰ ὑποταγοῦν ὅλα σ' αὐτόν, τότε καὶ αὐτὸς θὰ ὑποταγεῖ σ' ἐκεῖνον ποὺ ὑπέταξε τὰ πάντα σ' αὐτόν». Μὲ τὸ λόγο πάλι ὅτι οἱ ἐχθροί του ἔρχονται δεμένοι κάτω ἀπὸ τὰ πόδια του, ἐννοεῖ τὸν διάβολο καὶ τὶς δυνάμεις του καὶ αὐτοὺς ποὺ ἀκολουθοῦν τὰ θελήματά τους· γι' αὐτὸ λοιπὸν ἔλεγε ὁ Ἀπόστολος· «δὲν θεωροῦμε ἀκόμα τὰ πάντα ὑποταγμένα σ' αὐτόν». Ὣς πότε; Ὣς ποὺ νὰ ἔλθουν οἱ ἄγγελοι τοῦ Θεοῦ καὶ Πατρὸς ποὺ εἶπε σ' αὐτὸν «κάθησε στὰ δεξιά μου, ὡς ποὺ νὰ θέσω τοὺς ἐχθρούς σου ὑποπόδιο τῶν ποδιῶν σου»[38]. Αὐτοὺς τοὺς ἐχθροὺς ὁδηγεῖ στὴν κρίση τοῦ Υἱοῦ τοῦ Θεοῦ· διότι λέγει, «ὁ Πατέρας δὲν κρίνει κανένα, ἀλλὰ ὅλη τὴν κρίση τὴν ἔχει παραδώσει στὸν Υἱό»[39]. Καὶ γιὰ νὰ μάθεις πῶς παραδίδει τὴ βασιλεία στὸν Θεὸ καὶ Πατέρα, ἄκουσε.

Ὁ Υἱὸς τοῦ Θεοῦ, ἀφοῦ ἔλαβε σάρκα, ἦρθε νὰ καλέσει καὶ ν' ἁγιάσει μὲ τὸ ἅγιό του αἷμα τὸ ἔθνος τὸ ἅγιο, τὸν λαὸ τὸν περιούσιο, ζηλωτὴ καλῶν ἔργων, βασίλειο ἱεράτευμα[40]· καὶ σκέψου, ἔπειτα ἀπὸ τί ὑποτάσσονται οἱ ἐχθροί του σ' αὐτὸν καὶ τοὺς κρίνει, καὶ ὁ ἴδιος σὰν τύπος ὑποταγῆς παραδίνει τὴ βασιλεία ποὺ παρασκεύασε, τὸν ἅγιο λαό, στὸν Θεὸ καὶ Πατέρα λέγοντας «νά, ἐγὼ καὶ τὰ παιδιὰ ποὺ μοῦ ἔδωσες»[41]. Καὶ γιὰ νὰ μάθεις τὴν ἰσότητα, ὁ Πατέρας ἔχει παραδώσει ὅλη τὴν κρίση στὸν Υἱό, καὶ ὁ Υἱὸς ἔχει παραδώσει στὸν Πατέρα ὅσους κάλεσε καὶ ἔτσι πραγματοποιεῖται ὁ λόγος· «ὅταν θὰ ὑποταχθοῦν ὅλα σ' αὐτόν, τότε καὶ ὁ ἴδιος ὁ Υἱὸς θὰ ὑποταχθεῖ σ' ἐκεῖνον ποὺ ὑπέταξε τὰ πάντα σ' αὐτόν»[42].

Σχετικὰ μὲ τοὺς αἰῶνες, γιὰ τοὺς ὁποίους λέγει ὅτι εἶπε ὁ Ἐκκλησιαστής, γνώριζε, ὅτι κάθε χρόνος τοῦ ἀνθρώπου εἶναι αἰώνας αὐτοῦ· γι' αὐτὸ δὲν εἶπε, ὅτι ἤδη ἔχει γίνει στοὺς αἰῶνες

40. Ἐξ. 19,6·15· 23,22.
41. Ἑβρ. 2,13.
42. Α' Κορ. 15,28.

ἔμπροσθεν ἡμῶν. Καὶ εἰ θέλεις μαθεῖν, ὅτι οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι διαστρέφουσι τὰς Γραφὰς καὶ ἀλληγοροῦσι κατὰ τὴν διδασκαλίαν τοῦ διαβόλου, ὁ Ἀπόστολος εἶπε· «τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν, ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει», περὶ γαστριμαργίας καὶ ἀδιαφορίας καὶ ἀσωτίας λέγων· ὥστε οὐ κατήργησε τὰ βρώματα καὶ τὴν κοιλίαν ἀπὸ τῶν ἀγγείων. Εἰδὼς οὖν ὁ Ἀπόστολος, ὁ τοῦτο εἰπών, πῶς εἶπεν, ὅτι διὰ τὰ πάθη λέγει καὶ ὅτι κατήργησεν ὁ Κύριος ἀπ' αὐτοῦ καὶ τῶν κατ' αὐτόν, ἤρξατο λέγειν, «οὔτε ἐὰν φάγωμεν κατακρινόμεθα, οὔτε ἐὰν μὴ φάγωμεν δικαιούμεθα»· ἡ δύναμις δὲ τοῦ ρήματος, οὕτως ἔχει.

Περὶ δὲ τοῦ μέλλοντος, οὕτως εἶπεν ὁ Θεός, ὅτι ἴσοι ἔσονται οἱ ἄνθρωποι τοῖς ἀγγέλοις, μὴ τρώγοντες, μὴ πίνοντες, μηδὲ ἐπιθυμοῦντες καὶ ἀδυνατεῖ αὐτῷ οὐδέν· ἔδειξε γὰρ αὐτὸ διὰ τοῦ Μωϋσέως, ὅτι ἐποίησε τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας, καὶ ὁ ποιήσας τοῦτο, δύναται ποιῆσαι καὶ ὅλα τὰ ἔτη τοῦ αἰῶνος οὕτως εἶναι τὸν ἄνθρωπον. Εἰ δὲ ληρεῖ τις καὶ λέγει, ὅτι ὕστερον ἔφαγε, καὶ περὶ τοῦ Σωτῆρος οὕτως ὑπόδειγμα ἐκ μέρους τῶν μελλόντων ἔδειξε, καθὼς καὶ περὶ τῆς ἀναστάσεως, ὅτι ἀνέστησε νεκρούς. Καὶ διὰ τῶν Ἀποστόλων δεικνύων ἡμῖν ὅτι ἔσται ἀνάστασις. Καὶ εἰ μετὰ ταῦτα ἀπέθανον, οὐκ ὀφείλομεν ἀπιστῆσαι τῇ ἀναστάσει. Ἀλλ' ὅμως λέγει «οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ρήματι ἐκπορευομένῳ διὰ Πνεύματος Θεοῦ». Τί ἔχεις εἰπεῖν πρὸς τοῦτο, εἰ μὴ διαστρέψαι αὐτὸ ὡς καὶ τὰς λοιπὰς Γραφάς;

Περὶ δὲ τοῦ «σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν», σάρκα καὶ αἷμα λέγει τὴν ἀκαθαρσίαν καὶ πονηρίαν καὶ τὰ θελήματα. Καὶ θέλεις μα-

---

43. Α' Κορ. 6,13.
44. Ρωμ. 14,23. Α' Κορ. 8,8.

πρὶν ἀπὸ αὐτὸν τὸν κόσμο, ἀλλὰ στοὺς αἰῶνες αὐτοῦ τοῦ κόσμου τοὺς πρὶν ἀπὸ μᾶς. Καὶ ἂν θέλεις νὰ μάθεις, ὅτι οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι διαστρέφουν τὶς Γραφὲς καὶ ἀλληγοροῦν σύμφωνα μὲ τὴ διδασκαλία τοῦ διαβόλου, ὁ Ἀπόστολος εἶπε· «οἱ τροφὲς εἶναι γιὰ τὴν κοιλιά, καὶ ἡ κοιλιὰ γιὰ τὶς τροφές· ὁ Θεὸς ὅμως θὰ καταργήσει καὶ αὐτὴν καὶ αὐτές»[43], μιλώντας γιὰ τὴ γαστριμαργία καὶ τὴν ἀδιαφορία καὶ τὴν ἀσωτία. Ὥστε λοιπὸν δὲν κατάργησε τὶς τροφὲς καὶ τὴν κοιλιὰ ἀπὸ τὰ ἀγγεῖα. Γνωρίζοντας ὁ Ἀπόστολος ποὺ εἶπε αὐτό, μὲ ποιό νόημα τὸ εἶπε, ὅτι δηλαδὴ τὸ εἶπε γιὰ τὰ πάθη καὶ ὅτι ὁ Κύριος τὰ κατάργησε ἀπὸ αὐτὸν καὶ τοὺς ὁμόφρονές του, ἄρχισε νὰ λέγει· «οὔτε ἂν φᾶμε κατακρινόμαστε, οὔτε ἂν δὲν φᾶμε δικαιωνόμαστε»[44]. Αὐτὴ εἶναι ἡ ἔννοια τοῦ λόγου.

Ὅσο γιὰ τὸ μέλλον, ὁ Θεὸς εἶπε τὰ ἑξῆς· οἱ ἄνθρωποι θὰ εἶναι ἴσοι μὲ τοὺς ἀγγέλους, χωρὶς νὰ τρώγουν, χωρὶς νὰ πίνουν, χωρὶς νὰ ἐπιθυμοῦν[45], καὶ τίποτε δὲν εἶναι ἀδύνατο σ' αὐτόν· διότι ἔδειξε αὐτὸ μὲ τὸν Μωϋσῆ, τὸν ὁποῖο ἔκανε χωρὶς ἐπιθυμίες σαράντα μέρες καὶ σαράντα νύχτες, καὶ αὐτὸς ποὺ ἔκανε αὐτό, μπορεῖ νὰ κάνει ὥστε ὅλα τὰ ἔτη τοῦ αἰώνα νὰ εἶναι ἔτσι ὁ ἄνθρωπος. Ἂν ὅμως κάποιος μωρολογεῖ καὶ λέγει, ὅτι ὕστερα ἔφαγε, ἐπίσης γιὰ νὰ μὴ τὸ λέγει αὐτὸ καὶ γιὰ τὸν Σωτήρα, ἔδωσε σχετικὸ παράδειγμα γιὰ τὰ μέλλοντα καθὼς καὶ γιὰ τὴν ἀνάσταση, μὲ τὸ ὅτι ἀνέστησε νεκρούς. Ἀλλὰ καὶ μὲ τοὺς Ἀποστόλους μᾶς δείχνει ὅτι θὰ ὑπάρξει ἀνάσταση. Καὶ ἂν στὴ συνέχεια πέθαναν, δὲν πρέπει ν' ἀπιστήσομε στὴν ἀνάσταση. Ἀλλ' ὅμως λέγει, «ὁ ἄνθρωπος δὲν θὰ ζήσει μόνο μὲ ἄρτο, ἀλλὰ μὲ κάθε λόγο ποὺ ἐκπορεύεται διὰ τοῦ Πνεύματος τοῦ Θεοῦ»[46]. Τί μπορεῖς νὰ πεῖς γι' αὐτό, ἐὰν δὲν θέλεις νὰ τὸ διαστρέψεις ὅπως καὶ τὶς ὑπόλοιπες Γραφές;

Σχετικὰ μὲ τὸ «ἡ σάρκα καὶ τὸ αἷμα δὲν θὰ κληρονομήσουν τὴ βασιλεία τοῦ Θεοῦ, οὔτε ἡ φθορὰ τὴν ἀφθαρσία»[47], ὡς σάρκα καὶ αἷμα ἐννοεῖ τὴν ἀκαθαρσία καὶ τὴν πονηρία καὶ τὰ

45. Ματθ. 22,30.
46. Λουκᾶ 4,4.
47. Α' Κορ. 15,50.

θεῖν ὅτι ἐν σώματι ἄνθρωποι ὄντες γίνονται πνευματικοί; Ἄκουσον τοῦ Κυρίου λέγοντος τῷ Νικοδήμῳ· «δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν»· ὕστερον δὲ εἶπεν· «δι' ὕδατος καὶ Πνεύματος», «γεννώμενοι δὲ ἐκ πνεύματος, πνευματικοί εἰσι»· καὶ πάλιν λέγει· «οἳ οὐκ ἐξ αἱμάτων οὐδὲ ἐκ θελήματος ἀνδρός, οὐδὲ ἐκ θελήματος σαρκός, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν», καὶ «ὁ Θεὸς Πνεῦμά ἐστιν». Εἰ οὖν ὧδε ἔτι ὄντες ἐγένοντο πνευματικοί, γεννηθέντες ὑπὸ τοῦ Θεοῦ, πῶς κἀκεῖ ἀδυνατεῖ ὁ Θεὸς ποιῆσαι αὐτοὺς πνευματικούς;

Τὸ δὲ «οὐ μὴ ἐξέλθῃ ἐκεῖθεν, ἕως οὗ ἀποδῷ τὸν ἔσχατον κοδράντην», σημαίνων τὴν κόλασιν αὐτῶν τὴν αἰώνιον τοῦτο εἶπεν· ἐπεὶ πόθεν ἀποδίδωσιν; Ἐὰν βληθῇ πτωχὸς χρεώστης εἰς φυλακὴν καὶ παραγγελθῇ ὑπὸ τοῦ ἄρχοντος ἐξελθεῖν ἕως οὗ ἀποδῷ τὸ ὀφειλόμενον χρέος, κρῖναί ἐστι· πάντως ἐξέρχεται; οὐκ ἔστιν οὕτως. Μὴ πλανηθῇς ὡς ἄφρων, οὐδεὶς ἐκεῖ προκόπτει, ἀλλ' εἴ τι ἔχει τις, ἔνθεν ἔχει, εἴτε καλὸν εἴτε σαπρὸν ἢ τερπνόν.

Ἄφες λοιπὸν τὰς μωρολογίας αὐτὰς καὶ μὴ ἐξακολουθήσῃς τοῖς δαίμοσι καὶ τῇ αὐτῶν διδασκαλίᾳ· ἅπαξ γὰρ ἀναλαμβάνουσι καὶ ἅπαξ καταφέρουσι κάτω. Ταπεινώθητι οὖν ἐνώπιον τοῦ Θεοῦ, κλαίων τὰς ἁμαρτίας σου καὶ πενθῶν τὰ πάθη σου. Μνήσθητι τῆς Γραφῆς λεγούσης, «καὶ νῦν, Ἰσραήλ»· καὶ πάλιν «καὶ νῦν ἠρξάμην». Πρόσχες σεαυτῷ.

Λοιπὸν ὁ Θεὸς συγχωρήσοι σοι, ἴδε ποῦ κλίνει τῷ ἐξερευνᾶν ἡ καρδία σου.

48. Ἰω. 3,7.
49. Ἰω. 3,5-6.

θελήματα. Καὶ θέλεις νὰ μάθεις ὅτι, ἐνῶ εἶναι ἄνθρωποι μὲ σῶμα, γίνονται πνευματικοί; Ἄκουσε τὸν Κύριο ποὺ λέγει στὸν Νικόδημο· «πρέπει ἐσεῖς νὰ γεννηθεῖτε ἀπὸ ἐπάνω»[48]· καὶ ὕστερα εἶπε· «μὲ νερὸ καὶ πνεῦμα», καὶ «γεννώμενοι ἀπὸ Πνεῦμα, εἶναι πνευματικοί»[49]. Καὶ πάλι λέγει· «οἱ ὁποῖοι δὲν γεννήθηκαν ἀπὸ αἵματα οὔτε ἀπὸ θέλημα ἀνδρός, οὔτε ἀπὸ θέλημα σάρκας, ἀλλὰ ἀπὸ τὸν Θεό· καὶ ὁ Θεὸς εἶναι πνεῦμα»[50]. Ἐὰν λοιπὸν ἔγιναν πενυματικοὶ ἐνῶ ἦταν ἀκόμα ἐδῶ, ἐπειδὴ γεννήθηκαν ἀπὸ τὸν Θεό, πῶς ἀδυνατεῖ ὁ Θεὸς νὰ τοὺς κάνει ἐκεῖ πνευματικούς;

Τὸ «δὲν θὰ ἐξέλθει ἀπὸ ἐκεῖ ὥς ποὺ νὰ δώσει τὸν ἔσχατο κοδράντη»[51], τὸ εἶπε αὐτὸ σημαίνοντας τὴν αἰώνια κόλασή τους· διότι ἀπὸ ποῦ θὰ τὸν δώσει; Ἐὰν μπεῖ στὴ φυλακὴ ἕνας φτωχὸς χρεώστης καὶ δοθεῖ ἐντολὴ ἀπὸ τὸν ἄρχοντα νὰ ἐξέλθει ὅταν θὰ δώσει τὸ ὀφειλόμενο χρέος, μπορεῖς νὰ κρίνεις· ὁπωσδήποτε θὰ βγεῖ; δὲν εἶναι ἔτσι. Μὴ πλανηθεῖς σὰν ἄφρονας· κανένας δὲν προκόβει ἐκεῖ· ἀλλὰ ἂν ἔχει κανεὶς κάτι, τὸ ἔχει ἀπὸ ἐδῶ, εἴτε καλό, εἴτε κακό, ἢ εὐχάριστο.

Ἄφησε λοιπὸν αὐτὲς τὶς μωρολογίες καὶ νὰ μὴ ἀκολουθήσεις τοὺς δαίμονες καὶ τὴ διδασκαλία τους· διότι τὴ μία φορὰ σὲ σηκώνουν ἐπάνω καὶ τὴν ἄλλη σὲ ρίχνουν κάτω. Ταπεινώσου λοιπὸν ἐνώπιον τοῦ Θεοῦ, κλαίγοντας γιὰ τὶς ἁμαρτίες σου καὶ πενθώντας γιὰ τὰ πάθη σου. Θυμήσου τὴ Γραφὴ ποὺ λέγει «καὶ τώρα, Ἰσραήλ»[52]· καὶ πάλι «καὶ τώρα ἄρχισα»[53]. Πρόσεχε τὸν ἑαυτό σου.

Εἴθε λοιπὸν ὁ Θεὸς νὰ σὲ συγχωρέσει. Πρόσεξε ποῦ κλίνει ἡ καρδιά σου μὲ τὸ νὰ ἐξερευνᾶς.

---

50. Ἰω. 1,13.
51. Ματθ. 5,26.
52. Δευτ. 10,12.
53. Γεν. 18,27.

ΧΗ'

Ἐρώτησις

Ἄλλος ἀδελφὸς ἠρώτησε τὸν αὐτὸν μέγαν Γέροντα λέγων.

Εἰπέ μοι, πάτερ, ἰδοὺ βλέπω τινὰ ποιοῦντα πρᾶγμα καὶ διηγοῦμαι αὐτό τινι, καὶ λέγω ὅτι οὐ κατακρίνω αὐτόν, ἀλλὰ μόνον λαλοῦμεν· ἆρα οὐκ ἔστι καταλαλιὰ ἐν τῷ λογισμῷ;

Ἀπόκρισις

Ἐὰν ἔχῃ κίνησιν ἐμπαθῆ, καταλαλιά ἐστι, ἐὰν δὲ ἐλεύθερος ᾖ ἀπὸ πάθους, οὐκ ἔστι καταλαλιά· ἀλλ' ἵνα μὴ αὐξηθῇ τὸ κακὸν λέγει.

ΧΘ'

Ἐρώτησις

Τί ἐστι τὸ «μετὰ στρεβλοῦ διαστρέψεις»;

Ἀπόκρισις

Εἶπεν ὁ Κύριος, «ἐάν τις σὲ ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην»· οὕτω δεῖ διαστρέφειν μετὰ στρεβλοῦ.

ΧΙ'

Ἐρώτησις

Τί ἐστι «γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις καὶ ἀκέραιοι ὡς αἱ περιστεραί»;

608

Ἐρώτηση

Ἄλλος ἀδελφὸς ἐρώτησε τὸν ἴδιο μεγάλο Γέροντα λέγοντας.

Πές μου, πάτερ, νά, βλέπω κάποιον νὰ κάνει ἕνα πρᾶγμα καὶ τὸ διηγοῦμαι σὲ ἄλλον, καὶ λέγω ὅτι δὲν τὸν κατακρίνω, ἀλλὰ μόνο μιλοῦμε· ἄραγε δὲν ὑπάρχει καταλαλιὰ στὸν λογισμό;

Ἀπόκριση

Ἐὰν ἔχει ἐμπαθὴ κίνηση εἶναι καταλαλιά, ἂν ὅμως εἶναι ἐλεύθερος ἀπὸ πάθος δὲν εἶναι καταλαλιά, ἀλλὰ λέγει γιὰ νὰ μὴ αὐξηθεῖ τὸ κακό.

609

Ἐρώτηση

Τί σημαίνει τὸ 'θὰ στραβώσεις μὲ τὸν στραβό';

Ἀπόκριση

Ὁ Κύριος εἶπε, «ἂν σὲ ραπίσει κάποιος στὸ δεξὶ σαγόνι, στρέψε σ' αὐτὸν καὶ τὸ ἄλλο»· ἔτσι πρέπει νὰ στραβώνεις μὲ τὸν στραβό.

610

Ἐρώτηση

Τί σημαίνει «νὰ γίνετε φρόνιμοι ὅπως τὰ φίδια καὶ ἀκέραιοι ὅπως τὰ περιστέρια»;

Ἀπόκρισις

Ὁ γὰρ τὸ τοῦ ὄφεως φρόνιμον περὶ τὸ κακόν, τῷ τῆς περιστερᾶς ἀκεραίῳ περὶ τὸ καλὸν ἀναμίξας, οὔτε τὸ φρόνιμον ἐάσει κακοῦργον γενέσθαι, οὔτε τὸ ἁπλοῦν ἀνόητον.

ΧΙΑ'

Ἐρώτησις

Τίνες οἱ ἁμαρτίαν καὶ τὸ κακὸν κατὰ προαίρεσιν ἔχοντες καὶ τίνες οἱ παρὰ προαίρεσιν;

Ἀπόκρισις

Οἱ κατὰ προαίρεσιν ἔχοντες τὸ κακὸν οὗτοί εἰσιν, οἱ τὸ ἑαυτῶν θέλημα ἐπιδιδόντες τῇ κακίᾳ, καὶ συνηδόμενοι καὶ συμφιλιάζοντες· οὗτοι εἰρήνην ἔχουσι μετὰ τοῦ σατανᾶ καὶ οὐ ποιοῦσι πόλεμον μετ' αὐτοῦ ἐν τοῖς λογισμοῖς· οἱ δὲ παρὰ προαίρεσιν ἔχοντες τὸ κακόν, οὗτοί εἰσιν, οἱ τὴν ἐναντίαν δύναμιν ἔχοντες ἀντιστρατευομένην ἐν τοῖς μέλεσιν αὐτῶν κατὰ τὸν Ἀπόστολον· καὶ ἔστιν ἡ ὀμιχλώδης δύναμις καὶ τὸ κάλυμμα, ἀλλ' ἐν τοῖς λογισμοῖς οὔτε συμφωνοῦσιν οὔτε συνήδονται οὔτε ὑπακούουσιν, ἀλλ' ἀντιλέγουσιν, ἀντιπράττουσιν, ἀντιφθέγγονται, ἀντιπίπτουσιν, ὀργίζονται ἑαυτοῖς· οὗτοι πολὺ εἰσι καλλίονες καὶ τιμιώτεροι παρὰ τῷ Θεῷ, παρ' ἐκείνους τοὺς ἰδίᾳ προαιρέσει τὸ θέλημα αὐτῶν ἐπιδιδόντας τῇ κακίᾳ καὶ συνηδομένους.

ΧΙΒ'

Ἐρώτησις

Τί ἐστιν ὃ εἶπεν ὁ Κύριος τῇ Σαμαρείτιδι, «πέντε γὰρ ἄν-

Ἀπόκριση

Ἐκεῖνος ποὺ ἀνέμιξε τὸ φρόνιμο τοῦ φιδιοῦ γιὰ τὸ κακὸ μὲ τὸ ἀκέραιο τῆς περιστερᾶς γιὰ τὸ καλό, οὔτε τὸ φρόνιμο θὰ ἀφήσει νὰ γίνει κακοῦργο, οὔτε τὸ ἁπλὸ ἀνόητο.

611

Ἐρώτηση

Ποιοί ἔχουν τὴν ἁμαρτία καὶ τὸ κακὸ κατὰ προαίρεση καὶ ποιοί τὰ ἔχουν ὄχι μὲ τὴν προαίρεσή τους;

Ἀπόκριση

Ἐκεῖνοι ποὺ ἔχουν κατὰ προαίρεση τὸ κακό, εἶναι ὅσοι παραδίνουν τὸ θέλημά τους στὴν κακία καὶ εὐχαριστιοῦνται μαζὶ καὶ συζοῦν φιλικά· αὐτοὶ ἔχουν εἰρήνη μὲ τὸν Σατανὰ καὶ δὲν κάνουν πόλεμο μ' αὐτὸν στοὺς λογισμούς. Ἐνῶ ἐκεῖνοι ποὺ ἔχουν τὸ κακὸ ὄχι μὲ τὴν προαίρεσή τους εἶναι ὅσοι ἔχουν τὴν ἀντίθετη δύναμη νὰ ἀντιστρατεύεται στὰ μέλη τους σύμφωνα μὲ τὸν Ἀπόστολο· ὑπάρχει βέβαια ἡ ὁμιχλώδης δύναμη καὶ τὸ κάλυμμα, ὅμως στοὺς λογισμοὺς οὔτε συμφωνοῦν οὔτε συνευχαριστιοῦνται οὔτε ὑπακούουν, ἀλλὰ ἀντιλέγουν, ἀντιπράττουν, ἀντιφθέγγονται, ἐπιτίθενται, ὀργίζονται μὲ τοὺς ἑαυτούς τους· αὐτοὶ εἶναι πολὺ καλύτεροι καὶ τιμιώτεροι στὸν Θεὸ ἀπὸ ἐκείνους ποὺ μὲ τὴν προαίρεσή τους παραδίνουν τὸ θέλημά τους στὴν κακία καὶ συνευχαριστιοῦνται μ' αὐτήν.

612

Ἐρώτηση

Τί σημαίνει αὐτὸ ποὺ εἶπε ὁ Κύριος στὴ Σαμαρείτιδα,

δρας ἔσχες, καὶ νῦν ὃν ἔχεις οὐκ ἔστι σου ἀνήρ»;

Ἀπόκρισις

Σαφές ἐστι τὸ ῥῆμα· νόμος γάρ ἐστι παλαιός, τὰς γυναῖκας, ὅσαι δὴ τῷ θανάτῳ τοὺς συνεύνους ἀποβάλλουσιν ἄτεκνοι καταλιμπανόμεναι, ἄχρι τῶν πέντε συνέρχεσθαι ἀνδράσι, μετὰ δὲ τὸν πέμπτον, εἴτε τέκοιεν εἴτε καὶ μή, παύεσθαι· εἰ δέ τις μετὰ τοὺς πέντε καὶ εἰς ἕκτον συνέλθῃ, μὴ ἄνδρα αὐτὸν εἶναι, ἀλλὰ μοιχόν, ὡς παρὰ τὸν νόμον συνερχόμενον, ὃ δὴ καὶ ἐπὶ ταύτῃ συνέβη τῇ γυναικί. Εἰ δὲ καὶ μυστικώτερόν τις ἐθέλει τοῦτο εἰπεῖν, τοὺς πέντε νομίμους ἄνδρας, τὰς φυσικὰς αἰσθήσεις εἴποι, τὴν ὅρασιν, τὴν ὄσφρησιν, τὴν ἀκοήν, τὴν γεῦσιν, τὴν ἀφήν, δι' ὧν ἡμῖν πᾶν τὸ παρατυχὸν γινώσκεται τί ἐστι· τὸν δὲ ἕκτον καὶ παράνομον, τὴν ἀπιστίαν, ᾗ ἐκεκράτητο ἡ γυνὴ ἐξ ἀγνοίας καὶ παρὰ φύσιν. Ἔφη οὖν αὐτῇ ὁ Χριστός, ὅτι «ἀληθῶς εἶπας· πέντε γὰρ ἄνδρας ἔσχες», ὡσανεὶ τὰς πέντε σου αἰσθήσεις ὡς ἄνδρας ἔσχες ὑποτασσούσας σε καὶ περιαγούσας κατὰ τὸ αὐτῶν θέλημα. Οἷον ὅτι ἀρκούντως ἐνεπλήσθης τῶν ἐπιθυμιῶν, αἵτινες διὰ τῶν φυσικῶν πέντε αἰσθήσεων ἐπεισέρχονται, ἃς καὶ ἤδη ἀπεβάλου διὰ τὴν ἐκ τοῦ γήρους τοῦ σώματος νέκρωσιν· ὃν δὲ νῦν ἔχεις, ἤγουν τὴν ἀπιστίαν, οὐκ ἔστι σου ἀνήρ, τουτέστιν οὐ φυσικῶς σου κυριεύει, ἀλλ' ἐπεισάκτως.

ΧΙΓ'

***Παραίνεσις** τοῦ ἁγίου καὶ μεγάλου Γέροντος Βαρσανουφίου πρὸς ἀρχάριον ἀσθενοῦντα καὶ μὴ φέροντα τὴν θλῖψιν τῆς ἀσθενείας.*

---

54. Ἰω. 4,18.

«πέντε ἄνδρες εἶχες, καὶ αὐτὸν ποὺ ἔχεις τώρα δὲν εἶναι ἄνδρας σου»[54];

Ἀπόκριση

Εἶναι σαφὴς ὁ λόγος· διότι ὑπῆρχε παλαιὸς νόμος[55], σύμφωνα μὲ τὸν ὁποῖον ὅσες γυναῖκες ἔμεναν ἄτεκνες, ὅταν ἔχαναν τοὺς συζύγους μὲ θάνατο, παντρεύονταν μέχρι πέντες ἄνδρες· μετὰ τὸν πέμπτον, εἴτε γεννοῦσαν εἴτε ὄχι, σταματοῦσαν νὰ παντρεύονται· ἂν κάποια μετὰ τοὺς πέντε παντρευόταν καὶ ἕκτον, αὐτὸς δὲν ἦταν ἄνδρας ἀλλὰ μοιχός, διότι παντρεύονταν ἀντίθετα μὲ τὸν νόμο, πρᾶγμα ποὺ συνέβηκε καὶ σ' αὐτὴ τὴ γυναίκα. Ἂν θέλει κανεὶς νὰ τὸ πεῖ αὐτὸ μυστικώτερα, ὡς πέντε νόμιμους ἄνδρες θὰ ἐννοήσει τὶς φυσικὲς αἰσθήσεις, τὴν ὅραση, τὴν ὄσφρηση, τὴν ἀκοή, τὴ γεύση καὶ τὴν ἀφή, μὲ τὶς ὁποῖες γνωρίζομε τί εἶναι τὸ κάθε πρᾶγμα ποὺ συναντοῦμε· ὡς ἕκτον καὶ παράνομο πρέπει νὰ ἐννοήσει τὴν ἀπιστία, ἀπὸ τὴν ὁποία εἶχε καταληφθεῖ ἡ γυναίκα ἀπὸ ἄγνοια καὶ παρὰ φύση. Ὁ Χριστὸς λοιπὸν τῆς εἶπε· «ἀλήθεια εἶπες, διότι εἶχες πέντε ἄνδρες», σὰν νὰ εἶχες τὶς πέντε αἰσθήσεις σου ἄνδρες ποὺ σὲ ὑπέτασσαν καὶ σὲ ὁδηγοῦσαν σύμφωνα μὲ τὸ θέλημά τους. Δηλαδὴ χόρτασες ἐπαρκῶς μὲ τὶς ἐπιθυμίες, οἱ ὁποῖες εἰσέρχονται μέσω τῶν πέντε φυσικῶν αἰσθήσεων, τὶς ὁποῖες ὅμως τώρα ἀπέβαλες μὲ τὴν νέκρωση τοῦ σώματος ἀπὸ τὰ γηρατειά· αὐτὸν ποὺ ἔχεις τώρα, δηλαδὴ τὴν ἀπιστία, δὲν εἶναι ἄνδρας σου, δηλαδὴ δὲν σὲ ἐξουσιάζει κατὰ τρόπο φυσικό, ἀλλὰ ἐπείσακτα.

613

Παραίνεση τοῦ ἁγίου καὶ μεγάλου Γέροντα Βαρσανουφίου πρὸς ἀρχάριον ποὺ ἦταν ἀσθενὴς καὶ δὲν ὑπόμενε τὴ θλίψη τῆς ἀσθένειας.

---

55. Τῶν Ἑβραίων δηλαδή.

Ἀπόκρισις

Αδελφέ, οὐκ ἐκαυχῶντο οἱ ἐργάται ἀπαιτοῦντες παρὰ τοῦ οἰκοδεσπότου τὸν μισθόν, εἰ μὴ εἰς τοῦτο, λέγοντες «ὅτι ἡμεῖς τὸν καύσωνα τῆς ἡμέρας ἐβαστάσαμεν καὶ τὸ βάρος». Ὑπομείνωμεν οὖν, τέκνον, εὐχαρίστως τὴν θλῖψιν, ἵνα ἔλθῃ ἐφ' ἡμᾶς τὸ ἔλεος τοῦ Θεοῦ πλουσίως καὶ μὴ ἐκκακήσωμεν καὶ εἰς αἰχμαλωσίαν ἐμπέσωμεν τῆς ἀκηδίας· ἐκ ταύτης γὰρ γίνεται ἡ ἀρχὴ τῆς ἀπωλείας. Μιμνῄσκου, υἱέ, «ὅτι ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται».

Τέκνον, ἔστι καὶ ἀσθένεια πρὸς πειρασμὸν καὶ ὁ πειρασμὸς πρὸς δοκιμήν· ἀνὴρ γὰρ ἀπείραστος ἀδόκιμος, τὸ δὲ πειρασθὲν ἐν κινδύνοις, δόκιμον, ὡς καὶ χρυσὸς ἐν πυρί· ἡ γὰρ δοκιμὴ φέρει τινὰ εἰς ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. Μὴ οὖν παραλύσῃ ὁ ἐχθρὸς τὴν πρόθεσίν σου τὴν κατὰ Θεὸν καὶ μὴ παρασαλεύσῃ σου τὴν εἰς τὴν ἁγίαν Τριάδα πίστιν. Τί γὰρ ἔπαθες, εἰπέ μοι, ἵνα οὕτω χαυνωθῇς; Μνημόνευε τί λέγει ὁ Ἀπόστολος· «οὔπω μέχρις αἵματος ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι, καὶ ἐκλέλυσθε τῆς παρακλήσεως, ἥτις ὑμῖν ὡς υἱοῖς διαλέγεται. Υἱέ, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος· «ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱόν, ὃν παραδέχεται· εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός· τίς γάρ ἐστιν υἱός, ὃν οὐ παιδεύει πατήρ; Εἰ δὲ χωρὶς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ καὶ οὐχ υἱοί». Ἐὰν μετ' εὐχαριστίας φέρῃς τὴ θλῖψιν, ἐγένου υἱός, ἐὰν δὲ χαυνωθῇς, ἐγένου νόθος.

Δέομαί σου, τέκνον, ὁ γέρων τοῦ νεωτέρου, ὁ παλαιωθεὶς ἐν τῷ σχήματι, κἂν μηδὲν ἐχρησίμευσα τοῦ νεωστὶ κουρευθέντος, καὶ μὴ εἴη εἰς κενόν, Κύριε Ἰησοῦ Χριστέ, μηδὲ εἰς μάτην. Νῆψον, ἐξυπνίσθητι ἀπὸ τῆς μέθης τοῦ βαρυτάτου ὕπνου· διε-

Αδελφέ, οἱ ἐργάτες δὲν καυχόνταν ὅταν ἀπαιτοῦσαν τὴν ἀμοιβὴ ἀπὸ τὸν οἰκοδεσπότη, παρὰ μόνο ὡς πρὸς αὐτό, λέγοντας· «ἐμεῖς βαστάξαμε τὸν καύσωνα τῆς ἡμέρας καὶ τὸ βάρος»[56]. Ἂς ὑπομείνομε λοιπόν, τέκνο, εὐχάριστα τὴ θλίψη, γιὰ νὰ ἔλθει σὲ μᾶς πλούσια τὸ ἔλεος τοῦ Θεοῦ καὶ ἂς μὴ γογγύσομε καὶ ἂς μὴ πέσομε στὴν αἰχμαλωσία τῆς ἀκηδίας· διότι ἀπὸ αὐτὴ γίνεται ἡ ἀρχὴ τῆς ἀπώλειας. Θυμήσου, υἱέ μου, ὅτι «αὐτὸς ποὺ θὰ δείξει ὑπομονὴ μέχρι τὸ τέλος, αὐτὸς θὰ σωθεῖ»[57].

Τέκνο μου, ὑπάρχει καὶ ἀσθένεια γιὰ πειρασμὸ καὶ πειρασμὸς γιὰ δοκιμασία· διότι ὁ ἀπείραστος ἄνδρας εἶναι ἀδόκιμος, ἐνῶ ἐκεῖνο ποὺ δοκιμάσθηκε μὲ τοὺς κινδύνους, εἶναι δόκιμο, ὅπως καὶ ὁ χρυσὸς στὴ φωτιά· διότι ἡ δοκιμὴ ὁδηγεῖ κάποιον σὲ ἐλπίδα, καὶ ἡ ἐλπίδα δὲν καταντροπιάζει. Ἂς μὴ παραλύσει λοιπὸν ὁ ἐχθρὸς τὴν πρόθεσή σου ποὺ εἶναι σύμφωνη μὲ τὸν Θεὸ καὶ νὰ μὴ παρασαλεύσει τὴν πίστη σου στὴν ἁγία Τριάδα. Διότι τί ἔπαθες, πές μου, ὥστε νὰ χαυνωθεῖς ἔτσι; Θυμήσου τί λέγει ὁ Ἀπόστολος· «δὲν ἀντισταθήκατε ἀκόμη μέχρι αἵματος ἀνταγωνιζόμενοι πρὸς τὴν ἁμαρτία, καὶ ἔχετε ἀπελπισθεῖ γιὰ τὴν παράκληση, ἡ ὁποία διαλέγεται σὲ σᾶς σὰν σὲ υἱούς. Υἱέ μου, νὰ μὴ ὀλιγωρεῖς γιὰ τὴν παιδεία τοῦ Κυρίου, οὔτε ν' ἀπελπίζεσαι ὅταν ἐλέγχεσαι ἀπὸ αὐτόν· διότι παιδεύει ὁ Κύριος ὅποιον ἀγαπᾶ, μαστιγώνει κάθε υἱὸ ποὺ τὸν παραδέχεται. Ἂν ὑπομένετε τὴν παιδεία, ὁ Θεὸς σᾶς συμπεριφέρεται σὰν υἱούς· διότι ποιός υἱὸς ὑπάρχει ποὺ δὲν τὸν παιδεύει ὁ πατέρας του; Ἂν ὅμως εἶσθε χωρὶς παιδεία, στὴν ὁποία ἔχουν γίνει μέτοχοι ὅλοι, ἄρα εἶστε νόθοι καὶ ὄχι υἱοί»[58]. Ἐὰν ὑποφέρεις εὐχάριστα τὴ θλίψη, ἔγινες υἱός· ἂν ὅμως χαυνωθεῖς, ἔγινες νόθος.

Σὲ παρακαλῶ, τέκνο μου, ὁ γέροντας τὸν νεώτερο, αὐτὸς ποὺ πάλιωσε στὸ σχῆμα, ἂν καὶ δὲν χρησίμευσα σὲ τίποτε περισσότερο ἀπὸ ἐκεῖνον ποὺ ἔλαβε τὴν κουρὰ νέος· καὶ εἴθε νὰ μὴ πέσει ἡ παράκληση σὲ κενό, Κύριε Ἰησοῦ Χριστέ, οὔτε μά-

56. Ματθ. 20,12.
57. Ματθ. 10,22.
58. Ἑβρ. 12,8.

γέρθητι μετὰ τοῦ Πέτρου καὶ τῶν λοιπῶν Ἀποστόλων κράζων τῷ Σωτῆρι τῶν ἁπάντων Χριστῷ λαμπρᾷ τῇ φωνῇ, «ἐπιστάτα, σῶσον, ἀπολλύμεθα», καὶ πάντως ἔρχεται καὶ πρὸς σὲ καὶ ἐπιτιμᾷ τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ, καὶ παύει τὸν κλύδωνα ἀπὸ τοῦ πλοίου σου, τὸν χειμῶνα λέγω ἀπὸ τῆς σῆς ψυχῆς, καὶ ἀνασπᾷ σε ἐκ τοῦ αἱμοβόρου λέοντος, καὶ τὴν περιστεράν σου ἐκ τῆς κοιλίας τοῦ δράκοντος καὶ τὸν σπόρον σου ἀπὸ τῆς χαλάζης καὶ τὴν ἐλαίαν σου ἀπὸ σκωλήκων καὶ ἀπὸ πάχνης ὅλα σου τὰ δένδρα, ἵνα δῷ σοι τοὺς καρποὺς αὐτῶν κατὰ καιρὸν καὶ ὁ σπόρος τῆς γῆς σου δώσῃ καρπὸν ὥριμον κατὰ τὸν τοῦ Κυρίου λόγον, ἀνὰ ἑκατὸν καὶ ἀνὰ ἑξήκοντα καὶ ἀνὰ τριάκοντα.

Πρόσχες, ἀδελφέ, τί ὑπέμεινας διὰ τὸ ὄνομα τοῦ Θεοῦ· ὁ Ἀπόστολος ἠρίθμησεν, ὅτι «οὐδὲν ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ», λέγων οὕτω, «θλῖψις ἢ στενοχωρία ἢ λιμὸς ἢ διωγμὸς ἢ γυμνότης ἢ κίνδυνοι ἢ μάχαιρα», καὶ μικρὰ ἀσθένεια παρασαλεύει ἡμῶν τὸν νοῦν ἀπὸ τοῦ Θεοῦ; μὴ γένοιτο! Ἀλλὰ στερεώθητι, τέκνον, καὶ βλέπεις τὴν παρὰ τοῦ Θεοῦ βοήθειαν. Πρῶτος γὰρ πειρασμός ἐστιν οὗτος, ἐὰν νικήσῃς αὐτὸν σὺν Θεῷ, οὐκ ἔτι σου κατακυριεύει, ἐὰν δὲ νικήσῃ σε ἐν τούτῳ, εἰς λατρείαν σε φέρει. Τὸ λοιπὸν στῆθι καὶ ὑπόμεινον· ἔχεις γὰρ ἰδεῖν, ἐὰν σταθῇς, τί ἔσται τὸ ἔλεος Κυρίου. Πληροφορηθήτω δὲ ἡ ἀγάπη σου ὅτι οὐ παύομαι νύκτα καὶ ἡμέραν δεόμενος τοῦ Θεοῦ, ἵνα σώσῃ σε καὶ φυλάξῃ πάντας ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· καὶ σπουδή μοί ἐστιν, ἵνα κληρονομήσητε μετὰ τῶν ἁγίων ὡς τέκνα αὐτῶν, «ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν». Ζήλωσον ταῦτα, καὶ μακάριος ἔσῃ ἐν Χριστῷ.

ταιο. Νῆψε, ξύπνησε ἀπὸ τὴ μέθη τοῦ βαρύτατου ὕπνου, σήκω μαζὶ μὲ τὸν Πέτρο καὶ τοὺς ὑπόλοιπους Ἀποστόλους κράζοντας στὸν Σωτήρα τῶν ὅλων Χριστὸ μὲ λαμπρὴ φωνή, «ἐπιστάτη, σῶσε μας, διότι χανόμαστε»[59]. Ὁπωσδήποτε θὰ ἔρθει τότε καὶ κοντά σου καὶ θὰ ἐπιτιμήσει τοὺς ἀνέμους καὶ τὴ θάλασσα, θὰ σταματήσει τὴ θαλασσοταραχὴ ἀπὸ τὸ πλοῖο σου, δηλαδὴ τὴν τρικυμία ἀπὸ τὴν ψυχή σου, θὰ σὲ ἀπομακρύνει ἀπὸ τὸ αἱμοβόρο λιοντάρι, καθὼς καὶ τὴν περιστερά σου ἀπὸ τὴν κοιλιὰ τοῦ δράκοντα καὶ τὸ σπόρο σου ἀπὸ τὸ χαλάζι καὶ τὴν ἐλιά σου ἀπὸ τὰ σκουλήκια καὶ ὅλα σου τὰ δένδρα ἀπὸ τὴν πάχνη, γιὰ νὰ σοῦ δώσουν τοὺς καρπούς τους στὸν κατάλληλο καιρό· καὶ ὁ σπόρος τῆς γῆς σου θὰ δώσει ὥριμο καρπὸ σύμφωνα μὲ τὸν λόγο τοῦ Κυρίου, τὸ ἕνα ἑκατὸ καὶ ἑξήντα καὶ τριάντα.

Πρόσεχε, ἀδελφέ, τί ὑπέμεινες γιὰ τὸ ὄνομα τοῦ Θεοῦ· ὁ Ἀπόστολος ἀπαρίθμισε ὅτι τίποτε δὲν θὰ μᾶς χωρίσει ἀπὸ τὴν ἀγάπη τοῦ Χριστοῦ λέγοντας τὰ ἑξῆς· «οὔτε θλίψη οὔτε στενοχώρια οὔτε λιμὸς οὔτε διωγμὸς οὔτε γυμνότητα οὔτε κίνδυνοι οὔτε μάχαιρα»[60], καὶ μιὰ μικρὴ ἀσθένεια παρασαλεύει τὸν νοῦ μας ἀπὸ τὸν Θεό; μὴ γένοιτο! Ἀλλὰ στερεώσου, τέκνο μου, καὶ θὰ δεῖς τὴ βοήθεια ἀπὸ τὸν Θεό. Διότι αὐτὸς εἶναι ὁ πρῶτος πειρασμός· ἂν τὸν νικήσεις μὲ τὴ βοήθεια τοῦ Θεοῦ, δὲν θὰ σὲ κατακυριεύσει πιά· ἂν σὲ νικήσει αὐτὸς σ' αὐτόν, θὰ σὲ ὁδηγήσει σὲ δουλεία. Λοιπόν, στάσου καὶ ὑπόμεινε· διότι ἂν σταθεῖς μπορεῖς νὰ δεῖς ποιό θὰ εἶναι τὸ ἔλεος τοῦ Κυρίου.

Ἂς πληροφορηθεῖ ὅμως ἡ ἀγάπη σου ὅτι δὲν σταματῶ νύχτα καὶ μέρα νὰ προσεύχομαι στὸν Θεό, γιὰ νὰ σὲ σώσει καὶ νὰ μᾶς φυλάξει ὅλους ἀπὸ τὸν πονηρό· καὶ φροντίδα μου εἶναι νὰ κληρονομήσετε μὲ τοὺς ἁγίους σὰν τέκνα τους «ὅσα ὀφθαλμὸς δὲν εἶδε καὶ αὐτὶ δὲν ἄκουσε καὶ στὴν καρδιὰ ἀνθρώπου δὲν ἀνέβηκαν, ὅσα ἑτοίμασε ὁ Θεὸς γιὰ ἐκείνους ποὺ τὸν ἀγαποῦν»[61]. Γίνε ζηλωτὴς αὐτῶν, καὶ θὰ εἶσαι μακάριος στὸ ὄνομα τοῦ Χριστοῦ.

---

59. Λουκᾶ 8,24.
60. Ρωμ. 8,35.
61. Α' Κορ. 2,9.

ΧΙΔ΄

Ἐρώτησις

Ἀδελφὸς ἔσφαλε, καὶ ἀκούσας παρὰ τοῦ ἀββᾶ, ὅτι πολλοστὸν μόνον εἰπέ, 'συγχώρησον', σκληρυνθεὶς οὐκ εἶπε· καὶ ποιήσας ὁ ἀββᾶς εὐχὴν μετὰ τριῶν γονυκλισιῶν, μόλις ἔπεισεν αὐτὸν εἰπεῖν, 'συγχώρησον'. Ἀπερχομένου δὲ τοῦ ἀδελφοῦ εἰς τὸ ἴδιον κελλίον, εἶπεν αὐτῷ ὁ ἀββᾶς.

Ἀδελφέ, ἐρεύνησον τὴν καρδίαν σου ἐν τῷ κελλίῳ σου κατὰ σευατόν, καὶ εὑρίσκεις πόθεν σοι συνέβη ἡ σκληρότης τῆς καρδίας σου.

Ὡς δὲ τοῦτο ἐποίησεν ὁ ἀδελφὸς ἦλθε προσπίπτων καὶ ἐξομολογούμενος τῷ ἀββᾷ καὶ παρεκάλεσεν, ἵνα ἀναγγείλῃ τῷ μεγάλῳ Γέροντι Βαρσανουφίῳ τὸ πρᾶγμα καὶ αἰτήσῃ αὐτὸν ποιῆσαι εὐχὴν περὶ αὐτοῦ, ὁ δὲ ἅγιος ἐδήλωσε ταῦτα.

***Ἀπόκρισις** Βαρσανουφίου.*

Ἀδελφέ, πρόσεχε σεαυτῷ· σὺ ἐζήτησας σπαρῆναί σου τὸ χωρίον παρ' ἐμοῦ· οὐδείς σε ἠνάγκασε. Βλέπε μὴ ἐάσῃς σπαρῆναι ἐν τῷ σίτῳ σου ὑπὸ τοῦ διαβόλου ζιζάνια, τὴν βρῶσιν λέγω τοῦ πυρός. Ἐγὼ σοι λέγω· σὺ ἠρώτησάς με περὶ τῶν σῶν λογισμῶν.

Οἱ πατέρες λέγουσι· ἐὰν ἐρωτᾷ τις, ἕως θανάτου ὀφείλει φυλάξαι, καὶ εἴ τις οὐ φυλάττει, εἰς ἀπώλειαν ἔσται. Κακοὺς καὶ δεινοὺς ἔχεις ἐμφωλεύοντας ἐν τῇ καρδίᾳ σου λογισμούς. Τί λογίζῃ θανατηφόρους λογισμοὺς ἃ οὐκ ἔστιν, ἀλλ' ὁ διάβολός ἐστιν ὁ ποιῶν σοι τὸ φῶς σκότος καὶ τὸ σκότος φῶς, καὶ τὰ πικρὰ γλυκέα σοι δεικνύων καὶ τὰ γλυκέα πικρά; Τὴν ζωὴν βλέπεις θάνατον καὶ τὸν θάνατον ζωήν· περιέρχεται γὰρ ὠρυόμενος ὁ ἐχθρὸς θέλων σε καταπιεῖν ζῶντα καὶ οὐ συνίεις, ὅτι εἰ μὴ ἡ χεὶρ τοῦ Θεοῦ καὶ ἡ εὐχὴ τῶν ἁγίων ἐσκέπασέ σε, εἰς ἀπώλειαν καὶ πλάνην αὐτοῦ εἶχες ἐμπεσεῖν. Καὶ ἀποβάλλεις τὰ θεῖα λόγια,

614

Ἀδεφλὸς ἔσφαλε, καὶ ὅταν ἄκουσε ἀπὸ τὸν ἀββᾶ, ὅτι ἀρκεῖ νὰ πεῖ πολλὲς φορὲς μόνο, 'συγχώρεσέ με', αὐτὸς ἀπὸ σκληρότητα δὲν εἶπε· ἀφοῦ τότε ὁ ἀββᾶς ἔκανε προσευχὴ μὲ τρεῖς μετάνοιες, μὲ δυσκολία τὸν ἔπεισε νὰ πεῖ 'συγχώρεσέ με'. Ἐνῶ προχωροῦσε ὁ ἀδελφὸς πρὸς τὸ κελλί του, τοῦ εἶπε ὁ ἀββᾶς.

Ἀδελφέ, ἐρεύνησε τὴν καρδία σου στὸ κελλί σου μόνος, καὶ θὰ βρεῖς ἀπὸ ποῦ σοῦ συνέβηκε ἡ σκληρότητα τῆς καρδιᾶς σου.

Ἀφοῦ ὁ ἀδελφὸς ἔκανε αὐτό, ἦρθε καὶ ἐξομολογήθηκε γονατιστὸς στὸν ἀββᾶ καὶ τὸν παρακάλεσε ν' ἀναγγείλει τὸ πρᾶγμα στὸν μεγάλο Γέροντα τὸν Βαρσανούφιο καὶ νὰ τοῦ ζητήσει νὰ προσευχηθεῖ γι' αὐτόν· ὁ ἅγιος τότε τοῦ δήλωσε αὐτά.

Ἀπόκριση

Αδελφέ, πρόσεχε τὸν ἑαυτό σου· ἐσὺ ζήτησες νὰ σπαρθεῖ τὸ χωράφι ἀπὸ μένα· κανένας δὲν σὲ ἀνάγκασε. Πρόσεχε νὰ μὴ ἀφήσεις νὰ σπαροῦν στὸ σιτάρι σου ζιζάνια ἀπὸ τὸν διάβολο, δηλαδὴ ἡ τροφὴ τοῦ πυρὸς τῆς κολάσεως. Ἐγὼ σοῦ ἀπαντῶ, διότι σὺ μὲ ἐρώτησες γιὰ τοὺς λογισμούς σου.

Οἱ πατέρες λένε· ἂν κανεὶς ἐρωτᾶ, ὀφείλει νὰ φυλάξει τὶς συμβουλὲς μέχρι θανάτου, καὶ ἂν κανεὶς δὲν τὶς φυλάγει, θὰ χαθεῖ. Ἔχεις κακοὺς καὶ φοβεροὺς λογισμοὺς ποὺ φωλιάζουν μέσα στὴν καρδιά σου. Γιατί θεωρεῖς θανατηφόρους λογισμοὺς αὐτὰ ποὺ δὲν εἶναι, ἐνῶ ὁ διάβολος εἶναι αὐτὸς ποὺ σοῦ κάνει τὸ φῶς σκοτάδι καὶ τὸ σκοτάδι φῶς καὶ σοῦ δείχνει τὰ πικρὰ γλυκά, καὶ τὰ γλυκὰ πικρά; Βλέπεις τὴ ζωὴ θάνατο καὶ τὸν θάνατο ζωή· διότι ὁ ἐχθρὸς περιέρχεται οὐρλιάζοντας, ἐπειδὴ θέλει νὰ σὲ καταπιεῖ ζωντανὸ καὶ δὲν καταλαβαίνεις, ὅτι, ἂν δὲν σὲ προστάτευε τὸ χέρι τοῦ Θεοῦ καὶ ἡ προσευχὴ τῶν ἁγίων, θὰ εἶχες πέσει στὴν ἀπώλεια καὶ τὴν πλάνη αὐτοῦ. Ἀπορρίπτεις τὰ

τὰ λαλούμενά σοι ὑπὸ τοῦ ἀββᾶ σου εἰς ὠφέλειαν καὶ σωτηρίαν τῆς ψυχῆς σου, ἵνα μηδέποτε ἔλθῃς εἰς ἐπίγνωσιν ζωῆς. Αὐτὸς οἵους κόπους ποιεῖ ὑπὲρ σοῦ ὡς ὑπὲρ τῆς ἰδίας ψυχῆς αὐτοῦ, παρακαλῶν τοὺς ἁγίους τὸ αὐτὸ ὑπερεύξασθαί σου, ὅπως ἐξειλήσῃς ἐκ τῶν παγίδων τοῦ διαβόλου καὶ τοῦ θανάτου καὶ σωθῇς εἰς τὴν τοῦ Κυρίου νοσσιάν.

Καὶ οὕτω μὲν κοπιᾷ ὑπὲρ σοῦ, σὺ δὲ οὐκ ὀφείλεις φυλάξαι τοὺς λόγους αὐτοῦ ὡς κόρην ὀφθαλμοῦ καὶ ἔχειν αὐτὸν ὑπὲρ τὴν ψυχήν σου; Ἀλλὰ χυδαῖος ἐγένου χορτασθεὶς ἀπὸ τῆς συνουσίας αὐτοῦ τῆς πάντοτε, ἧς οὐκ ὤφειλες ἔχειν κόρον, ἀλλ᾽ εὔξασθαί σε ἔδει καταξιωθῆναι αὐτῆς, καὶ ἵνα μὴ εἴη σοι εἰς κρῖμα, τὸ εἶναι σὺν αὐτῷ πάντοτε καὶ ποιεῖν τὸ ἐντελλόμενον παρ᾽ αὐτοῦ μετὰ σπουδῆς καὶ μεγάλου φόβου καὶ τρόμου, ἵνα ἔλθῃ ἐπὶ σὲ δι᾽ αὐτοῦ εὐλογία παρὰ τοῦ Θεοῦ καὶ λυτρωθῇς ἐκ τῆς πλάνης τοῦ ἐχθροῦ, μὴ πληρωθῇ καὶ περὶ σοῦ, «ὅτι ἔφαγεν Ἰακὼβ καὶ ἐνεπλήσθη καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος» καὶ πληρωθῇ εἰς σέ, «οὐαί σοι, Χωραζίν, οὐαί σοι, Βηθσαϊδά, ὅτι, εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο αἱ δυνάμεις αἱ γινόμεναι ἐν σοί, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ μετενόησαν», καὶ μὴ ἀκούσῃς καὶ σύ, «ἐμίσησας παιδείαν καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω»

Τί πολλάκις πειράζεις σεαυτόν, ἀπὸ σαυτοῦ κινῶν λόγους πρός τινας, καὶ οὐ βαστάζεις εἴ τι λέγουσιν, ἀλλ᾽ ἀπὸ φθόνου καὶ βασκανίας τυφλοῦταί σου ἡ καρδία καὶ φέρεις σεαυτῷ ταραχήν, καὶ πολλάκις προσέκοψας καὶ ἔκλασάς σου τὴν ὄψιν, καὶ οὐκ αἰσχύνεται τὸ χαλκομέτωπόν σου καὶ οὐ κάμπτεταί σου ὁ σιδηροτράχηλος, καθὼς καὶ παρὰ τοῦ ἀδελφοῦ Ἰωάννου ἐρρέθη σοι;

Τίς δὲ ἐχρήσατο τούτοις καὶ ἐσώθη; Κάϊν ἀπ᾽ ἀρχῆς ἐχρήσατο, καὶ ἐδέξατο τὴν κατάραν ἐκ χειρὸς Κυρίου· καὶ μετ᾽ αὐτὸν οἱ γίγαντες, καὶ ἐπνίγησαν εἰς τὸ ὕδωρ τοῦ κατακλυσμοῦ· ὁ Χὰμ

---

62. Δευτ. 32,15.
63. Λουκᾶ 10,13.

θεῖα λόγια ποὺ σοῦ λέγει ὁ ἀββᾶς σου, πρὸς ὠφέλεια καὶ σωτηρία τῆς ψυχῆς σου, γιὰ νὰ μὴ ἔλθεις ποτὲ σὲ ἐπίγνωση ζωῆς. Πόσους κόπους κάνει αὐτὸς γιὰ σένα σὰν γιὰ τὴ δική του ψυχή, παρακαλώντας τοὺς ἁγίους νὰ εὐχηθοῦν τὸ ἴδιο γιὰ σένα, γιὰ νὰ ξεφύγεις ἀπὸ τὶς παγίδες τοῦ διαβόλου καὶ τοῦ θανάτου καὶ νὰ σωθεῖς στὴ φωλειὰ τοῦ Κυρίου.

Καὶ αὐτὸς βέβαια κοπιάζει γιὰ σένα, σὺ ὅμως δὲν ὀφείλεις νὰ φυλάξεις τὰ λόγια του σὰν κόρη ὀφθαλμοῦ καὶ νὰ τὸν ἔχεις πάνω ἀπὸ τὴν ψυχή σου; Ἀλλ' ἔγινες χυδαῖος, ἐπειδὴ χόρτασες ἀπὸ τὴ συνεχὴ συναναστροφή του γιὰ τὴν ὁποία δὲν ἔπρεπε νὰ ἔχεις κορεσμό, ἀλλ' ἔπρεπε νὰ προσεύχεσαι νὰ καταξιωθεῖς αὐτῆς καὶ γιὰ νὰ μὴ σοῦ ἀποβεῖ πρὸς κατάκριση τὸ ὅτι εἶσαι μαζὶ μ' αὐτὸν πάντοτε, καὶ νὰ κάνεις τὴν ἐντολὴ ποὺ δίνεται ἀπὸ αὐτὸν μὲ πολλὴ προθυμία καὶ μεγάλο φόβο καὶ τρόμο, γιὰ νὰ σοῦ ἔρθει δι' αὐτοῦ εὐλογία ἀπὸ τὸν Θεὸ καὶ νὰ λυτρωθεῖς ἀπὸ τὴν πλάνη τοῦ ἐχθροῦ, ὥστε νὰ μὴ πραγματοποιηθεῖ καὶ σὲ σένα τὸ «ἔφαγε ὁ Ἰακὼβ καὶ χόρτασε καὶ κλώτσησε ὁ ἀγαπημένος»[62], καὶ λεχθεῖ καὶ γιὰ σένα τό, «ἀλλοίμονό σου, Χωραζίν, ἀλλοίμονό σου, Βηθσαϊδά, διότι, ἂν τὰ θαύματα ποὺ ἔγιναν σὲ σένα εἶχαν γίνει στὴν Τύρο καὶ στὴ Σιδώνα, ἀπὸ παλαιὰ θὰ εἶχαν μετανοήσει μὲ σάκκο καὶ στάχτη»[63], καὶ νὰ μὴ ἀκούσεις καὶ σύ, «μίσησες τὴν παιδεία καὶ ἔδιωξες τοὺς λόγους μου πρὸς τὰ πίσω»[64].

Γιατί πειράζεις πολλὲς φορὲς τὸν ἑαυτό σου, κινώντας λόγους ἀπὸ μόνος σου πρὸς κάποιους, καὶ δὲν ὑπομένεις ὅ,τι λένε, ἀλλὰ ἀπὸ φθόνο καὶ ζήλεια τυφλώνεται ἡ καρδιά σου καὶ προξενεῖς ταραχὴ στὸν ἑαυτό σου, καὶ ἂν καὶ πολλὲς φορὲς σκόνταψες καὶ ἔσπασες τὰ μοῦτρα σου, δὲν ντρέπεσαι τὸ χαλκομέτωπό σου καὶ δὲν κάμπτεται ὁ σιδηροτράχηλός σου, ὅπως σοῦ εἰπώθηκε καὶ ἀπὸ τὸν ἀδελφὸ Ἰωάννη;

Ποιός ἔκανε χρήση ὅλων αὐτῶν καὶ σώθηκε; Ὁ Κάϊν τὰ χρησιμοποίησε ἀπὸ τὴν ἀρχὴ καὶ δέχθηκε τὴν κατάρα ἀπὸ τὸ χέρι τοῦ Κυρίου· καὶ μετὰ ἀπὸ αὐτὸν οἱ γίγαντες καὶ πνίγηκαν

64. Ψαλμ. 49,17.

καὶ Ἠσαῦ, καὶ ἀπεβλήθησαν ἐκ τῶν ἁγίων εὐλογιῶν. Ὁ Φαραὼ ἐσκληρύνθη καὶ κατέπιεν αὐτὸν τὸ ὕδωρ τῆς Ἐρυθρᾶς θαλάσσης εἰς καταποντισμὸν καὶ τοὺς μετ᾽ αὐτοῦ· οἱ περὶ τὸν Δαθὰν ἀντέστησαν τῷ Μωϋσῇ, καὶ κατέπιεν αὐτοὺς ἡ γῆ καὶ τοὺς οἴκους αὐτῶν· καὶ εἰ τὸν ἱερέα ἀνθεστηκότα καταπίνει ἡ γῆ, κατὰ τὴν Γραφήν, πῶς σὺ ἐτόλμησας ἀντιστῆναι τῷ λέγοντί σοι εἰπεῖν, 'συγχώρησον', καὶ οὐκ ἔλεγες, καὶ ἀπηλλοτρίωσας σεαυτὸν τῆς τοῦ Θεοῦ ταπεινώσεως καὶ τῶν λογίων τῶν πατέρων, λεγόντων, ἐν παντὶ πράγματι χρῄζομεν τῆς ταπεινώσεως, τὸ εἰπεῖν ἐν παντὶ πράγματι καὶ λόγῳ 'συγχώρησον', καὶ ἤκουσας ποσάκις καὶ οὐκ εἶπας, ἀλλὰ καὶ ὃ εἶπας ἔσχατον, οὐκ ἦν ἀλήθεια; βεβαιασμένον γὰρ καὶ οὐ μετὰ μετανοίας καὶ κατανύξεως εἶπας. Ἕως πότε σκληροτράχηλος εἶ καὶ ἀπερίτμητος τῇ καρδίᾳ; Βλέπε ὅτι οὐδεὶς σκληρός ἐστι. Τί δίδως χεῖρα καὶ δύναμιν τῷ διαβόλῳ πρὸς ἀπώλειαν τῆς ψυχῆς σου;

Λοιπὸν νῆψον, ἀδελφέ μου, γρηγόρησον, ἐξυπνίσθητι ἀπὸ τοῦ βαθυτάτου ὕπνου καὶ τῆς κατεχούσης σε μέθης ἄνευ οἴνου. Ποῦ ἡ ταπείνωσις; ποῦ ἡ ὑπακοή; ποῦ τὸ κόψαι τὸ θέλημα ἐν πᾶσιν; Ἐὰν γὰρ εἰς ἓν κόπτῃς σου τὸ θέλημα καὶ εἰς ἓν οὐ κόπτεις, φανερόν ἐστιν, ὅτι καὶ εἰς ὃ ἔκοψας, πάλιν ἄλλο θέλημα εἶχες. Ἐν πᾶσι γὰρ ὑποτάσσεται ὁ ὑποτασσόμενος, καὶ ὁ τοιοῦτος ἀμεριμνεῖ περὶ τῆς ἑαυτοῦ σωτηρίας, ὡς ἄλλου ὑπὲρ αὐτοῦ ἀπολογουμένου, ᾧ ὑπετάγη καὶ ἐπίστευσεν ἑαυτόν. Εἰ θέλεις οὖν σωθῆναι καὶ ζῆσαι ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, φύλαξον ταῦτα, καὶ δίδωμι λόγον ὑπὲρ σοῦ, ἀδελφέ· εἰ δὲ ἀμελεῖς, σὺ ὄψει.

Τὴν ἐλπίδα μὴ κόψῃς· αὕτη γὰρ χαρά ἐστι τοῦ διαβόλου. Τὸν ἀββᾶν ἐποίησα δέξασθαί σε εἰς τὸν κόλπον αὐτοῦ καθὼς ἦς· ἐναρκίασε γὰρ ἀπὸ τῆς ἀπειθείας σου καὶ ἀνηκοΐας σου καὶ ἔπεισα αὐτὸν δέξασθαί σε ἐν φόβῳ Θεοῦ, ὡς υἱὸν γνήσιον καὶ

στὰ νερὰ τοῦ κατακλυσμοῦ· ἐπίσης ὁ Χὰμ καὶ ὁ Ἡσαῦ, καὶ ἀπομακρύνθηκαν ἀπὸ τὶς ἅγιες εὐλογίες. Ὁ Φαραὼ σκληρύνθηκε καὶ τὸν κατάπιε βαθιὰ τὸ νερὸ τῆς Ἐρυθρᾶς θάλασσας, αὐτὸν καὶ τὸν στρατό του. Ἐπίσης οἱ γύρω ἀπὸ τὸν Δαθὰν ἀντιστάθηκαν στὸν Μωϋσῆ καὶ τοὺς κατάπιε ἡ γῆ, αὐτοὺς καὶ τὰ σπίτια τους. Καὶ ἂν τὸν ἱερέα ἐπειδὴ εἶχε ἀντισταθεῖ τὸν κατάπιε ἡ γῆ, κατὰ τὴ Γραφή, πῶς ἐσὺ τόλμησες ν' ἀντισταθεῖς σ' αὐτὸν ποὺ σοῦ ἔλεγε νὰ πεῖς 'συγχώρεσε', καὶ δὲν τὸ ἔλεγες, καὶ ἀποξένωσες τὸν ἑαυτό σου ἀπὸ τὴν ταπείνωση τοῦ Θεοῦ καὶ ἀπὸ τὰ λόγια τῶν πατέρων ποὺ λένε, σὲ κάθε πρᾶγμα ἔχομε ἀνάγκη ἀπὸ τὴ ταπείνωση, τὸ νὰ λέμε σὲ κάθε πρᾶγμα καὶ λόγο, 'συγχώρεσε'; Σὺ ὅμως τὸ ἄκουσες πόσες φορὲς καὶ δὲν εἶπες, ἀλλὰ καὶ αὐτὸ ποὺ εἶπες τελευταῖο, δὲν ἦταν ἀλήθεια· διότι τὸ εἶπες μὲ βία, καὶ ὄχι μὲ μετάνοια καὶ κατάνυξη. Ὥς πότε θὰ εἶσαι σκληροτράχηλος καὶ ἀπερίτμητος στὴν καρδιά; Πρόσεχε, διότι κανεὶς δὲν εἶναι σκληρός. Γιατί δίνεις χέρι καὶ δύναμη στὸ διάβολο πρὸς ἀπώλεια τῆς ψυχῆς σου;

Νῆψε λοιπόν, ἀδελφέ μου, ἔλα σὲ ἐγρήγορση, ξύπνησε ἀπὸ τὸν βαθύτατο ὕπνο καὶ τὴ μέθη ποὺ σὲ κατέχει χωρὶς κρασί. Ποῦ εἶναι ἡ ταπείνωση; ποῦ εἶναι ἡ ὑπακοή; ποῦ τὸ νὰ κόψεις τὸ θέλημα σὲ ὅλα; Διότι ἂν κόβεις τὸ θέλημά σου σὲ ἕνα πρᾶγμα καὶ σὲ ἄλλο δὲν τὸ κόβεις, εἶναι φανερό, ὅτι καὶ σ' αὐτὸ ποὺ τὸ ἔκοψες, πάλι εἶχες ἄλλο θέλημα. Διότι σὲ ὅλα πρέπει νὰ ὑποτάσσεται ὁ ὑποτακτικὸς καὶ ἕνας τέτοιος ἄνθρωπος ἀμεριμνεῖ γιὰ τὴ σωτηρία του, ἀφοῦ ἄλλος ἀπολογεῖται ὑπὲρ αὐτοῦ, ἐκεῖνος στὸν ὁποῖο ὑποτάχθηκε καὶ ἐμπιστεύθηκε τὸν ἑαυτό του. Ἂν θέλεις λοιπὸν νὰ σωθεῖς καὶ νὰ ζήσεις στὸν οὐρανὸ καὶ τὴ γῆ, φύλαξε αὐτά, καὶ τότε θὰ δώσω λόγο γιὰ σένα, ἀδελφέ· ἂν ὅμως ἀμελήσεις, ἐσὺ ἔχεις τὴν εὐθύνη.

Μὴ κόψεις τὴν ἐλπίδα· διότι αὐτὸ εἶναι χαρὰ τοῦ διαβόλου. Ἔπεισα τὸν ἀββᾶ νὰ σὲ δεχθεῖ στὸν κόλπο του, ὅπως ἤσουν· διότι ἀπογοητεύθηκε ἀπὸ τὴν ἀπείθεια καὶ ἀνυπακοή σου, ἀλλὰ τὸν ἔπεισα νὰ σὲ δεχθεῖ μὲ φόβο Θεοῦ, σὰν γνήσιο υἱὸ καὶ ὄχι σὰν νόθο· καὶ σὺ νὰ ἐμπιστευθεῖς τὸν ἑαυτό σου σ'

οὐχ ὡς νόθον· καὶ σὺ κατὰ φόβον Θεοῦ πίστευσον σεαυτὸν αὐτῷ κατὰ πάντα, καὶ μαρτυρεῖ μοι ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα, ὅτι βαστάζω σου τὴν φροντίδα πᾶσαν ἐνώπιον αὐτοῦ, καὶ παρ' ἐμοῦ ζητήσει τὸ αἷμά σου, ἐὰν μὴ ἀκυρώσῃς μου τοὺς λόγους.

Ἀπὸ τῆς σήμερον οὖν βάλε ἀρχήν, βοηθούμενος ὑπὸ τῆς χειρὸς τοῦ Θεοῦ. Ἰδοὺ νέος γέγονας, φύλαξον σεαυτὸν καὶ μὴ προσχῇς μωρολογίαις ἀνωφελέσιν. Ὁ Κύριος δώῃ σοι σύνεσιν καὶ δύναμιν τοῦ ἀκοῦσαι καὶ ποιῆσαι, καὶ εἴ τι θέλεις ἐρωτᾶν ἀπὸ καιροῦ καὶ εἰς καιρόν, οὐ μὴ ὀκνήσω ἀποκριθῆναί σοι ὃ δίδωσιν ὁ Θεὸς εἰς τὸ στόμα μου, πληροφορῶν τὴν σὴν καρδίαν τί εἰπεῖν σοι πρὸς σωτηρίαν τῆς ψυχῆς σου, ἐν Χριστῷ Ἰησοῦ. Ἀμήν.

ΧΙΕ'

Ἐρώτησις

Ὁ αὐτὸς ἀδελφὸς παρακούσας τοῦ ἀββᾶ καὶ ἐρωτήσας τὸν μέγαν Γέροντα,

> *Εἰ συμφέρον ἐστὶ φυλάξαι τινὰ τὰ ἐν ὅρκῳ λαλούμενα ἐν τῇ ὥρᾳ τοῦ θυμοῦ αὐτοῦ, ἢ μετανοῆσαι καὶ μὴ τὰ τοῦ ὅρκου πρᾶξαι,*

Ἀπεκρίθη αὐτῷ ὁ Γέρων ταῦτα.

Ἀπόκρισις

Εἶπεν ὁ Κύριος τῷ Μωϋσῇ, «κατάβηθι τὸ τάχος· ἠνόμησε γὰρ ὁ λαός, ὃν ἐξήγαγες ἐκ γῆς Αἰγύπτου· ἐξετράπησαν γὰρ ἀπὸ τῆς ὁδοῦ ἧς ἐνετείλω αὐτοῖς, καὶ ἰδοὺ ἐποίησαν μόσχον καὶ προσκυνοῦσι τῷ εἰδώλῳ». Πῶς, ταλαίπωρε, ἐξηπατήθης διὰ τάχους ἀπὸ τῆς ὑπακοῆς, ἧς ἀπαλλοτριῶσαί σε ὁ διάβολος θέλει καὶ μαίνεται κατὰ σοῦ; Οὐ τοῦτό ἐστιν ὃ εἶπόν σοι, ὅτι 'ἀνόητος εἶ καὶ ἀπερίτμητος τῇ καρδίᾳ'; Ποῦ ἔρριψάς μου τους λόγους; τί σπεύδεις ἐμπεσεῖν εἰς τὸν βό-

αὐτὸν μὲ φόβο Θεοῦ σὲ ὅλα. Καὶ μάρτυς μου εἶναι ὁ Πατέρας καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιο Πνεῦμα ὅτι βαστάζω ὅλη τὴ φροντίδα σου ἐνώπιόν του, καὶ ἀπὸ μένα θὰ ζητήσει τὸ αἷμα σου, ἂν δὲν ἀκυρώσεις τὰ λόγια μου.

Ἀπὸ σήμερα λοιπὸν βάλε ἀρχή, βοηθούμενος ἀπὸ τὸ χέρι τοῦ Θεοῦ. Νά, ἔχεις γίνει νέος, φύλαξε τὸν ἑαυτό σου καὶ μὴ προσέχεις σὲ ἀνωφελεῖς μωρολογίες. Εἴθε ὁ Κύριος νὰ σοῦ δώσει σύνεση καὶ δύναμη, ὥστε νὰ τὰ ἀκούσεις αὐτὰ καὶ νὰ τὰ κάνεις· καὶ ἂν θέλεις νὰ ἐρωτᾶς κάτι ἀπὸ καιρὸ σὲ καιρό, δὲν θὰ διστάσω νὰ σοῦ ἀπαντήσω αὐτὸ ποὺ δίνει ὁ Θεὸς στὸ στόμα μου, πληροφορώντας τὴν καρδιά σου τί νὰ σοῦ πεῖ γιὰ τὴ σωτηρία τῆς ψυχῆς σου, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ. Γένοιτο.

615

Ὁ ἴδιος ἀδελφός, παρακούοντας τὸν ἀββᾶ, ἐρώτησε τὸν μεγάλο Γέροντα,

> Ἐὰν εἶναι συμφέρον νὰ φυλάξει κάποιος αὐτὰ ποὺ λέγονται μὲ ὅρκο κατὰ τὴν ὥρα τοῦ θυμοῦ του, ἢ νὰ μετανοήσει καὶ νὰ μὴ πράξει τὰ σχετικὰ μὲ τὸν ὅρκο,

Ὁ γέροντας τοῦ ἀποκρίθηκε αὐτά.

Ἀπόκριση

Ο Κύριος εἶπε στὸν Μωϋσῆ, «κατέβα γρήγορα· διότι παρανόμησε ὁ λαός, τὸν ὁποῖο ἔβγαλες ἀπὸ τὴ χώρα τῆς Αἰγύπτου· παρεκτράπηκαν ἀπὸ τὸν δρόμο ποὺ τοὺς διέταξες ν' ἀκολουθοῦν, καὶ νά, κατασκεύασαν ἕνα μοσχάρι καὶ προσκυνοῦν τὸ εἴδωλο»[65]. Πῶς ἐξαπατήθηκες, ταλαίπωρε, γρήγορα ἀπὸ τὴν ὑπακοή, ἀπὸ τὴν ὁποία θέλει νὰ σὲ ἀποξενώσει ὁ διάβολος καὶ μαίνεται ἐναντίον σου; Δὲν εἶναι αὐτὸ ποὺ σοῦ εἶπα, ὅτι εἶσαι ἀνόητος καὶ ἀπερίτμητος στὴν καρδιά; Ποῦ ἔρριξες τὰ λόγια μου; Γιατί βιάζεσαι νὰ πέσεις μέσα στὸ βόθρο

65. Ἐξ. 32,7.

θρον τοῦ διαβόλου; τί τυφλοῖ σε ὁ ἐχθρὸς περὶ ὧν ἤκουσας; Οὐκ ἐνετάλθης παραδοῦναι σεαυτὸν εἰς χεῖρας τοῦ Θεοῦ καὶ εἰς χεῖρας τοῦ ἀββᾶ σου; οὐκ ἤκουσας ὅτι θέλει τὴν σωτηρίαν τῆς ψυχῆς σου, ὡς τὴν ὠφέλειαν τῆς ψυχῆς αὐτοῦ; Καὶ οὐκ ὤφειλες παρακοῦσαι αὐτοῦ, εἰ εἶπέ σοι φόνον ποιῆσαι, διὰ τὴν ὠφέλειαν μάλιστα τῶν ἀδελφῶν, ἣν διὰ δικαιώματος ἀπόλλει ἀπὸ σοῦ ὁ σατανᾶς, ἵνα μήτε σὺ ὠφεληθῇς, μήτε ἄλλος διὰ σοῦ, καὶ θέλεις λαβεῖν τὸ οὐαὶ τῶν Φαρισαίων καὶ τοῦ σκοποῦ τοῦ Ἰεζεκιὴλ περὶ τῆς ἐπερχομένης ρομφαίας;

Ἔστω, σὺ οὐ δύνασαι ὠφελῆσαί τινα· διατί οὐ λέγεις τῷ δυναμένῳ; Τί ἐγένου ταχὺ ὡς κύων, ἐπιστρέψας ἐπὶ τὸ ἴδιον ἐξέρασμα, καὶ ὡς ὗς ἐπὶ κύλισμα βορβόρου, μένων ἀκαμπὴς ἐπὶ τῇ σκληροκαρδίᾳ σου; Ἐνετείλατό σοι πάντα εἰπεῖν τὰ γινόμενα καὶ ἡ ἁμαρτία αὐτοῦ ᾖ, καὶ παροξύνεις αὐτὸν ὡς ὁ λαὸς τὸν Μωϋσέα; Αἰσχύνθητι λοιπόν, ἀπόθου τὴν πάλαι σου συνήθειαν καὶ ἐπίστρεψον καὶ δέχεταί σε ὁ Θεός, ἐλεήμων γάρ ἐστι, καὶ μὴ πρόσχῃς ἀνθρωπαρεσκείαις, ἐπεὶ ἀπόλλῃ καὶ οὐ γίνῃ δοῦλος Θεοῦ. Πρόσεχε σεαυτῷ, ἄθλιε, καὶ φοβοῦ τὸν Θεόν.

Ἐν δὲ τῇ ὀργῇ τοῦ θυμοῦ σου, οὐ συμφέρει σοι φυλάξαι τὰ ἐν ὅρκῳ ρηθέντα καὶ παραβῆναι τὴν ἐντολὴν τοῦ Θεοῦ, λέγοντος, «οὐ φονεύσεις»· κρεῖττον γάρ ἐστι μετανοῆσαι Θεῷ ὑπὲρ τοῦ μεθ' ὅρκου λαληθέντος ποιῆσαι, καὶ μὴ ποιῆσαι καὶ μὴ ἐμπεσεῖν εἰς τὴν κατάκρισιν Ἡρώδου, ὅς, διὰ τὸ στῆσαι τὸν ἀσεβῆ αὐτοῦ ὅρκον, ἀπέτεμε τὴν κεφαλὴν Ἰωάννου τοῦ Προδρόμου καὶ ἐξέπεσε τῆς αἰωνίου ζωῆς καὶ παρεδόθη τῇ πικρᾷ καὶ ἀτελευτήτῳ κολάσει. Ἀλλὰ μᾶλλον συμφέρει μετανοῆσαι καὶ αἰτῆσαι παρὰ τοῦ Θεοῦ συγχώρησιν τοῦ ταύτην παρασχεῖν δυναμένου. Μακάριος γὰρ ἦν καὶ Ἡρώδης εἰ τοῦτο ἐποίησε, μὴ ποιήσας δέ, ἐγένετο τρισάθλιος καὶ ἐπικατάρατος εἰς τὸν αἰῶνα.

τοῦ διαβόλου; γιατί σὲ τυφλώνει ὁ ἐχθρὸς γιὰ ὅσα ἄκουσες; Δὲν διατάχθηκες νὰ παραδώσεις τὸν ἑαυτό σου στὰ χέρια τοῦ Θεοῦ καὶ στὰ χέρια τοῦ ἀββᾶ σου; δὲν ἄκουσες ὅτι αὐτὸς θέλει τὴ σωτηρία τῆς δικῆς σου ψυχῆς, ὅσο θέλει τὴν ὠφέλεια τῆς ψυχῆς του; Δὲν ἔπρεπε λοιπὸν νὰ τὸν παρακούσεις, καὶ ἂν ἀκόμη σοῦ ἔλεγε νὰ κάνεις φόνο, καὶ πολὺ περισσότερο γιὰ τὴν ὠφέλεια τῶν ἀδελφῶν, τὴν ὁποία ἀπὸ ἐγωϊσμὸ σοῦ ἀφαίρεσε ὁ σατανᾶς, γιὰ νὰ μὴ ὠφεληθεῖς οὔτε ἐσύ, οὔτε ἄλλος διὰ σοῦ. Σὺ ὅμως θέλεις νὰ δεχθεῖς τὸ ἀλλοίμονο τῶν Φαρισαίων καὶ τοῦ σκοποῦ τοῦ Ἰεζεκιὴλ γιὰ τὴν ἐπερχόμενη ρομφαία.

Ἂς ποῦμε ὅτι σὺ δὲν μπορεῖς νὰ ὠφελήσεις κάποιον· γιατί δὲν λὲς ἐκεῖνον ποὺ μπορεῖ; Γιατί ἔγινες σὰν σκύλος ποὺ ἐπιστρέφει στὸ ξέρασμά του καὶ σὰν χοῖρος γιὰ νὰ κυλισθεῖ στὸ βόρβορο, μένοντας ἄκαμπτος στὴ σκληροκαρδία σου; Σοῦ ἔδωσε ἐντολὴ νὰ πεῖς ὅλα ὅσα ἔγιναν καὶ ἡ ἁμαρτία εἶναι δική του, καὶ σὺ τὸν παροργίζεις ὅπως ὁ λαὸς τὸν Μωϋσῆ; Νοιῶσε ντροπὴ λοιπόν, ἀπομάκρυνε τὴν παλαιὰ συνήθειά σου καὶ ἐπίστρεψε καὶ θὰ σὲ δεχθεῖ ὁ Θεός, διότι εἶναι ἐλεήμων, καὶ μὴ προσέχεις τὶς ἀνθρωπαρέσκειες, διότι θὰ χαθεῖς καὶ δὲν θὰ γίνεις δοῦλος τοῦ Θεοῦ. Πρόσεχε τὸν ἑαυτό σου, ἄθλιε, καὶ φοβήσου τὸν Θεό.

Κατὰ τὴν ἐκδήλωση τῆς ὀργῆς τοῦ θυμοῦ σου, δὲν σὲ συμφέρει νὰ φυλάξεις αὐτὰ ποὺ εἰπώθηκαν μὲ ὅρκο, καὶ νὰ παραβεῖς τὴν ἐντολὴ τοῦ Θεοῦ ποὺ λέγει, «μὴ φονεύσεις»· διότι εἶναι καλύτερο νὰ μετανοήσεις στὸν Θεὸ γι' αὐτὸ ποὺ μὲ ὅρκο εἶπες νὰ κάνεις, καὶ νὰ μὴ τὸ κάνεις, καὶ νὰ μὴ πέσεις στὴν κατάκριση τοῦ Ἡρώδη, ὁ ὁποῖος, γιὰ νὰ πραγματοποιήσει τὸν ἀσεβὴ ὅρκο του, ἔκοψε τὸ κεφάλι τοῦ Ἰωάννη τοῦ Προδρόμου καὶ ἐξέπεσε ἀπὸ τὴν αἰώνια ζωὴ καὶ παραδόθηκε στὴν πικρὴ καὶ ἀτέλειωτη κόλαση. Ἀλλὰ μᾶλλον σοῦ συμφέρει νὰ μετανοήσεις καὶ νὰ ζητήσεις συγχώρηση ἀπὸ τὸν Θεὸ ποὺ μπορεῖ νὰ σοῦ τὴ δώσει. Διότι καὶ ὁ Ἡρώδης θὰ ἦταν μακάριος, ἂν ἔκανε αὐτό, ἐπειδὴ ὅμως δὲν τὸ ἔκανε, ἔγινε τρισάθλιος καὶ ἐπικατάρατος στὸν αἰώνα.

Καὶ ὁ Πέτρος δέ, ὁ κορυφαῖος τῶν Ἀποστόλων, ὤμοσεν ἐκ τρίτου καὶ ἀνεθεμάτισε μὴ γινώσκειν τὸν Σωτῆρα, ἀλλά, μεταγνοὺς ἐν πικροτάτῳ κλαυθμῷ καὶ γνησίᾳ μετανοίᾳ, ἔλυσεν ἑαυτοῦ τὴν ἁμαρτίαν, καὶ προσεδέχθη παρὰ τοῦ φιλανθρώπου Δεσπότου Χριστοῦ καὶ Σωτῆρος, καὶ οὐ μόνον χαρᾶς ἠξιώθη τοῦ ἀγγέλου εἰπόντος ταῖς γυναιξίν, «εἴπατε τοῖς μαθηταῖς αὐτοῦ καὶ τῷ Πέτρῳ», ἀλλὰ καὶ αὐτὸς ὁ Κύριος ἀντὶ τῶν τριῶν ἀρνήσεων, τρίτον ἠρώτησεν αὐτόν, λέγων, «ἀγαπᾷς με, Πέτρε;», δεικνύων αὐτῷ ὅτι διὰ τῆς καλῆς μετανοίας ἐθεραπεύθη αὐτοῦ ἡ τῶν τριῶν ἀρνήσεων ἁμαρτία.

Μηκέτι οὖν ὀμόσῃς παραβαίνων τὴν ἐντολὴν τοῦ Θεοῦ. Ἐὰν δὲ εἰς τοῦτο ἁμάρτῃς μὴ δυσχεράνῃς μετανοῆσαι· καὶ γὰρ καὶ ὁ Πέτρος, εἰ ἔστησεν αὐτοῦ τὸν ὅρκον μὴ γινώσκειν τὸν ἑαυτοῦ Δεσπότην, ἀλλότριος αὐτοῦ εἶχεν εἶναι καὶ τῆς δόξης αὐτοῦ.

ΧΙΣΤ'

Ἐρώτησις

Ὁ ἀδελφός, πληροφορηθεὶς ἐν τούτοις, ἠρώτησε τὸν αὐτὸν μέγαν Γέροντα οὕτως.

Εἶπεν ἡ θεοφιλία σου, ὅτι δύναται ὁ ἁμαρτωλὸς τὰ ἑαυτοῦ ἁμαρτήματα διὰ τῆς μετανοίας λῦσαι. Τί οὖν; οὐ χρείαν ἔχει καὶ τῆς εὐχῆς τῶν ἁγίων, ἀλλ' ἀρκεῖ ἑαυτῷ; Εἰ δὲ καὶ μὴ γνησίαν ἐνδείξηται τὴν μετάνοιαν αὐτός, οἱ δὲ ἅγιοι δεηθῶσιν ὑπὲρ αὐτοῦ, οὐ λύεται δι' αὐτοὺς τὰ ἁμαρτήματα αὐτοῦ;

Ἀπόκρισις

Ἐὰν μὴ καὶ ὁ ἄνθρωπος ποιήσῃ τὸ κατὰ δύναμιν καὶ συμμίξῃ τῇ εὐχῇ τῶν ἁγίων, οὐδὲν ὠφελεῖται εὐχομένων τῶν ἁγίων ὑπὲρ αὐτοῦ. Ἐὰν ἐγκρατεύωνται αὐτοὶ ὑπὲρ αὐτοῦ καὶ ὑπερεύχωνται, αὐτὸς δὲ σπαταλᾷ καὶ στρηνιᾷ, τί

---

66. Μάρκ. 16,7. 67. Ἰω. 21,15–17.

Καὶ ὁ Πέτρος, ὁ κορυφαῖος τῶν Ἀποστόλων, ὁρκίστηκε τρεῖς φορὲς καὶ ἀρνήθηκε ὅτι γνωρίζει τὸν Σωτήρα· ἀλλ' ὅταν μετάνοιωσε μὲ πικρότατο κλαυθμὸ καὶ γνήσια μετάνοια, ἔλυσε τὴν ἁμαρτία του καὶ ἔγινε δεκτὸς ἀπὸ τὸν φιλάνθρωπο Δεσπότη Χριστὸ καὶ Σωτήρα· καὶ ὄχι μόνο ἀξιώθηκε τὴ χαρὰ τοῦ ἀγγέλου ποὺ εἶπε στὶς γυναῖκες, «νὰ πεῖτε στοὺς μαθητές του καὶ στὸν Πέτρο»[66], ἀλλὰ καὶ ὁ ἴδιος ὁ Κύριος, ἀντὶ τῶν τριῶν ἀρνήσεων, τὸν ἐρώτησε τρεῖς φορὲς λέγοντας, «Πέτρε, μὲ ἀγαπᾶς;»[67], δείχνοντάς του ὅτι μὲ τὴν καλὴ μετάνοια θεραπεύθηκε ἡ ἁμαρτία τῶν τριῶν ἀρνήσεών του.

Ποτὲ λοιπὸν νὰ μὴ ὁρκισθεῖς παραβαίνοντας τὴν ἐντολὴ τοῦ Θεοῦ. Ἐὰν ὅμως διαπράξεις αὐτὴν τὴν ἁμαρτία, νὰ μὴ διστάσεις νὰ μετανοήσεις· διότι καὶ ὁ Πέτρος, ἂν κρατοῦσε τὸν ὅρκο του, ὅτι δὲν γνωρίζει τὸν Δεσπότη του, θὰ εἶχε ἀποξενωθεῖ ἀπὸ αὐτὸν καὶ τὴ δόξα του.

616

Ἐρώτηση

Ὁ ἀδελφός, ἀφοῦ πληροφορήθηκε μ' αὐτά, ἐρώτησε τὸν ἴδιο μεγάλο Γέροντα τὰ ἑξῆς.

> Ἡ θεοφιλία σου εἶπε, ὅτι μπορεῖ ὁ ἁμαρτωλὸς νὰ λύσει τὶς ἁμαρτίες του μὲ τὴ μετάνοια. Τί λοιπόν; δὲν ἔχει ἀνάγκη καὶ τὴν προσευχὴ τῶν ἁγίων, ἀλλ' εἶναι αὐτάρκης; Ἂν πάλι δὲν δείξει αὐτὸς γνήσια μετάνοια, οἱ ἅγιοι ὅμως παρακαλέσουν γι' αὐτόν, δὲν λύνονται δι' αὐτῶν οἱ ἁμαρτίες του;

Ἀπόκριση

Ἐὰν δὲν κάνει καὶ ὁ ἄνθρωπος τὸ κατὰ δύναμη καὶ δὲν τὸ ἀναμίξει μὲ τὴν προσευχὴ τῶν ἁγίων, δὲν ὠφελεῖται καθόλου ἀπὸ τὴν προσευχὴ τῶν ἁγίων γι' αὐτόν. Ἐὰν ἐγκρατεύονται αὐτοὶ ὑπὲρ αὐτοῦ καὶ προσεύχονται γι' αὐ-

ὠφελεῖ ἡ δέησις αὐτῶν ἡ ὑπὲρ αὐτοῦ; πληροῦται γὰρ τὸ εἰρημένον, «εἷς οἰκοδομῶν καὶ εἷς καταλύων, τί πλέον ὠφέλησαν, ἢ κόπους;». Εἰ γὰρ ἐδύνατο τοῦτο γενέσθαι, ἵνα, ὑπὲρ οὗ ηὔχοντο οἱ ἅγιοι, μὴ προσέχοντος αὐτοῦ μικρόν τι, σώζηται, οὐκ ἐκώλυσεν, ἵνα καὶ ὑπὲρ πάντων τῶν ἁμαρτωλῶν τοῦ κόσμου τοῦτο ποιῶσιν· ἐὰν γὰρ μικρόν τι κοπιάσῃ καὶ ὁ ἁμαρτωλός, χρείαν ἔχει καὶ τῆς εὐχῆς τοῦ δικαίου. Φησὶ γὰρ ὁ Ἀπόστολος, «πολλὰ ἰσχύει δέησις δικαίου ἐνεργουμένη»· τούτέστιν ἵνα, ὅταν ὑπερεύχηται ὁ ἅγιος καὶ δίκαιος, συνεργῇ καὶ ὁ ἁμαρτωλὸς κατὰ τὴν δύναμιν αὐτοῦ διὰ τῆς μετανοίας, τῇ δεήσει τῶν ἁγίων, ἀνίκανος ὢν αὐτὸς μόνος πρὸς τὴν τῶν ὀφλημάτων ἀπόδοσιν. Αὐτὸς μὲν γὰρ ὀλίγα συνεισφέρει, ἡ δὲ δέησις τῶν ἁγίων τὰ πολλά. Ὥσπερ γὰρ ἐάν τις ἔχῃ ἀνάγκη βαστάσαι δέκα μοδίους σίτου, καὶ μηδὲ δύο δύναται, εὕρῃ δὲ ἄνθρωπον φοβούμενον τὸν Θεὸν καὶ βαστάσῃ ἀπ' αὐτοῦ τὰ ἐννέα, καὶ ἀφήσῃ αὐτῷ τὸ ἕν, σώζει αὐτόν, ἵνα σωθῇ καὶ μὴ ἐν τῇ ὁδῷ ὑπὸ λῃστῶν διαφθαρῇ, οὕτω καὶ ἐνταῦθα.

Πάλιν ὁμοιοῦται ὁ ἁμαρτωλὸς ἀνθρώπῳ χρεωστοῦντι νομίσματα ἑκατόν, ὅς, ὑπομνησθεὶς παρὰ τοῦ δανειστοῦ περὶ τῆς καταβολῆς τοῦ χρέους, ἀπῆλθε πρὸς ἄλλον ἄνθρωπον εὐσεβῆ καὶ εὔπορον καὶ παρεκάλεσεν αὐτὸν δοῦναι αὐτῷ κατὰ ἀγάπην, ὡς ἡ δύναμις ἔχει· ἐκεῖνος δέ, φιλάνθρωπος ὢν καὶ βλέπων τὴν θλῖψιν αὐτοῦ, σπλαγχνισθεὶς εἶπεν αὐτῷ· ''Ἀδελφέ, εἴ τι ἔχω εἰς τὰς χεῖράς μου δίδωμι ὑπὲρ σοῦ καὶ ἐλευθεροῦσαι τοῦ γραμματίου'. Ἐν τῷ χρεωφειλέτῃ οὖν ἐστι σπουδάσαι τὰ ὀλίγα δοῦναι, καὶ τῶν πολλῶν ἐλευθερωθῆναι· ἐὰν γὰρ μὴ ἴδῃ ἐκεῖνος ὁ εὔσπλαγχνος ἄνθρωπος, ὅτι ἤνεγκεν ἐκεῖνος τὰ δέκα νομίσματα, ὀκνεῖ αὐτὸς τὰ ἐνενήκοντα δοῦναι, εἰδώς, ὅτι ὁ δανειστὴς οὐ παρέξει τὸ γραμματεῖον, ἐὰν μὴ πληρωθῶσι τὰ ὀφειλόμενα ἑκατόν.

τόν, αὐτὸς ὅμως ζεῖ σπάταλα καὶ ἄτακτα, τί ὠφελεῖ ἡ δέηση αὐτῶν ὑπὲρ αὐτοῦ; διότι πραγματοποιεῖται ἐκεῖνο ποὺ λέχθηκε, «ἕνας οἰκοδομεῖ καὶ ἕνας γκρεμίζει· ποιό ἦταν τὸ ἐπὶ πλέον ὄφελος, παρὰ μόνο κόποι;»[68]. Διότι, ἂν μποροῦσε νὰ γίνει αὐτό, δηλαδὴ νὰ σώζεται αὐτὸς γιὰ τὸν ὁποῖο προσεύχονταν οἱ ἅγιοι, χωρὶς ὁ ἴδιος νὰ προσέχει λίγο, δὲν θὰ ἐμπόδιζε νὰ τὸ κάνουν αὐτὸ καὶ ὑπὲρ ὅλων τῶν ἁμαρτωλῶν τοῦ κόσμου. Ἔτσι, ἂν κοπιάσει λίγο καὶ ὁ ἁμαρτωλός, ἔχει ἀνάγκη καὶ τὴν προσευχὴ τοῦ δικαίου. Ὁ Ἀπόστολος λέγει, «ἡ δέηση ποὺ γίνεται ἀπὸ τὸ δίκαιο ἔχει μεγάλη δύναμη»[69]· δηλαδή, ὅταν προσεύχεται ὁ ἅγιος καὶ δίκαιος, μὲ τὴ δέηση τῶν ἁγίων νὰ συνεργεῖ καὶ ὁ ἁμαρτωλὸς κατὰ τὴ δύναμή του μὲ τὴ μετάνοια, διότι ὁ ἴδιος μόνος εἶναι ἀνίκανος γιὰ τὴν ἀπόδοση τῶν ὀφειλῶν. Ὁ ἴδιος δηλαδὴ συνεισφέρει λίγα, ἐνῶ ἡ δέηση τῶν δικαίων πολλά. Ὅπως ἀκριβῶς ἂν κάποιος πρέπει νὰ βαστάξει δέκα μοδίους σίτου, ἐνῶ δὲν μπορεῖ οὔτε δύο, καὶ βρεῖ ἄνθρωπο ποὺ φοβᾶται τὸν Θεὸ καὶ τοῦ βαστάξει ἐκεῖνος τοὺς ἐννέα, ἀφήνοντας σ' αὐτὸν τὸν ἕνα, τὸν σώζει, διότι θὰ σωθεῖ καὶ δὲ θὰ καταστραφεῖ στὸ δρόμο ἀπὸ τοὺς ληστές, ἔτσι καὶ ἐδῶ.

Πάλι παρομοιάζεται ὁ ἁμαρτωλὸς μὲ ἄνθρωπο ποὺ χρωστᾶ ἑκατὸ νομίσματα, ὁ ὁποῖος, ὅταν τοῦ ὑπενθυμίσθηκε ἀπὸ τὸν δανειστή του γιὰ τὴν καταβολὴ τοῦ χρέους, πῆγε σὲ ἄλλον ἄνθρωπο εὐσεβὴ καὶ πλούσιο καὶ τὸν παρακάλεσε νὰ τοῦ δώσει ἀπὸ ἀγάπη ὅσα μπορεῖ. Ἐκεῖνος, ἐπειδὴ ἦταν φιλάνθρωπος καὶ ἔβλεπε τὴ θλίψη του, ἀφοῦ τὸν εὐσπλαγχνίσθηκε, εἶπε. 'Αδελφέ, ὅ,τι ἔχω στὰ χέρια μου τὸ δίνω γιὰ σένα, καὶ σὲ ἐλευθερώσω ἀπὸ τὸ γραμμάτιο'. Στὸν χρεωφειλέτη λοιπὸν ἀνήκει νὰ φροντίσει νὰ δώσει τὰ λίγα, καὶ νὰ ἐλευθερωθεῖ ἀπὸ τὰ πολλά· διότι, ἂν ὁ εὔσπλαγχνος ἐκεῖνος ἄνθρωπος δὲν δεῖ, ὅτι ἔφερε αὐτὸς τὰ δέκα νομίσματα, διστάζει ὁ ἴδιος νὰ δώσει τὰ ἐνενήντα, ἐπειδὴ γνωρίζει, ὅτι ὁ δανειστὴς δὲν θὰ ἀποσύρει τὸ γραμμάτιο, ἂν δὲν πληρωθοῦν τὰ ὀφειλόμενα ἑκατό.

68. Σοφ. Σειρὰχ 34,23.
69. Ἰάκ. 5,16.

ΧΙΖ

Ἐρώτησις

Φιλόχριστός τις ἠρώτησε τὸν ἄλλον Γέροντα Ἰωάννην.

Παρακαλῶ σε, πάτερ, τοῦτό μοι σαφηνίσαι, ἵνα, πληρωθεὶς χαρᾶς, ἀπέλθω. Ἐπειδὴ λογισμὸν ἔχω ποιῆσαι εὐποιΐαν ἐκ τῶν ὑπαρχόντων μοι, τί συμφέρει, ἵνα κατὰ μικρὸν ποιήσω, ἢ ἐφάπαξ;

Ἀπόκρισις

Ἀδελφέ, κἂν ἐγὼ οὔκ εἰμι ἱκανὸς ἀποκρίνασθαί σοι καθὼς δεῖ, ἀλλ' ἔχεις τὴν νουθεσίαν τῆς Γραφῆς λεγούσης, «μὴ εἴπῃς ἐπανελθὼν ἐπάνηκε καὶ αὔριον δώσω, δυνατὸς ὢν εὐποιεῖν· οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα. Μέτρα δέ εἰσι, καὶ εἷς ἕκαστος κατὰ τὸ μέτρον αὐτοῦ ποιεῖ». Ἔστι γὰρ ἄνθρωπος ὃς δύναται ὀλίγα ἐκ τῶν προσοδίων αὐτοῦ δοῦναι, καὶ ἔστιν ἄλλος, δεκατεύων τὰ γενήματα αὐτοῦ· ἄλλος τὸ τέταρτον, ἄλλος τὸ τρίτον, καὶ ἄλλος τὸ ἥμισυ, ἕκαστος κατὰ τὸ ἴδιον μέτρον. Ὁ θέλων δὲ ἐλθεῖν εἰς τὸ τέλειον μέτρον, ἐμὲ τὸν ἐλάχιστον μὴ ἐρωτήσῃ, ἀλλὰ τὸν διδάσκαλον καὶ ἰατρὸν τῶν ψυχῶν, Ἰησοῦν τὸν Κύριον, τὸν λέγοντα ἐκείνῳ τῷ πλουσίῳ· «εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς, καὶ δεῦρο ἀκολούθει μοι». Στηρίζει δὲ τὸν λογισμόν σου ἡ παρουσία τοῦ θανάτου· κεκρυμμένη γάρ ἐστιν ἀπὸ παντὸς ἀνθρώπου.

Σπουδάσωμεν οὖν ποιῆσαι τὸ ἀγαθὸν πρὶν ἢ καταληφθῶμεν· οὐκ οἴδαμεν γὰρ ἐν ποίᾳ ἡμέρᾳ γίνεται ἡ κλῆσις, μήποτε ἀπαράσκευοι εὑρεθῶμεν καὶ ἀποκλεισθῶμεν μετὰ τῶν πέντε

617

Ἐρώτηση

Κάποιος φιλόχριστος ἐρώτησε τὸν ἄλλο γέροντα Ἰωάννη.

Σὲ παρακαλῶ, πάτερ, νὰ μοῦ διασαφήσεις αὐτό, γιὰ νὰ φύγω γεμᾶτος χαρά. Ἐπειδὴ ἔχω λογισμὸ νὰ κάνω ἀγαθοεργία ἀπὸ τὰ ὑπάρχοντά μου, τί συμφέρει, νὰ τὴν κάνω σιγὰ σιγά, ἢ μιὰ κι ἔξω;

Ἀπόκριση

Ἀδελφέ, ἂν καὶ ἐγὼ δὲν εἶμαι ἱκανὸς νὰ σοῦ ἀπαντήσω ὅπως πρέπει, ὅμως ἔχεις τὴ νουθεσία τῆς Γραφῆς ποὺ λέγει, «νὰ μὴ πεῖς, πήγαινε καὶ ἔλα πάλι, καὶ θὰ σοῦ δώσω αὔριο, ἐνῶ μπορεῖς νὰ κάνεις τὸ καλό· διότι δὲν γνωρίζεις τί ἐπιφυλάσσει ἡ ἑπόμενη ἡμέρα· ὑπάρχουν μέτρα, καὶ ὁ καθένας κάνει σύμφωνα μὲ τὸ μέτρο του»[69α]. Ὑπάρχει ἄνθρωπος ποὺ μπορεῖ νὰ δώσει λίγα ἀπὸ τὰ εἰσοδήματά του· καὶ ὑπάρχει ἄλλος, ποὺ δωρίζει τὰ εἰσοδήματά του· ἄλλος τὸ ἕνα τέταρτο, ἄλλος τὸ ἕνα τρίτο, καὶ ἄλλος τὸ μισό, ὁ καθένας σύμφωνα μὲ τὸ μέτρο του. Αὐτὸς ποὺ θέλει νὰ φθάσει στὸ τέλειο μέτρο, νὰ μὴ ἐρωτήσει ἐμένα τὸν ἐλάχιστο, ἀλλὰ τὸν διδάσκαλο καὶ ἰατρὸ τῶν ψυχῶν, τὸν Κύριο Ἰησοῦ, ποὺ λέγει σ' ἐκεῖνον τὸν πλούσιο· «ἂν θέλεις νὰ εἶσαι τέλειος, πούλησε τὰ ὑπάρχοντά σου καὶ δῶσε τα στοὺς φτωχοὺς καὶ θὰ ἔχεις θησαυρὸ στοὺς οὐρανούς, καὶ ἔλα καὶ ἀκολούθησέ με»[70]. Τὸν λογισμό σου τὸν στηρίζει ἡ παρουσία τοῦ θανάτου· διότι εἶναι κρυμμένη ἀπὸ κάθε ἄνθρωπο.

Ἂς φροντίσομε λοιπὸν νὰ κάνομε τὸ ἀγαθὸ πρὶν μᾶς καταλάβει ὁ θάνατος· διότι δὲν γνωρίζομε ποιά μέρα θὰ γίνει ἡ κλήση, μήπως βρεθοῦμε ἀπροετοίμαστοι καὶ ἀποκλεισθοῦμε

69α. Α΄ Κορ. 7,17.
70. Ματθ. 19,21.

μωρῶν παρθένων, τῶν μὴ λαβουσῶν ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων. Ποιήσωμεν δὲ τὴν δύναμιν κατὰ τὴν ἀσθένειαν ἡμῶν, καὶ ἀγαθός ἐστιν ὁ τῶν ἁπάντων Δεσπότης εἰσαγαγεῖν ἡμᾶς μετὰ τῶν φρονίμων παρθένων εἰς τὸν νυμφῶνα αὐτοῦ εἰς τὴν χαρὰν τὴν ἀνεκλάλητον σὺν Χριστῷ. Ἀμήν.

ΧΙΗ'

Ἐρώτησις

Ἀδελφὸς ἠρώτησε τὸν αὐτὸν Γέροντα,

Εἰ χρὴ λαμβάνειν παρά τινων καὶ διδόναι πτωχοῖς, διὰ τὸ εἶναί τινας εἰς τοῦτο παρακαλοῦντας.

Ἀπόκρισις

Ε*πειδὴ περὶ ἐλεημοσύνης ἐστὶ τὸ πρᾶγμα, οὐ πάντες χωροῦσι βαστάσαι τὰ λεγόμενα, ἀλλ' οἱ φθάσαντες ἡσυχάσαι καὶ πενθῆσαι τὰς ἑαυτῶν ἁμαρτίας. Εἰσὶ γάρ τινες τάσσοντες ἑαυτοὺς εἰς τὴν τοιαύτην διακονίαν, καὶ ὁ Θεὸς οἶδε τί ποιεῖ μετ' αὐτῶν περὶ τούτου, οἱ δὲ πενθοῦντες, οὐ σχολάζουσιν εἰς τοῦτο· πῶς γὰρ ἀποτασσόμενοι τῶν ἰδίων, τὰ ἀλλότρια ζητήσουσι διοικεῖν; Καὶ ὁ ἐν ἁγίοις ὅσιος Ἱλαρίων τοῦτο ἐποίησε. Παρακληθεὶς γὰρ παρά τινων οὐκ ὀλίγα χρήματα λαβεῖν, εἶπε τῷ παρακαλέσαντι, ὅτι 'σοὶ πρέπει τὰ σὰ διδόναι, ὅτι τε τὰς πόλεις περιέρχῃ καὶ τὰς κώμας γινώσκεις· ἐγὼ δέ, ὁ τὰ ἐμὰ ἀφείς, πῶς λάβω διαδοῦναι τὰ ἀλλότρια;' Καὶ γὰρ καὶ πρόφασις γίνεται ἐκ τούτου κενοδοξίας ἢ φιλαργυρίας.*

μαζὶ μὲ τὶς πέντε μωρὲς παρθένες, ποὺ δὲν πῆραν λάδι στὰ ἀγγεῖα του μαζὶ μὲ τὶς λαμπάδες. Ἂς κάνομε ὅ,τι εἶναι δυνατὸ ἀνάλογα μὲ τὴν ἀσθένειά μας, καὶ εἶναι ἀγαθὸς ὁ Δεσπότης ὅλων νὰ μᾶς εἰσαγάγει μαζὶ μὲ τὶς φρόνιμες παρθένες στὸν νυμφώνα του, στὴν ἀνεκδιήγητη χαρὰ μαζὶ μὲ τὸν Χριστό. Γένοιτο.

618

Ἐρώτηση

Ἀδελφὸς ἐρώτησε τὸν ἴδιο γέροντα,

> Ἂν πρέπει νὰ παίρνομε ἀπὸ κάποιους ἀνθρώπους καὶ νὰ δίνομε στοὺς φτωχούς, ἐπειδὴ μερικοὶ παρακαλοῦν γι' αὐτό.

Ἀπόκριση

Ἐπειδὴ τὸ πρᾶγμα εἶναι γιὰ ἐλεημοσύνη, δὲν μποροῦν ὅλοι νὰ βαστάξουν τὰ λεγόμενα, ἀλλ' ἐκεῖνοι ποὺ ἔφθασαν νὰ ἡσυχάσουν καὶ νὰ πενθήσουν τὶς ἁμαρτίες τους. Διότι ὑπάρχουν μερικοὶ ποὺ τάσσουν τοὺς ἑαυτούς τους σ' αὐτὴ τὴ διακονία[71], καὶ ὁ Θεὸς γνωρίζει τί θὰ κάνει μ' αὐτοὺς γι' αὐτό. Ἐκεῖνοι ὅμως ποὺ πενθοῦν δὲν ἔχουν καιρὸ γι' αὐτό· διότι πῶς, ἀφοῦ ἀπαρνοῦνται τὰ δικά τους, ζητοῦν νὰ διαχειρίζονται τὰ ξένα; Καὶ ὁ μεταξὺ τῶν ἁγίων ὅσιος Ἱλαρίων ἔκανε αὐτό. Ἐπειδὴ παρακλήθηκε ἀπὸ κάποιους νὰ πάρει ὄχι λίγα χρήματα, εἶπε σ' ἐκεῖνον ποὺ τὸν παρακάλεσε· 'Σὺ πρέπει νὰ δώσεις τὰ δικά σου, διότι περιέρχεσαι τὶς πόλεις καὶ γνωρίζεις τὶς κωμοπόλεις· ἐνῶ ἐγώ, ποὺ ἄφησα τὰ δικά μου, πῶς μπορῶ νὰ δώσω τὰ ξένα;' Ἄλλωστε αὐτὸ γίνεται καὶ πρόφαση κενοδοξίας ἢ φιλαργυρίας.

71. Δηλαδὴ στὴ διακονία τῆς ἐλεημοσύνης γιὰ τὴν ὁποία εἶναι ὅλοι ἄξιοι.

ΧΙΘʹ

Ἐρώτησις

Ἐὰν οὖν φιλονεικήσῃ λέγων, ὅτι 'ἐὰν μὴ λάβῃς καὶ διαδῷς, οὐδὲν παρέχω', ἆρα ἀφεῖναι δεῖ τὸν πτωχὸν θλιβόμενον ἀπὸ πείνης;

Ἀπόκρισις

Ὡς εἶπον τῇ ἀγάπῃ σου, εἰσί τινες τάξαντες ἑαυτοὺς εἰς τοῦτο· εἰ δὲ σὺ πενθῆσαι θέλεις τὰς ἁμαρτίας σου, μὴ πρόσχῃς τούτῳ τῷ πράγματι κἂν ἔμπροσθεν τοῦ κελλίου σου ἴδῃς τινὰ ἀποπνιγόμενον· μὴ ἐπικοινωνήσῃς ἀλλοτρίᾳ διαδόσει καὶ ἀπασχολήσῃς σεαυτὸν ἀπὸ τοῦ πένθους· ἀλλ' ὁ κύριος τοῦ πράγματος ὀφείλει, μὴ εὑρίσκων τὸν ποιοῦντα αὐτῷ τὴν διακονίαν ταύτην, αὐτὸς ποιῆσαι πρὸς τὸ μὴ ἐμποδισθῆναι τὸ ἔργον αὐτοῦ.

ΧΚʹ

Ἐρώτησις

Φιλόχριστος ἠρώτησε τὸν αὐτὸν Γέροντα.

Ἐάν τις αἰτῆται ἐντολὴν δοῦναι καὶ οὐκ ἔχῃ, ἆρα ὀφείλει δανείζεσθαι ἵνα παράσχῃ;

Ἀπόκρισις

Ἐάν τις αἰτῆται δοῦναι ὃ οὐκ ἔχει, κατάκρισιν οὐκ ἔχει· καὶ γὰρ ὁ Ἀπόστολος Πέτρος αἰτηθεὶς δοῦναι ἐντολὴν εἶπεν, «ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι», καὶ οὐκ ἐδανείσατο, ἵνα παράσχῃ· ἐὰν δὲ καὶ μόνην τὴν χρείαν αὐτοῦ τις ἔχῃ, οὐδ' οὕτω δεῖ αὐτὴν ὡς ἔτυχεν ἀναλῶσαι, ἵνα μὴ λείψῃ αὐτῷ καὶ θλιβῇ μὴ φέρων τὴν ἔνδειαν. Ἐὰν δὲ ὁ ὀχλού-

619

Ἐρώτηση

Ἐὰν λοιπὸν ἐπιμείνει καὶ λέγει, 'ἂν δὲν τὰ πάρεις καὶ δὲν τὰ μοιράσεις, δὲν δίνω τίποτε', ἄραγε πρέπει ν' ἀφήσομε τὸν φτωχὸ νὰ θλίβεται ἀπὸ τὴν πείνα;

Ἀπόκριση

Ὅπως εἶπα στὴν ἀγάπη σου, ὑπάρχουν μερικοὶ ποὺ ἔταξαν τοὺς ἑαυτούς τους σ' αὐτό. Ἂν ἐσὺ θέλεις νὰ πενθήσεις τὶς ἁμαρτίες σου, νὰ μὴ ἀσχολεῖσαι μ' αὐτὸ τὸ πρᾶγμα, ἀκόμα κι ἂν δεῖς κάποιον νὰ πνίγεται μπροστὰ στὸ κελλί σου· μὴ ἀπασχοληθεῖς μὲ τὴν ξένη δόση καὶ ἀπομακρύνεις τὸν ἑαυτό σου ἀπὸ τὸ πένθος· ὁ κάτοχος τοῦ πράγματος ὀφείλει, ἂν δὲν βρίσκει ἐκεῖνον ποὺ θὰ τοῦ κάνει αὐτὴ τὴ διακονία, νὰ τὴν κάνει ὁ ἴδιος, γιὰ νὰ μὴ ἐμποδισθεῖ τὸ ἔργο του.

620

Ἐρώτηση

Ἕνας φιλόχριστος ἐρώτησε τὸν ἴδιο γέροντα,

Ἂν ζητηθεῖ ἀπὸ κάποιον ὡς ἐντολὴ νὰ δώσει καὶ δὲν ἔχει, ἄραγε ὀφείλει νὰ δανεισθεῖ γιὰ νὰ δώσει;

Ἀπόκριση

Ἐὰν κανεὶς παρακληθεῖ νὰ δώσει αὐτὸ ποὺ δὲν ἔχει, δὲν ἔχει κατάκριση· διότι καὶ ὁ Ἀπόστολος Πέτρος ὅταν τοῦ ζητήθηκε νὰ δώσει εἶπε, «δὲν ὑπάρχει σὲ μένα ἄργυρος καὶ χρυσός»[72], καὶ δὲν δανείσθηκε γιὰ νὰ δώσει. Ἂν κανεὶς ἔχει μόνο τὰ ἀναγκαῖα του, δὲν πρέπει οὔτε τότε νὰ τὰ ξοδέψει ὅπως ἔτυχε, γιὰ νὰ μὴ τοῦ λείψουν καὶ θλιβεῖ, μὴ ὑποφέ-

72. Πράξ. 3,6.

μενος εἴπῃ τῷ αἰτοῦντι, 'συγχώρησόν μοι, οὐκ ἔχω τί σοι δοῦναι', τοῦτο οὐκ ἔστι ψεῦδος· ὁ γὰρ μὴ ἔχων, εἰ μὴ τὸ τῆς χρείας, οὗτος οὐκ ἔχει δοῦναι ἑτέρῳ· μόνον ἐρεῖ τῷ αἰτοῦντι, 'συγχώρησόν μοι τὸ τῆς χρείας καὶ μόνον ἔχοντι'. Μνήσθητι τῶν πέντε παρθένων, αἵτινες, αἰτούμενοι παρὰ τῶν ἄλλων δοῦναι αὐταῖς ἔλαιον εἰς τὰς λαμπάδας αὐτῶν, εἶπον αὐταῖς, «μήποτε οὐκ ἀρκέσει ἡμῖν καὶ ὑμῖν». Καὶ ὁ Ἀπόστολος δὲ Παῦλός φησι τοῖς Κορινθίοις ἐπιστέλλων, «ἵνα γένηται τὸ ὑμῶν περίσσευμα εἰς τὸ ἐκείνων ὑστέρημα»· καί, οὐ γὰρ ἵνα ἑτέροις μὲν ἄνεσις, ὑμῖν δὲ θλῖψις.

ΧΚΑ'

Ἐρώτησις

Σαφήνισον, πάτερ, ὅτι περ εἶπας, 'ἐάν τις τὴν χρείαν αὐτοῦ ἔχῃ, οὐκ ὀφείλει αὐτὴν ὡς ἔτυχεν ἀναλίσκειν, ἵνα μὴ θλιβῇ'· καὶ πῶς γίνεται θλιβῆναί τινα ἐπὶ τῷ ἑκουσίως γινομένῳ ὑπ' αὐτοῦ;

Ἀπόκρισις

Πάντα χρὴ μετὰ διακρίσεως ποιεῖν, τὸ δὲ συμμετρῆσαι ἑαυτὸν διάκρισίς ἐστι καὶ ἀσφάλεια τῷ λογισμῷ τοῦ μὴ ταραχθῆναι αὐτὸν μετὰ ταῦτα· τὸ δὲ ὑπὲρ δύναμιν ποιῆσαι εἴτε εὐποιΐαν εἴτε ἄλλο τι, ἀδιακρισία ἐστίν· ὕστερον γὰρ εἰς ταραχὴν καὶ ἀκηδίαν καὶ γογγυσμὸν φέρει τὸν ποιοῦντα. Καλὸν γὰρ καὶ πάνυ καλόν, ὡς ἡ χήρα ἐκείνη διδόναι τῷ δεομένῳ καὶ οὐκ ἔστι τὸ πρᾶγμα κακόν· ἀλλ' ὅτι ὁ ἄνθρωπος ὑπὲρ δύναμιν ποιῶν οὐ βαστάζει καὶ ὁ Θεὸς τὰ κατὰ δύναμιν ζητεῖ.

ροντας τὴ φτώχεια. Ἐὰν ὅμως ὁ ἐνοχλούμενος πεῖ σ' αὐτὸν ποὺ ζητᾶ, 'συγχώρεσέ με, δὲν ἔχω τί νὰ σοῦ δώσω', αὐτὸ δὲν εἶναι ψέμα· διότι αὐτὸς ποὺ δὲν ἔχει, παρὰ μόνο τὰ ἀναγκαῖα, αὐτὸς δὲν μπορεῖ νὰ δώσει σ' ἄλλον· μόνο νὰ πεῖ σ' αὐτὸν ποὺ ζητᾶ, 'συγχώρεσε ἐμένα ποὺ ἔχω τὰ ἀναγκαῖα καὶ μόνο'. Θυμήσου τὶς πέντε παρθένες, οἱ ὁποῖες, ὅταν τὶς ζητήθηκε ἀπὸ τὶς ἄλλες νὰ τὶς δώσουν λάδι γιὰ τὶς λαμπάδες τους, τὶς εἶπαν, «μήπως δὲν θὰ εἶναι ἀρκετὸ γιὰ μᾶς καὶ γιὰ σᾶς»[73]. Καὶ ὁ Ἀπόστολος Παῦλος λέγει στοὺς Κορινθίους μὲ τὴν ἐπιστολὴ ποὺ τοὺς στέλνει· «γιὰ νὰ καλύψει τὸ περίσσευμά σας τὸ ὑστέρημα ἐκείνων»[74], καὶ ὄχι νὰ γίνει ἄνεση στοὺς ἄλλους, καὶ σὲ σᾶς θλίψη.

621

Ἐρώτηση

Διασάφησε, πάτερ, αὐτὸ ποὺ εἶπες· 'ἂν κανεὶς ἔχει τὰ ἀναγκαῖα γιὰ τὸν ἑαυτό του, δὲν πρέπει νὰ τὰ ξοδεύει ὅπως τύχει, γιὰ νὰ μὴ θλιβεῖ'. Πῶς ὅμως γίνεται νὰ θλιβεῖ κάποιος γι' αὐτὸ ποὺ γίνεται ἀπ' αὐτὸν μὲ τὴ θέλησή του;

Ἀπόκριση

Ὅλα πρέπει νὰ τὰ κάμνει μὲ διάκριση· τὸ νὰ συμμετρεῖ τὸν ἑαυτό του εἶναι διάκριση καὶ ἀσφάλεια στὸν λογισμὸ γιὰ νὰ μὴ ταραχθεῖ μετὰ ἀπὸ αὐτά· τὸ νὰ κάνει παραπάνω ἀπὸ τὴ δύναμή του, εἴτε ἀγαθοεργία εἴτε κάτι ἄλλο, εἶναι ἀδιακρισία· διότι ὕστερα ὁδηγεῖ αὐτὸν ποὺ τὸ ἔκανε σὲ ταραχὴ καὶ ἀκηδία καὶ γογγυσμό. Διότι εἶναι καλό, πολὺ καλὸ μάλιστα, ὅπως ἐκείνη ἡ χήρα νὰ δίνει σ' ἐκεῖνον ποὺ ἔχει ἀνάγκη, καὶ δὲν εἶναι κακὸ πρᾶγμα· ἀλλὰ ὁ ἄνθρωπος ἐνεργώντας πάνω ἀπὸ τὴ δύναμή του δὲν τὸ βαστάζει, καὶ ὁ Θεὸς ζητᾶ τὰ κατὰ δύναμη.

---

73. Ματθ. 25,9.
74. Β' Κορ. 8,14.

ΧΚΒ'

Ἐρώτησις

Οὐκοῦν εἴ τίς ἐστι πλούσιος καὶ ἔχων ὑπὲρ τὴν χρείαν αὐτοῦ, οὐκ ἔτι χρήζει ταύτης τῆς διακρίσεως; κατὰ γὰρ τὴν δύναμιν αὐτοῦ ποιεῖ καὶ αὐτός.

Ἀπόκρισις

Καὶ χρήζει καὶ αὐτὸς τῆς διακρίσεως, ἵνα μὴ εὑρεθῇ ποιῶν ὑπὲρ τὴν δύναμιν τοῦ λογισμοῦ καὶ μεταμεληθῇ ἐπὶ τῷ γινομένῳ· διὰ τοῦτο καὶ Παῦλος εἶπε· «μὴ ἐκ λύπης ἢ ἐξ ἀνάγκης, ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός»· τὰ γὰρ τέλεια τῶν τελείων ἐστί, τὰ δὲ ἐλάττονα τῶν ἐλαττόνων. Ὁ γὰρ τέλειος καὶ τὴν πενίαν φέρει γενναίως καὶ τοῦ πλούτου καταφρονεῖ καὶ πάντα ἀταράχως βαστάζει, κατὰ τὸν Ἀπόστολον τὸν λέγοντα, «πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ, καὶ ὁ κόσμος ἐσταύρωταί μοι», καὶ τὰ ἑξῆς.

ΧΚΓ'

Ἐρώτησις

Ὁ δὲ ἐξ ἀρχῆς μὴ ἡδέως ἔχων δοῦναι, πῶς ὀφείλει ποιῆσαι, ἵνα ἐθίσῃ παρέχειν;

Ἀπόκρισις

Ὑπομιμνήσκειν ἑαυτὸν ὀφείλει περὶ τῆς ἐκ Θεοῦ ἀνταποδόσεως τῶν διδομένων καὶ ἄρχεσθαι ἀπὸ ἐλαχίστων πραγμάτων καὶ πάντοτε νουθετεῖν ἑαυτόν, ὅτι ὁ τὰ ὀλίγα παρέχων, ὀλίγα λαμβάνει, ὁ δὲ τὰ πολλά, καὶ αὐτὸς

622

Ἐρώτηση

Λοιπόν, ἂν κανεὶς εἶναι πλούσιος καὶ ἔχει παραπάνω ἀπὸ τὰ ἀναγκαῖα του, δὲν χρειάζεται τότε αὐτὴ τὴ διάκριση; Διότι καὶ αὐτὸς ἐνεργεῖ κατὰ τὴ δύναμή του.

Ἀπόκριση

Χρειάζεται καὶ αὐτὸς τὴ διάκριση, γιὰ νὰ μὴ βρεθεῖ νὰ κάνει κάτι πάνω ἀπὸ τὴ δύναμη τοῦ λογισμοῦ καὶ μεταμεληθεῖ γι' αὐτὸ ποὺ ἔγινε· γι' αὐτὸ καὶ ὁ Παῦλος εἶπε· «ὄχι ἀπὸ λύπη ἢ ἀπὸ ἀνάγκη, διότι ὁ Θεὸς ἀγαπᾶ τὸν γεμᾶτο χαρὰ δότη»[75]· διότι τὰ τέλεια εἶναι τῶν τελείων· τὰ ἐλάχιστα τῶν ἐλαχίστων. Ὁ τέλειος καὶ τὴ φτώχεια ὑποφέρει γενναῖα καὶ τὸν πλοῦτο περιφρονεῖ καὶ ὅλα τὰ βαστάζει ἀτάραχα, σύμφωνα μὲ τὸν Ἀπόστολο ποὺ λέγει· «πάντοτε ἔχω δύναμη μὲ τὴ βοήθεια τοῦ Χριστοῦ ποὺ μὲ ἐνδυναμώνει, καὶ ὁ κόσμος ἔχει σταυρωθεῖ γιὰ μένα»[76] καὶ τὰ ἑξῆς.

623

Ἐρώτηση

Ἐκεῖνος ποὺ στὴν ἀρχὴ δὲν μπορεῖ νὰ δίνει μὲ εὐχαρίστηση, πῶς ὀφείλει νὰ ἐνεργεῖ γιὰ νὰ συνηθίσει νὰ δίνει;

Ἀπόκριση

Ὀφείλει νὰ ὑπενθυμίζει στὸν ἑαυτό του γιὰ τὴν ἀνταπόδοση τῶν διδομένων ἀπὸ τὸν Θεό, ἀρχίζοντας ἀπὸ ἐλάχιστα πράγματα καὶ νουθετώντας πάντοτε τὸν ἑαυτό του· διότι ἐκεῖνος ποὺ δίνει τὰ λίγα, παίρνει λίγα, ἐνῶ ἐκεῖ-

75. Β' Κορ. 9,7.
76. Φιλ. 4,13.

πολλὰ λαμβάνει, κατὰ τὸ εἰρημένον, «ὁ σπείρων φειδομένως, φειδομένως καὶ θερίσει, καὶ ὁ σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει», καὶ κατὰ μικρὸν ἐπιθυμεῖ ὁ λογισμὸς τὴν ἀνταπόδοσιν τῶν πολλῶν καὶ ᾀεὶ προκόπτει εἰς τελείωσιν. Καὶ ὁ τοιοῦτος δύναται εἰς τέλεια μέτρα ἐλθεῖν, γυμνῶσαι ἑαυτὸν ἀπὸ τῶν γηΐνων πραγμάτων καὶ γενέσθαι τῷ πνεύματι μετὰ τῶν ἐπουρανίων.

ΧΚΔ'

Ἐρώτησις

Ἐάν τις συναρπαγεὶς ἀδιακρίτως ἀναλώσῃ εἰς εὐποιΐαν τὰ τῆς χρείας αὐτοῦ καὶ μεταμεληθῇ, πῶς ὀφείλει ἑαυτὸν παραμυθεῖσθαι, ἵνα μὴ τῇ διαβολικῇ λύπῃ καταποθῇ;

Ἀπόκρισις

Μέμψεται ἑαυτὸν πρῶτον ἐπὶ τῇ ἀδιακρισίᾳ καὶ ἀνακαλέσεται ἐκ τῆς λύπης τὸν λογισμόν, λέγων ὅτι· ''Ἀφοῦ εἰς πρᾶγμα ἀγαθὸν ἀνηλώθη, δυνατός ἐστιν ὁ φιλάνθρωπος Θεὸς ἐλεῆσαί με καὶ οἰκονομῆσαί με κατὰ τὸ θέλημα αὐτοῦ'.

ΧΚΕ'

Ἐρώτησις

Ἐὰν ὦσι δύο πένητες καὶ οὐκ ἔχω δοῦναι τοῖς δυσί, τίνα τῶν δύο προτιμήσω;

Ἀπόκρισις

Τὸν ἀσθενέστερον δεῖ προτιμῆσαι.

---

77. Β' Κορ. 9,6.

νος ποὺ παρέχει τὰ πολλά, καὶ αὐτὸς παίρνει πολλά, σύμφωνα μ' αὐτὸ ποὺ ἔχει λεχθεῖ· «αὐτὸς ποὺ σπείρει μὲ τσιγγουνιά, θὰ εἶναι λιγοστὰ καὶ ἐκεῖνα ποὺ θὰ θερίσει, καὶ αὐτὸς ποὺ σπείρει μὲ εὐλογίες, μὲ εὐλογίες καὶ θὰ θερίσει»[77]. Καὶ σιγὰ σιγὰ ὁ λογισμὸς ἐπιθυμεῖ τὴν ἀνταπόδοση τῶν πολλῶν, καὶ πάντοτε προκόβει σὲ τελείωση· καὶ αὐτὸς μπορεῖ νὰ φθάσει σὲ τέλεια μέτρα, νὰ γυμνώσει τὸν ἑαυτό του ἀπὸ τὰ γήϊνα πράγματα καὶ νὰ ἀνεβεῖ μὲ τὸ πνεῦμα στὰ ἐπουράνια.

624

Ἐρώτηση

Ἂν κάποιος παρασυρθεῖ νὰ ξοδέψει ἀδιακρίτως τὰ ἀναγκαῖα του γιὰ ἀγαθοεργία καὶ μεταμεληθεῖ, πῶς ὀφείλει νὰ παρηγορήσει τὸν ἑαυτό του, γιὰ νὰ μὴ καταποθεῖ ἀπὸ τὴ διαβολικὴ λύπη;

Ἀπόκριση

Νὰ κατακρίνει πρῶτα τὸν ἑαυτό του γιὰ τὴν ἀδιακρισία καὶ νὰ ἀνακαλέσει τὸν λογισμὸ ἀπὸ τὴν λύπη, λέγοντας· "Ἐφ' ὅσον τὰ ἀναγκαῖα ξοδεύτηκαν γιὰ ἀγαθὸ πρᾶγμα, ὁ φιλάνθρωπος Θεὸς εἶναι δυνατὸς νὰ μὲ ἐλεήσει καὶ νὰ μὲ οἰκονομήσει σύμφωνα μὲ τὸ θέλημά του.

625

Ἐρώτηση

Ἐὰν ὑπάρχουν δύο φτωχοὶ καὶ δὲν ἔχω νὰ δώσω καὶ στοὺς δύο, ποιόν ἀπὸ τοὺς δύο νὰ προτιμήσω;

Ἀπόκριση

Πρέπει νὰ προτιμήσεις τὸν ἀσθενέστερο.

XKS'

Ἐρώτησις

Ἐὰν δὲ βούλωμαι δοῦναι καὶ ἀμφιβάλλῃ ὁ λογισμὸς μὴ δοῦναι, τί ποιήσω;

Ἀπόκρισις

Ερώτησον αὐτόν, καὶ εἰ εὕροις αὐτὸν ὅτι διὰ σκνιπείαν τοῦτο ποιεῖ, δὸς καὶ ἄλλο τί ποτε μικρὸν ὑπὲρ τὸ ὀφεῖλον δοθῆναι, λόγου χάριν ἕνα ὀβολόν, καὶ ἕξεις ἔλεος.

XKZ'

Ἐρώτησις

Σαφήνισόν μοι καὶ τοῦτο, κύριε ἀββᾶ· ὁ μὴ ἔχων πόθεν δοῦναι, πῶς γίνεται συμμέτοχος τῆς εὐλογίας τῆς ρηθείσης ὑπὸ τοῦ Σωτῆρος πρὸς τοὺς ἐκ δεξιῶν αὐτοῦ, «δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ἐπίνασα γὰρ καὶ ἐδώκατέ μοι φαγεῖν» καὶ τὰ λοιπά;

Ἀπόκρισις

Αδελφέ, ἐπειδὴ οὖν οἱ Ἀπόστολοι οὐκ εἶχον χρήματα, οὔκ εἰσι συμμέτοχοι ταύτης τῆς εὐλογίας; Τάξεις εἰσὶ καὶ πρὸς ἕνα ἕκαστον ὁ Θεὸς ἐλάλησε κατὰ τὴν ἰδίαν αὐτοῦ τάξιν· ἔδειξε γὰρ διὰ τῶν μακαρισμῶν τὴν διαφορὰν τῶν σωζομένων· ἀπὸ γὰρ τῶν αἰσθητῶν δύναταί τις νοῆσαι καὶ τὰ πνευματικά. Ὑπόθου ὅτι ἄνθρωπος ἔχων ὑγρὰ γενήματα πωλεῖ εἰς ὁλοκοτίνιον καὶ

78. Ματθ. 5,34.

626

Ἐρώτηση

Ἂν θέλω νὰ δώσω καὶ ἀμφιβάλλει ὁ λογισμός, ὥστε νὰ μὴ δώσω, τί νὰ κάνω;

Ἀπόκριση

Ερώτησέ τον, καὶ ἂν βρεῖς ὅτι αὐτὸς τὸ κάνει αὐτὸ ἀπὸ φιλαργυρία, δῶσε καὶ κάτι ἄλλο μικρὸ παραπάνω ἀπὸ ἐκεῖνο ποὺ πρέπει νὰ δοθεῖ, γιὰ παράδειγμα ἕνα ὀβολό, καὶ θὰ ἔχεις ἔλεος.

627

Ἐρώτηση

Διασάφησέ μου καὶ αὐτό, κύριε ἀββᾶ· ἐκεῖνος ποὺ δὲν ἔχει ἀπὸ ποῦ νὰ δώσει, πῶς γίνεται συμμέτοχος τῆς εὐλογίας ποὺ εἰπώθηκε ἀπὸ τὸν Σωτῆρα πρὸς τοὺς ἐκ δεξιῶν του, «ἐλᾶτε οἱ εὐλογημένοι τοῦ Πατέρα μου νὰ κληρονομήσετε τὴ βασιλεία ποὺ ἑτοιμάσθηκε γιὰ σᾶς ἀπὸ τὴν ἀρχὴ τοῦ κόσμου· διότι πείνασα καὶ μοῦ δώσατε νὰ φάγω»[78] καὶ τὰ ὑπόλοιπα;

Ἀπόκριση

Αδελφέ, ἐπειδὴ οἱ Ἀπόστολοι δὲν εἶχαν χρήματα, δὲν εἶναι τάχα συμμέτοχοι αὐτῆς τῆς εὐλογίας; Ὑπάρχουν τάξεις, καὶ ὁ Θεὸς μίλησε στὸν καθένα σύμφωνα μὲ τὴν τάξη του· διότι ἔδειξε μὲ τοὺς μακαρισμοὺς τὴ διαφορὰ τῶν σωζομένων, καὶ ἀπὸ τὰ αἰσθητὰ μπορεῖ κανεὶς νὰ καταλάβει καὶ τὰ πνευματικά. Ὑπόθεσε ὅτι ἕνας ἄνθρωπος ποὺ ἔχει ὑγρὰ ἐσοδήματα τὰ πωλεῖ γιὰ χρήματα, καὶ ἄλλος ἔχει διάφορα

ἄλλος ἔχει διάφορα πράγματα καὶ πωλεῖ εἰς ὁλοκοτίνιον, καὶ ἐν τοῖς τεχνίταις τὸ αὐτό· ὁ μέν ἐστι τέκτων καὶ αἴρει κεράτιον τὴν ἡμέραν· ἄλλος οἰκοδόμος καὶ αἴρει καὶ αὐτὸς κεράτιον· ἄλλος ἄλλην τέχνην ἔχων καὶ αἴρει τὸν αὐτὸν μισθόν· καὶ οἱ μὲν τέχναι διάφοροι, καὶ τὰ γενήματα ὡσαύτως διάφορα, ἡ δὲ τιμὴ καὶ ὁ μισθὸς ὁ αὐτός. Ταῦτα δὲ λάβοι μοι εἰς σωτηρίαν ψυχῆς. Τοῖς ἔχουσιν οὖν τὰ χρήματα καὶ διαδιδοῦσι πτωχοῖς ἀκενοδόξως, ῥηθήσεται τὸ «δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου» καὶ τὰ λοιπά.

Πρόσχες δὲ τοῖς λοιποῖς μακαρισμοῖς καὶ εὑρίσκεις ἐν αὐτοῖς πολλὴν διαφοράν, μίαν δὲ σωτηρίαν ψυχῆς καὶ μίαν βασιλείαν. Εἶπε γάρ· «μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν». Καὶ πάλιν, «μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν». Καὶ ἄλλοι δὲ μακάριοι, διάφοροι ὄντες, οὔκ εἰσιν ἀλλότριοι τῆς αὐτῆς βασιλείας τῶν οὐρανῶν. Ἐὰν οὖν μὴ ὑπάρχῃ σοι ποιῆσαί σοι ἐλεημοσύνην, γενοῦ πτωχὸς τῷ πνεύματι, ἵνα συγκληρονομήσῃς τοῖς ἁγίοις τὴν βασιλείαν τῶν οὐρανῶν. Πένθησον περὶ τῶν ἁμαρτιῶν σου ἐν τῷ κόσμῳ τούτῳ, ἵνα συμπαρακληθῇς τοῖς ἐγγεγραμμένοις τῷ Εὐαγγελίῳ· κτῆσαι πρᾳότητα, ἵνα κληρονομήσῃς τὴν γῆν· πείνασον καὶ δίψησον τὴν δικαιοσύνην, ἵνα χορτασθῇς ὑπ' αὐτῆς· ἔσο καθαρὸς τῇ καρδίᾳ, ἵνα ἴδῃς τὸν Θεὸν ἐν τῇ δόξῃ αὐτοῦ· γενοῦ εἰρηνοποιὸς τῇ καρδίᾳ σου, ἵνα υἱὸς κληθήσῃ Θεοῦ· ἕτοιμος γενοῦ διὰ τῶν ἀγαθῶν πράξεων, διωχθῆναι ἕνεκεν δικαιοσύνης, ἀπὸ πόλεως εἰς πόλιν, τουτέστιν ἐκ τοῦ πονηροῦ λογισμοῦ τοῦ διαβόλου, εἰς τὸν ἀγαθὸν λογισμὸν τοῦ Θεοῦ, ἵνα εὐφρανθῇς εἰς τὴν κληρονομίαν τῆς βασιλείας τῶν οὐρανῶν. Βάστασον ὀνειδισμὸν καὶ διωγμὸν

πράγματα καὶ τὰ πωλεῖ γιὰ χρήματα, καὶ στοὺς τεχνίτες τὸ ἴδιο· ὁ ἕνας εἶναι κτίστης καὶ παίρνει ἕνα νόμισμα τὴν ἡμέρα· ἄλλος οἰκοδόμος καὶ παίρνει καὶ αὐτὸς ἕνα νόμισμα· ἄλλος ἔχει ἄλλη τέχνη καὶ παίρνει τὸν ἴδιο μισθό. Καὶ οἱ τέχνες βέβαια εἶναι διαφορετικές, ὁμοίως καὶ τὰ εἰσοδήματα διαφορετικά, ἡ τιμὴ ὅμως καὶ ὁ μισθὸς εἶναι ὁ ἴδιος. Αὐτὰ τώρα μετάφερέ τα στὸ θέμα τῆς σωτηρίας τῆς ψυχῆς. Σ' ἐκείνους λοιπὸν ποὺ ἔχουν τὰ χρήματα καὶ τὰ δίνουν χωρὶς κενοδοξία στοὺς φτωχούς, θὰ λεχθεῖ τὸ «ἐλᾶτε οἱ εὐλογημένοι τοῦ Πατέρα μου, κληρονομήσατε τὴ βασιλεία ποὺ ἑτοιμάσθηκε γιὰ σᾶς ἀπὸ τὴν ἀρχὴ τοῦ κόσμου»[79] καὶ τὰ ὑπόλοιπα.

Πρόσεξε ὅμως τοὺς ὑπόλοιπους μακαρισμοὺς καὶ θὰ βρεῖς σ' αὐτοὺς πολλὴ διαφορά, ἀλλὰ μία σωτηρία ψυχῆς καὶ μία βασιλεία. Διότι εἶπε· «μακάριοι οἱ φτωχοὶ στὸ πνεῦμα, διότι δική τους εἶναι ἡ βασιλεία τῶν οὐρανῶν»[80]. Καὶ πάλι, «μακάριοι ἐκεῖνοι ποὺ ἔχουν διωχθεῖ ἐξαιτίας τῆς δικαιοσύνης τους, διότι δική τους εἶναι ἡ βασιλεία τῶν οὐρανῶν»[81]. Καὶ ἄλλοι μακάριοι, ἂν καὶ εἶναι διάφοροι, δὲν εἶναι ξένοι τῆς ἴδιας βασιλείας τῶν οὐρανῶν. Ἐὰν λοιπὸν δὲν ἔχεις γιὰ νὰ κάνεις ἐλεημοσύνη, γίνε φτωχὸς στὸ πνεῦμα, γιὰ νὰ συγκληρονομήσεις μαζὶ μὲ τοὺς ἁγίους τὴ βασιλεία τῶν οὐρανῶν. Πένθησε γιὰ τὶς ἁμαρτίες σου σ' αὐτὸν τὸν κόσμο, γιὰ νὰ συμπαρηγορηθεῖς μαζὶ μὲ ἐκείνους ποὺ γράφηκαν στὸ Εὐαγγέλιο· ἀπόκτησε πραότητα, γιὰ νὰ κληρονομήσεις τὴ γῆ· πείνασε καὶ δίψασε τὴ δικαιοσύνη, γιὰ νὰ χορτάσεις ἀπὸ αὐτήν· γίνε καθαρὸς στὴν καρδιά, γιὰ νὰ δεῖς τὸν Θεὸ μὲ τὴ δόξα του· γίνε εἰρηνοποιὸς στὴν καρδιά σου, γιὰ νὰ ὀνομασθεῖς υἱὸς τοῦ Θεοῦ· γίνε μὲ τὶς ἀγαθὲς πράξεις ἕτοιμος νὰ διωχθεῖς πρὸς χάριν τῆς δικαιοσύνης ἀπὸ πόλη σὲ πόλη, δηλαδὴ ἀπὸ τὸν πονηρὸ λογισμὸ τοῦ διαβόλου, στὸν ἀγαθὸ λογισμὸ τοῦ Θεοῦ, γιὰ νὰ εὐφρανθεῖς στὴν κληρονομία τῆς βασιλείας τῶν οὐρανῶν. Βάσταξε γιὰ τὸν Κύριο τὸν ὀνειδισμὸ καὶ τὸν διωγμὸ καὶ τὴν ψεύτικη καταλαλιά, γιὰ νὰ χαρεῖς

79. Ματθ. 25,34.
80. Ματθ. 5,3.
81. Ματθ. 5,10.

καὶ καταλαλιὰν ψευδῆ διὰ τὸν Κύριον, ἵνα χαρῇς ἐν ἀγαλλιάσει, πολὺν εὑρίσκων ἔμπροσθέν σου τὸν μισθὸν ἐν τοῖς οὐρανοῖς.

ΧΚΗ'

Ἐρώτησις

Ἐπειδὴ οὖν ἕκαστος μακαρισμὸς μίαν περιέχει ἀρετὴν πνευματικήν, ἀρκεῖ, πάτερ, αὕτη ἡ μία ἀρετὴ πρὸς σωτηρίαν τῷ ἔχοντι;

Ἀπόκρισις

Ὥσπερ τὸ σῶμα ἕν ἐστι καὶ πολλὰ ἔχει μέλη, κἂν λείψῃ ἓν τῶν μελῶν, οὐκ ἔστι σῶμα τέλειον, οὕτως εἶναι νόησον καὶ ἐν τῷ ἔσω ἀνθρώπῳ. Μέλη γὰρ πολλὰ ἔχει τὰς ἀρετάς· κἂν μία τούτων λείψῃ, οὐχ εὑρίσκεται τετελειωμένος ὁ ἄνθρωπος. Ὥσπερ δὲ τεχνίτης ἐπιστάμενος τὴν ἑαυτοῦ τέχνην καλῶς, ἄλλας τέχνας ἐπιτηδεύει διὰ τῆς αὐτοῦ εὐφυΐας καὶ οὐκ ὀνομάζεται τεχνίτης, εἰ μὴ ἐκ τῆς αὐτοῦ τέχνης, οὕτω καὶ ἐνταῦθα· ἔχων ὁ ἄνθρωπος πάσας τὰς ἀρετάς, ἐξ ἐκείνης γνωρίζεται καὶ ὀνομάζεται, ἐν ᾗ μάλιστα διαλάμπει ἡ τοῦ Πνεύματος χάρις ἐν αὐτῷ.

ΧΚΘ'

Ἐρώτησις

Ἄλλος φιλόχριστος ἔδωκεν εὐλογίαν τινὶ διαδοῦναι πτωχοῖς ὡς ἔχων αὐτὸν πιστὸν καὶ εἶπεν αὐτῷ· 'Λάβε καὶ τῷ Θεῷ ποιεῖς τὸν λόγον'. Κἀκεῖνος οὐκ ἐνόησεν, ὅτι βάρος μέγα ἐπέθηκεν αὐτῷ καὶ ἐνόμισεν, ὅτι, καὶ εἰ μὴ εἶπεν αὐτῷ τοῦτο, ἀφ' οὗ ὅλως ἐδέξατο, λόγον εἶχε ποιῆσαι τῷ Θεῷ. Ἐρωτηθεὶς δὲ ὁ αὐτὸς Γέρων περὶ τούτου, εἶπεν.

μὲ ἀγαλλίαση, βρίσκοντας μπροστά σου μεγάλο τὸν μισθὸ στοὺς οὐρανούς[82].

628

Ἐρώτηση

Ἐπειδὴ λοιπὸν κάθε μακαρισμὸς περιέχει μία πνευματικὴ ἀρετή, εἶναι ἀρκετὴ αὐτὴ ἡ μία ἀρετὴ σ' αὐτὸν ποὺ τὴν ἔχει γιὰ σωτηρία;

Ἀπόκριση

Ὅπως τὸ σῶμα εἶναι ἕνα καὶ ἔχει πολλὰ μέλη, καὶ ἂν λείψει ἕνα ἀπὸ τὰ μέλη, δὲν εἶναι τέλειο σῶμα, ἔτσι νὰ νομίζεις ὅτι συμβαίνει καὶ στὸν ἐσωτερικὸ ἄνθρωπο. Διότι ἔχει πολλὰ μέλη, τὶς ἀρετές, καὶ ἂν λείψει μία ἀπὸ αὐτές, ὁ ἄνθρωπος δὲν βρίσκεται τέλειος. Ὅπως ὁ τεχνίτης, ποὺ γνωρίζει καλὰ τὴ δική του τέχνη, ἀσκεῖ μὲ τὴν εὐφυΐα του ἄλλες τέχνες, ἀλλὰ δὲν ὀνομάζεται τεχνίτης, παρὰ μόνο ἀπὸ τὴ δική του τέχνη, ἔτσι καὶ ἐδῶ ὁ ἄνθρωπος ποὺ ἔχει ὅλες τὶς ἀρετές, ἀναγνωρίζεται καὶ ὀνομάζεται ἀπὸ ἐκείνη μέσα στὴν ὁποία διαλάμπει ἡ χάρη τοῦ Πνεύματος σ' αὐτόν.

629

Ἐρώτηση

Ἕνας φιλόχριστος ἔδωσε σὲ κάποιον ἄλλον εὐλογία νὰ δώσει στοὺς φτωχούς, ἐπειδὴ τοῦ εἶχε ἐμπιστοσύνη καὶ τοῦ εἶπε· 'Πάρε την καὶ θὰ δώσεις λόγο στὸν Θεό'. Ἐκεῖνος δὲν κατάλαβε ὅτι ἔβαλε σ' αὐτὸν μεγάλο βάρος καὶ νόμισε πώς, καὶ ἂν δὲν τοῦ ἔλεγε αὐτό, ἐφ' ὅσον γενικὰ τὴν δέχθηκε, θὰ ἔδινε λόγο στὸ Θεό. Ὁ ἴδιος ὁ γέροντας ποὺ ἐρωτήθηκε γι' αὐτό, εἶπε.

---

82. Ἐπὶ τοῦ Ὄρους Ὁμιλία, Ματθ. 5,3 ἑέ.

Ἀπόκρισις

Επλανήθη ὁ λαβών, ὅτι ὅλως ἐθάρρησε δύνασθαι λόγον δοῦναι τῷ Θεῷ περὶ οἱουδήποτε πράγματος. Τίς παρρησιάσεται ἁγνὴν ἔχειν τὴν καρδίαν;. Τῶν τελείων γάρ ἐστι πατέρων τοῦτο τὸ πρᾶγμα. Ὤφειλε γὰρ εἰπεῖν τῷ διδόντι, ὅτι 'Οὔκ εἰμι ἱκανὸς ἐπὶ τούτῳ λαβεῖν, ὥστε δοῦναι λόγον τῷ Θεῷ, ἄνθρωπος ἁμαρτωλὸς ὤν, ἀλλὰ τοῦτο σπουδάζων τὸ συνεισενεγκεῖν πᾶσάν μου τὴν δύναμιν ἐν τῷ πράγματι· τοῦτο δὲ Θεοῦ ἐστι τὸ συνεργῆσαι γενέσθαι κατὰ τὸ θέλημα αὐτοῦ'. Καὶ εἰ οὕτως εἶπε, ταπείνωσις αὐτῷ ἐλογίζετο καὶ οὐκ εἶχεν αὐτὸν ὁ Θεὸς κατακρίναι πλέον τῆς δυνάμεως αὐτοῦ. Ὅτε δὲ ὡς θαρρῶν τὸν λόγον ἐδέξατο, τότε μετὰ ἀκριβείας ἀπαιτεῖται τὸν λόγον παρὰ τοῦ Θεοῦ. Οὐκ ὤφειλε δὲ καὶ ὁ δοὺς ἀπαιτῆσαι τὸν ἀδελφὸν τὸν τοιοῦτον λόγον· καὶ γὰρ δοκῶν αὐτὸν ἔχειν πιστόν, κατὰ ἀγνωσίαν ἄπιστον αὐτὸν ἔσχεν· ἀλλ' ἔδει, ἅπαξ πιστεύσαντα αὐτῷ, ἐᾶσαι τῷ Θεῷ τὸ πρᾶγμα καὶ μὴ διακριθῆναι εἰς τὸν ἄνθρωπον· ὁ γὰρ διακρινόμενος, οὐδὲ πιστεῦσαι ὀφείλει.

ΧΛ'

Ἐρώτησις

Ἐπειδή εἰσί τινες φανερῶς καὶ δημοσίᾳ λαμβάνοντες ἐκ τῆς διαδόσεως, ἄλλοι δὲ ἐρυθριῶντες φανερῶς λαβεῖν διὰ τὴν εὐγένειαν, καὶ ἄλλοι ἀσθενεῖς ἐν τοῖς οἴκοις ἀνακείμενοι, ἆρα ὀφείλει τις ποιεῖν τισιν αὐτῶν διαφοράν, ἢ πᾶσιν ἐπίσης διδόναι τὰ τῆς εὐλογίας;

᾿Απόκριση

Πλανήθηκε αὐτὸς ποὺ πῆρε, διότι ὁπωσδήποτε νόμισε ὅτι μπορεῖ νὰ δώσει λόγο στὸν Θεὸ γιὰ ὁποιοδήποτε πρᾶγμα. Ποιός μπορεῖ μὲ παρρησία νὰ πεῖ ὅτι ἔχει ἁγνὴ τὴν καρδιά. Διότι αὐτὸ τὸ πρᾶγμα εἶναι τῶν τελείων πατέρων. Ἔπρεπε λοιπὸν νὰ πεῖ σ' αὐτὸν ποὺ ἔδωσε· 'Δὲν εἶμαι ἱκανὸς νὰ πάρω τὴν εὐλογία μὲ αὐτὴ τὴ δέσμευση, νὰ δώσω λόγο στὸν Θεό, ἐπειδὴ εἶμαι ἁμαρτωλὸς ἄνθρωπος, ἀλλὰ τὴν παίρνω καὶ θὰ φροντίσω νὰ συνεισφέρω ὅλη τὴ δύναμή μου στὸ πρᾶγμα· τοῦ Θεοῦ ὅμως εἶναι νὰ συνεργήσει νὰ γίνει σύμφωνα μὲ τὸ θέλημά του'. Ἂν ἔλεγε αὐτό, θὰ θεωροῦνταν ταπείνωση σ' αὐτόν, καὶ ὁ Θεὸς δὲν θὰ ἦταν δυνατὸ νὰ τὸν κατακρίνει περισσότερο ἀπὸ τὴ δύναμή του. Ἐπειδὴ ὅμως δέχθηκε σὰν θαρραλέος τὸν λόγο, γι' αὐτὸ θὰ τοῦ ζητηθεῖ μὲ ἀκρίβεια λόγος ἀπὸ τὸν Θεό. Δὲν ἔπρεπε ὅμως καὶ αὐτὸς ποὺ ἔδωσε νὰ ἀπαιτήσει ἀπὸ τὸν ἀδελφὸ αὐτὸν τὸν λόγο· διότι, ἂν καὶ νόμιζε ὅτι τὸν ἔχει ἔμπιστο, ἀπὸ ἀγνωσία ὅμως τὸν θεωροῦσε ἄπιστο· ἀλλ' ἔπρεπε, ἀφοῦ τοῦ εἶχε ἐμπιστοσύνη, ν' ἀφήσει τὸ πρᾶγμα στὸν Θεὸ καὶ νὰ μὴ διατυπώσει ἀμφιβολία γιὰ τὸν ἄνθρωπο· διότι αὐτὸς ποὺ ἀμφιβάλλει, δὲν πρέπει οὔτε νὰ ἐμπιστεύεται κάτι.

630

Ἐρώτηση

Ἐπειδὴ ὑπάρχουν μερικοὶ ποὺ παίρνουν φανερὰ καὶ δημόσια αὐτὰ ποὺ τοὺς δίνουν, ἄλλοι ὅμως κοκκινίζουν νὰ πάρουν φανερὰ ἀπὸ εὐγένεια, καὶ ἄλλοι εἶναι ἀσθενεῖς μένοντας κατάκοιτοι στὰ σπίτια τους, ἄραγε πρέπει κανεὶς νὰ κάνει διάκριση σὲ μερικοὺς ἀπὸ αὐτούς, ἢ νὰ δίνει τὰ τῆς εὐλογίας ἐξ ἴσου σὲ ὅλους;

Ἀπόκρισις

Πάντας τοὺς φανερῶς λαμβάνοντας ἔχε ἐν μιᾷ τάξει, εἰ μή τις αὐτοῖς ἔχων ἀσθένειαν καὶ πάθος, τούτῳ γὰρ δεῖ προσθεῖναι μικρόν· τοὺς δὲ ἐρυθριῶντας φανερῶς καὶ δημοσίᾳ λαμβάνειν καὶ τοὺς ἐν ἀσθενείαις κατακειμένους ἔχε ἐν ἑτέρᾳ τάξει, παρέχων αὐτοῖς περισσὸν κατὰ τὴν χρείαν αὐτῶν, καὶ καθὼς ἔχει ἡ χείρ σου καὶ ἀρέσκει.

ΧΛΑ'

Ἐρώτησις

Ἐὰν ὁ παρέχων τινὶ χρήματα διαδοῦναι εἴτε πατράσιν εἴτε πτωχοῖς, εἴπῃ αὐτῷ ἐν φανερῷ τόπῳ παρασχεῖν, εὑρίσκονται δὲ πλησίον τινὲς πάνυ ἐνδεεῖς, μὴ ἄτοπόν ἐστι κᾀκείνοις μεταδοῦναι;

Ἀπόκρισις

Οὐκ ἔστιν ἄτοπον, ἐὰν πάνυ δέωνται παρασχεῖν καὶ αὐτοῖς· συμβαίνει γὰρ ὅτι μὴ εἰδὼς ἐκεῖνος, ὅτι οὕτω χρῄζουσιν, οὐκ εἶπε δοθῆναι αὐτοῖς. Ἐὰν δὲ εἰδικῶς παραγγείλῃ αὐτῷ μηδαμοῦ ἀλλαχοῦ δοῦναι, εἰμὴ ἐν ἐκείνῳ μόνῳ τῷ τόπῳ, μὴ παρεξέλθῃ τὴν αὐτοῦ ἐντολήν. Χρεία οὖν προερωτᾶν αὐτὸν περὶ τούτου καὶ ὡς λέγει ποιῆσαι, καὶ εὑρίσκεται ἀμέριμνος.

ΧΛΒ'

Ἐρώτησις

Ἐπειδὴ τὸ πρᾶγμα τοῦτο καὶ τῶν συνεργούντων χρῄζει,

'Απόκριση

Ολους ἐκείνους ποὺ παίρνουν φανερὰ νὰ τοὺς κατατάσσεις σὲ μία τάξη, ἐκτὸς ἂν κάποιος ἀπὸ αὐτοὺς ἔχει ἀσθένεια καὶ πάθος, ὁπότε σ' αὐτὸν πρέπει νὰ προσθέσεις λίγο· ἐκείνους πάλι ποὺ κοκκινίζουν νὰ παίρνουν φανερὰ καὶ δημόσια καὶ ἐκείνους ποὺ εἶναι κατάκοιτοι ἀπὸ ἀσθένειες, νὰ τοὺς ἔχεις σὲ ἄλλη τάξη, δίνοντας σ' αὐτοὺς περισσότερο ἀπὸ τὴν ἀνάγκη τους καὶ ἀνάλογα μὲ αὐτὸ ποὺ ἔχει τὸ χέρι σου καὶ θεωρεῖς σκόπιμο.

631

Ἐρώτηση

Ἐὰν ἐκεῖνος ποὺ δίνει σὲ κάποιον χρήματα γιὰ νὰ τὰ δώσει εἴτε στοὺς πατέρες εἴτε στοὺς φτωχούς, πεῖ σ' αὐτὸν νὰ τὰ δώσει σὲ φανερὸ τόπο, βρίσκονται ὅμως κοντὰ μερικοὶ πολὺ φτωχοί, μήπως εἶναι ἄτοπο νὰ δώσει καὶ σ' αὐτούς;

'Απόκριση

Δὲν εἶναι ἄτοπο νὰ δώσει καὶ σ' αὐτούς, ἂν ἔχουν μεγάλη ἀνάγκη· διότι συμβαίνει ὅτι ἐκεῖνος δὲν εἶπε νὰ δοθεῖ σ' αὐτούς, ἐπειδὴ δὲν γνώριζε ὅτι ἔχουν τόση μεγάλη ἀνάγκη. Ἂν ὅμως εἰδικῶς παραγγείλει σ' αὐτὸν νὰ μὴ δώσει πουθενὰ ἀλλοῦ, παρὰ σ' ἐκεῖνον μόνο τὸν τόπο, νὰ μὴ παραβεῖ τὴν ἐντολή του. Πρέπει λοιπὸν νὰ τὸν ἐρωτᾶ ἀπὸ πρὶν γι' αὐτὸ καὶ νὰ κάνει ὅ,τι λέγει· τότε βρίσκεται ἀμέριμνος.

632

Ἐρώτηση

Ἐπειδὴ αὐτὸ τὸ πρᾶγμα χρειάζεται καὶ βοηθούς, ἂν πάρω

ἐὰν λάβω τινὰς οὓς νομίζω εἶναι πιστούς, μὴ ὀφείλω διακριθῆναι πιστεῦσαι αὐτοῖς τὸ πρᾶγμα;

Ἀπόκρισις

Ἐὰν φθάσῃς ἔχειν αὐτοὺς πιστούς, μὴ διακριθῇς πιστεῦσαι αὐτοῖς, τῷ γὰρ Θεῷ τὰ πάντα πεφανέρωται, καὶ αὐτὸς οἶδεν ἡμῶν τὰ ἐγκάρδια, καὶ κατὰ τὸ ἔργον ἀποδίδωσιν ἑκάστῳ. Ἐὰν οὖν παράψωνται, αὐτοὶ ἑαυτοῖς ὄψονται.

ΧΛΓ'

Ἐρώτησις

Ἐὰν δὲ καταλάβω ὅτι παρήψατό τις αὐτῶν, τί ὀφείλω ποιῆσαι; ἐλέγξω αὐτὸν καὶ ἀπολάβω αὐτὰ ἢ οὔ;

Ἀπόκρισις

Ἐὰν εὕρῃς ἀκριβῶς ὅτι παρήψατο, σκόπησον εἰ δέχεται ὁ λογισμὸς αὐτοῦ ἐλεγχθῆναι, καὶ οὕτως εἰπὲ αὐτῷ τὸ πρᾶγμα μετὰ πρᾳότητος καὶ νουθεσίας τῆς κατὰ Θεόν, καὶ ἀνάλαβε αὐτὰ παρ' αὐτοῦ. Εἰ δὲ μὴ δέχηται τὸν ἔλεγχον, μὴ βλάψῃς τὴν συνείδησιν αὐτοῦ, μήποτε ἀπὸ αἰσχύνης εἰς χεῖρόν τι ἔλθῃ, ἀλλ' ἔασον αὐτὸν ἔχειν εἴ τι ἔλαβε· καὶ αὐτὸς ὁ Θεὸς πλέον ἐπίσταται, εἰ χρῄζων ἔλαβε, καὶ οἶδε πῶς κρίνει τὸ πρᾶγμα αὐτοῦ.

ΧΛΔ'

Ἐρώτησις

Καὶ ὀφείλω τοῦ λοιποῦ τῷ τοιούτῳ οὕτω πιστεῦσαι;

μερικοὺς ποὺ τοὺς θεωρῶ ἔμπιστους, μήπως πρέπει ν' ἀμφιβαλλω νὰ τοὺς ἐμπιστευθῶ τὸ πρᾶγμα;

Ἀπόκριση

Ἐὰν φθάσεις νὰ τοὺς θεωρεῖς ἔμπιστους, νὰ μὴ ἀμφιβάλλεις νὰ τοὺς ἐμπιστευθεῖς, διότι τὰ πάντα εἶναι φανερὰ στὸν Θεὸ καὶ αὐτὸς γνωρίζει τὰ ἐγκάρδιά μας καὶ ἀποδίδει στὸν καθένα σύμφωνα μὲ τὸ ἔργο του. Ἂν λοιπὸν παραβοῦν τὴν ἐντολή, αὐτοὶ θὰ εἶναι ὑπεύθυνοι γιὰ τὴν πράξη τους.

633

Ἐρώτηση

Ἐὰν ὅμως καταλάβω ὅτι ἀφαίρεσε κάτι ἀπ' αὐτά, τί ὀφείλω νὰ κάνω, νὰ τὸν ἐλέγξω καὶ νὰ τὰ πάρω πίσω ἢ ὄχι;

Ἀπόκριση

Ἂν διαπιστώσεις μὲ βεβαιότητα, ὅτι ἀφαίρεσε κάτι, ἐξέτασε, ἂν δέχεται ὁ λογισμός του νὰ ἐλεγχθεῖ, καὶ τότε πές του τὸ πρᾶγμα μὲ πραότητα καὶ νουθεσία ποὺ εἶναι σύμφωνη μὲ τὸν Θεό, παίρνοντας πίσω ἀπὸ αὐτὸν τὰ ἀφαιρεθέντα. Ἂν ὅμως δὲν δέχεται τὸν ἔλεγχο, μὴ βλάψεις τὴ συνείδησή του, μήπως ἀπὸ ντροπὴ φθάσει σὲ κάτι χειρότερο, ἀλλ' ἄφησέ τον νὰ ἔχει ὅ,τι πῆρε. Ὁ Θεὸς γνωρίζει καλύτερα ἂν τὰ πῆρε ἐπειδὴ τὰ χρειαζόταν, καὶ γνωρίζει πῶς νὰ κρίνει τὴ συμπεριφορά του.

634

Ἐρώτηση

Καὶ πρέπει στὸ ἑξῆς νὰ ἔχω αὐτὴν τὴν ἐμπιστωσύνη γι' αὐτόν;

Ἀπόκρισις

Ἐὰν μάθῃς ὅτι καὶ ἄλλοτε τοῦτο ἐποίησε καὶ σπουδάζει παραβλάπτειν τὸ πρᾶγμα, μηκέτι πιστεύσῃς αὐτῷ· εἰ δὲ χρηστὸς ὑπάρχων ἀεί, νῦν ἐκ διαβόλου συνηρπάγη ἢ χρῄζων αὐτῶν ἔλαβεν, οὐκ ἄτοπον πάλιν πιστεῦσαι αὐτῷ· πάντως γὰρ διορθοῦται· μόνον μὴ σκανδαλίσῃς αὐτόν.

ΧΛΕ'

Ἐρώτησις

Τοῖς παρερχομένοις διὰ τῶν οἴκων πτωχοῖς τί ὀφείλω διδόναι;

Ἀπόκρισις

Καθὼς εὑρίσκει ἡ χείρ σου, εἴτε μικρὸν βουκίον, εἴτε ἄκρατον, εἴτε δύο νουμία, εἴτε φολερόν· μόνον ἀθλίπτως παράσχου, κατὰ φόβον Θεοῦ· ἐν τούτῳ γὰρ δοξάζεται ὁ φιλάνθρωπος Θεός.

ΧΛΣ'

Ἐρώτησις

Συμβαίνει ὅτι ἔχω πρᾶγμα ἀναγκαῖον καὶ ἄλλο δευτερεῖον, εἴτε οἶνον εἴτε ἄρτον, καὶ λέγει μοι ὁ λογισμὸς ἐκ τοῦ ἀναγκαίου διδόναι τοῖς πτωχοῖς, δυσχεραίνω δὲ τοῦτο ποιῆσαι, ἵνα μᾶλλον τὰ καλλιώτερα δώσω αὐτοῖς καὶ κρατήσω τὰ δευτερεῖα· ὅταν δὲ πατέρες ἔρχονται πρός με λογίζομαι αὐτοὺς προτιμᾶν τῶν πτωχῶν καὶ κατὰ δύναμιν αὐτοὺς ἀναπαῦσαι· ἆρα καλῶς λογίζομαι ἢ οὔ;

᾽Απόκριση

Αν μάθεις ὅτι καὶ ἄλλοτε τὸ ἔκανε αὐτὸ καὶ φροντίζει νὰ παραβλάπτει τὸ πρᾶγμα, νὰ μὴ τοῦ ἐμπιστευθεῖς ποτὲ στὸ ἑξῆς· ἂν ὅμως, ἐνῶ πάντα ἦταν χρηστός, τώρα τὰ πῆρε, διότι κυριεύθηκε ἀπὸ τὸν διάβολο, ἢ ἐπειδὴ τὰ χρειαζόταν, δὲν εἶναι ἄτοπο νὰ τὸν ἐμπιστευθεῖς πάλι· διότι ὁπωσδήποτε θὰ διορθωθεῖ· μόνο νὰ μὴ τὸν σκανδαλίσεις.

635

Ἐρώτηση

Στοὺς φτωχοὺς ποὺ περνοῦν ἀπὸ τὰ σπίτια τί πρέπει νὰ δίνω;

᾽Απόκριση

Ο,τι βρίσκει τὸ χέρι σου, εἴτε μιὰ μπουκιά, εἴτε κρασί, εἴτε δύο νουμία, εἴτε ἕνα φιλερό[83]· μόνο νὰ τὰ δίνεις χωρὶς θλίψη καὶ μὲ φόβο Θεοῦ· διότι μ' αὐτὸ δοξάζεται ὁ φιλάνθρωπος Θεός.

636

Ἐρώτηση

Συμβαίνει νὰ ἔχω ἕνα πρᾶγμα πρώτης ἀνάγκης καὶ ἄλλο δευτερεῦον, εἴτε κρασὶ εἴτε ἄρτο, καὶ ὁ λογισμὸς μοῦ λέγει νὰ δώσω στοὺς φτωχοὺς ἀπὸ τὸ ἀναγκαῖο· διστάζω ὅμως νὰ τὸ κάνω αὐτό, νὰ δώσω δηλαδὴ σ' αὐτοὺς μᾶλλον τὰ πολὺ καλὰ καὶ νὰ κρατήσω ἐγὼ τὰ δευτερεύοντα. Ὅταν ὅμως οἱ πατέρες ἔρχονται σὲ μένα, σκέφτομαι ὅτι αὐτοὶ προτιμοῦν τοὺς φτωχούς, καὶ τοὺς ἀναπαύω κατὰ τὴ δύναμη· ἄραγε σκέφτομαι σωστὰ ἢ ὄχι;

---

83. Μικρῆς ἀξίας νομίσματα.

Ἀπόκρισις

Περὶ μὲν τῶν πτωχῶν ὁπότε οὐκ ἐφθάσαμεν ἔχειν αὐτοὺς ἐξ ἴσου οὐδὲ ἀγαπᾶν τὸν πλησίον ὡς ἑαυτούς, κατὰ δύναμίν σου πρᾶξον, εἰδὼς τὴν ἀσθένειάν σου, καὶ δὸς αὐτοῖς τὰ δευτερεῖα. Περὶ δὲ τῶν πατέρων αὐτοὺς δεῖ προτιμᾶν, ὅτι δοῦλοί εἰσι τοῦ Θεοῦ· γέγραπται γὰρ «τῷ τὴν τιμήν, τὴν τιμήν»· καὶ γὰρ ὁ Κύριος προετίμησεν αὐτούς.

ΧΛΖ'

Ἐρώτησις

Φιλόχριστος ἄλλος ἀσθενῶν ἠρώτησε τὸν αὐτὸν γέροντα Ἰωάννην, εἰ μέλλει ζῆσαι ἢ ἀποθανεῖν, καὶ ἀπεκρίνατο αὐτῷ οὕτως.

Ἀπόκρισις

Ἐὰν εἴπω σοι ὅτι ἀποθνήσκεις, ὡς βεβιασμένη γίνεται ἡ σωτηρία σου· βλέπων γὰρ σεαυτὸν εἰς τὸ στόμα τοῦ θανάτου, ὡς κατὰ ἀνάγκην ῥίπτεις σου τὰ πράγματα· ἐὰν δὲ προσδοκᾷς ζῆσαι ἔτι πολὺν χρόνον καὶ ἔλθῃ σοι λογισμὸς τοῦ σωθῆναι καὶ τάξῃς οὕτω τὸν λογισμόν σου εἰς τὸ ἀγαθόν, κἂν ἀποθάνῃς εὐθέως, κατὰ προαίρεσιν εὑρίσκεταί σου ἡ σωτηρία καὶ οὐ βεβιασμένη.

ΧΛΗ'

Ἐρώτησις

Τί οὖν; ἐὰν διὰ τὸν φόβον τοῦ θανάτου ποιῇ τις πρᾶγμα ἀγαθόν, οὐ γίνεται αὐτῷ εἰς σωτηρίαν;

Ἀπόκριση

Ὅσο γιὰ τοὺς φτωχούς, ἀφοῦ δὲν φθάσαμε ἀκόμα νὰ τοὺς θεωροῦμε ἴσους μὲ μᾶς, οὔτε ν' ἀγαπᾶμε τὸν πλησίον ὅπως τὸν ἑαυτό μας, ἐνέργησε σύμφωνα μὲ τὴ δύναμή σου, γνωρίζοντας τὴν ἀσθένειά σου, καὶ δός τους τὰ δευτερεύοντα. Γιὰ τοὺς πατέρες πάλι πρέπει νὰ τοὺς προτιμοῦμε, διότι εἶναι δοῦλοι τοῦ Θεοῦ καὶ ἔχει γραφεῖ· «νὰ ἀποδίδεις τὴν τιμὴ σ' ἐκεῖνον ποὺ ὀφείλεται ἡ τιμή»[84]. Ἄλλωστε καὶ ὁ Κύριος προτίμησε αὐτούς.

637

Ἐρώτηση

Ἄλλος φιλόχριστος, ποὺ ἀσθενοῦσε, ἐρώτησε τὸν ἴδιο γέροντα Ἰωάννη ἂν πρόκειται νὰ ζήσει ἢ νὰ πεθάνει, καὶ τοῦ ἀπάντησε τὰ ἑξῆς.

Ἀπόκριση

Ἂν σοῦ πῶ ὅτι θὰ πεθάνεις, ἡ σωτηρία σου θὰ γίνει σὰν βεβιασμένη, διότι, βλέποντας τὸν ἑαυτό σου στὸ στόμα τοῦ θανάτου, θὰ συμπεριφερθεῖς σὰν ἀπὸ ἀνάγκη· ἂν ὅμως περιμένεις νὰ ζήσεις ἀκόμα πολὺν καιρὸ καὶ σοῦ ἔρθει λογισμὸς νὰ σωθεῖς καὶ τάξεις ἔτσι τὸν λογισμό σου στὸ ἀγαθό, κι ἂν πεθάνεις ἀμέσως, ἡ σωτηρία σου κατορθώνεται μὲ τὴν προαίρεσή σου καὶ ὄχι βεβιασμένα.

638

Ἐρώτηση

Τί λοιπόν; Ἐὰν κανεὶς κάνει ἀγαθὴ πράξη ἐξαιτίας τοῦ φόβου τοῦ θανάτου, δὲν τοῦ ὑπολογίζεται γιὰ σωτηρία;

84. Ρωμ. 13,7.

Ἀπόκρισις

Οὐχ ὁμοία ἐστὶν ἡ κατὰ ἀνάγκην τῇ κατὰ προαίρεσιν σωτηρίᾳ, ἀλλ' ὅμως κρείττων ἐστὶ τοῦ μηδὲν ποιοῦντος. Ἀπώλεια γάρ ἐστι τῇ ψυχῇ, τὸ μηδὲ τότε ποιῆσαι, ὅτε κύριοι οὐ μέλλομεν εἶναι ἡμῶν αὐτῶν. Ἐπιστάμενος οὖν τὰ ἀμφότερα, χρῶ ἐν τοῖς σοῖς ὡς φρόνιμος καὶ μὴ ὡς αἱ μωραὶ παρθένοι αἱ ἀποκλεισθεῖσαι τοῦ νυμφῶνος, διὰ τὸ μὴ ἔχειν καρπὸν ἐλεημοσύνης καὶ εὐποιΐας.

ΧΛΘ'

Ἐρώτησις

Ἐὰν οὖν τις ὑπομιμνήσκῃ τὴν ψυχὴν αὐτοῦ περὶ θανάτου καὶ διὰ τοῦτο σπουδάζῃ ποιεῖν τὸ ἀγαθόν, οὐκ ἔστι τοῦτο ἑκούσιος μισθός;

Ἀπόκρισις

Ἐπειδὴ τὴν μνήμην τοῦ θανάτου ἔχει, καλόν ἐστιν, ἵνα μάθῃ ὅτι θνητός ἐστι καὶ ὁ θνητὸς οὐκ ἔστιν αἰώνιος, καὶ ὁ μὴ ὢν αἰώνιος, ἀκουσίως καταλιμπάνει τὸν αἰῶνα τοῦτον. Ἀπὸ τῆς συνεχοῦς οὖν μνήμης τοῦ θανάτου μανθάνει τὸ κατὰ προαίρεσιν ποιεῖν τὸ ἀγαθόν· τὸ δὲ ἰδεῖν τὸν θάνατον πρὸ ὀφθαλμῶν καὶ ποιῆσαι οὐκ ἔστι κατὰ ταύτην τὴν πρᾶξιν· ἐκεῖνο γὰρ διὰ συνεχοῦς μελέτης γέγονε κατὰ προαίρεσιν, τοῦτο δὲ διὰ τὸν προκείμενον φόβον τοῦ θανάτου, γέγονε κατὰ ἀνάγκην.

ΧΜ'

Ἐρώτησις

Εἰπέ μοι, πάτερ, τί μὲν ὠφελεῖ τὴν ψυχὴν τὸ ἑκούσιον, τί δὲ τὸ ἀκούσιον.

᾿Απόκριση

Η κατ᾿ ἀνάγκη δὲν εἶναι ὅμοια μὲ τὴν κατὰ προαίρεση σωτηρία, ἀλλ᾿ ὅμως εἶναι καλύτερη ἀπὸ τὸ νὰ μὴ κάνει κανεὶς τίποτε. Διότι εἶναι ἀπώλεια γιὰ τὴν ψυχή, τὸ νὰ μὴ κάνομε οὔτε τότε, ὅταν δὲν πρόκειται νὰ εἴμαστε κύριοι τοῦ ἑαυτοῦ μας. Ἐπειδὴ λοιπὸν γνωρίζεις καὶ τὰ δύο, ἐνέργησε σὰν φρόνιμος καὶ ὄχι ὅπως οἱ μωρὲς παρθένες ποὺ ἀποκλείστηκαν ἀπὸ τὸν νυμφώνα ἐξαιτίας τοῦ ὅτι δὲν εἶχαν καρπὸ ἐλεημοσύνης καὶ ἀγαθοεργίας.

639

Ἐρώτηση

Ἐὰν λοιπὸν κανεὶς ὑπενθυμίζει τὴν ψυχή του γιὰ τὸ θάνατο, καὶ γι᾿ αὐτὸ φροντίζει νὰ κάνει τὸ ἀγαθό, αὐτὸ δὲν εἶναι ἑκούσιος μισθός;

᾿Απόκριση

Ἐπειδὴ ἔχει τὴ μνήμη τοῦ θανάτου, εἶναι καλὸ νὰ μάθει ὅτι εἶναι θνητὸς καὶ ὅτι ὁ θνητὸς δὲν εἶναι αἰώνιος· καὶ αὐτὸς ποὺ δὲν εἶναι αἰώνιος, ἐγκαταλείπει αὐτὸν τὸν αἰώνα χωρὶς τὴ θέλησή του. Ἐξαιτίας λοιπὸν τῆς συνεχοῦς μνήμης τοῦ θανάτου μαθαίνει νὰ κάνει τὸ ἀγαθὸ μὲ τὴ θέλησή του· τὸ νὰ δεῖ ὅμως τὸν θάνατο μπροστὰ στὰ μάτια του καὶ τότε νὰ κάνει τὸ ἀγαθό, αὐτὸ δὲν γίνεται σύμφωνα μ᾿ αὐτὴν τὴν πράξη· διότι ἐκεῖνο τὸ ἀγαθὸ μὲ τὴ συνεχὴ μελέτη ἔχει γίνει κατὰ προαίρεση, ἐνῶ αὐτό, ἐξαιτίας τοῦ προκείμενου φόβου τοῦ θανάτου, ἔχει γίνει κατ᾿ ἀνάγκη.

640

Ἐρώτηση

Πές μου, πάτερ, τί ὠφελεῖ τὴν ψυχὴ τὸ ἑκούσιο καὶ τί τὸ ἀκούσιο;

Ἀπόκρισις

Τὸ ἑκούσιον τελείως ῥύεται τὴν ψυχὴν ἐκ τοῦ θανάτου, τὸ δὲ ἀκούσιον μειοῦται ἐκ τῆς χάριτος ταύτης καὶ ἧττον εὑρίσκεται.

ΧΜΑ'

Ἐρώτησις

Ἐάν τις, ἀμελῶς ζήσας, μέλλῃ ἀποθνῄσκειν καὶ συντάξηται τῷ Θεῷ ὅτι, ἐὰν ζῇ, σπουδάζει ἀρέσαι αὐτῷ, ἆρα χαρίζεται αὐτῷ πλείονα ζωήν;

Ἀπόκρισις

Ὁ Θεὸς καρδιογνώστης ἐστὶ καὶ εἰς τὴν εὐθύτητα τῆς καρδίας προσέχει. Ἐὰν οὖν ἴδῃ ὅτι ἐξ ἀληθείας καὶ ἐξ ὅλης ψυχῆς μέλλει μετανοεῖν, δίδωσιν αὐτῷ προσθήκην ζωῆς· φησὶ γὰρ «δώῃ σοι Κύριος κατὰ τὴν καρδίαν σου»· τὸ γὰρ θέλημα τοῦ Θεοῦ ἐστιν ἡ σωτηρία τῶν ἀνθρώπων, καθὼς αὐτὸς εἶπε· ‘ζῶ ἐγώ, ὅτι οὐ θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς το ἐπιστρέψαι καὶ ζῆν αὐτόν». Κατευθύνωμεν οὖν ἡμῶν τὴν καρδίαν πρὸς αὐτὸν καὶ πᾶσαν εἰς αὐτὸν τὴν μέριμναν ἡμῶν ἐπιρρίψωμεν, καὶ αὐτὸς κατευοδοῖ ἡμῶν τὰ συμφέροντα πρὸς τὴν ἡμετέραν σωτηρίαν.

ΧΜΒ'

Ἐρώτησις

Εἰπέ μοι, πάτερ, εἰ ἔχει ὅρον τὸ τέλος τοῦ κόσμου.

Ἀπόκριση

Τὸ ἑκούσιο ἐλευθερώνει τελείως τὴν ψυχὴ ἀπὸ τὸν θάνατο, ἐνῶ τὸ ἀκούσιο ὑπολείπεται ἀπὸ αὐτὴ τὴ χάρη καὶ βρίσκεται κατώτερο.

641

Ἐρώτηση

Ἐὰν κάποιος, ποὺ ἔζησε ἀμελῶς, πρόκειται νὰ πεθάνει καὶ προσφύγει στὸν Θεὸ καὶ τοῦ ζητήσει πώς, ἂν θὰ ζήσει, θὰ φροντίσει νὰ τοῦ γίνει ἀρεστός, ἄραγε θὰ τοῦ χαρισθεῖ περισσότερη ζωή;

Ἀπόκριση

Ὁ Θεὸς εἶναι καρδιογνώστης καὶ προσέχει στὴν εὐθύτητα τῆς καρδιᾶς. Ἂν λοιπὸν δεῖ ὅτι πρόκειται νὰ μετανοήσει εἰλικρινὰ καὶ μὲ ὅλη τὴν ψυχή του, τοῦ δίνει παράταση ζωῆς· διότι λέγει ἡ Γραφή, «εἴθε ὁ Κύριος νὰ σοῦ δώσει σύμφωνα μὲ τὴν καρδιά σου»[85]. Πράγματι τὸ θέλημα τοῦ Θεοῦ εἶναι ἡ σωτηρία τῶν ἀνθρώπων, ὅπως αὐτὸς εἶπε· «βεβαιώνω ἐγώ, ὅτι δὲν θέλω τὸν θάνατο τοῦ ἁμαρτωλοῦ, παρὰ νὰ ἐπιστρέψει, καὶ θὰ ζήσει»[86]. Ἂς κατευθύνομε λοιπὸν τὴν καρδιά μας πρὸς αὐτὸν καὶ ἂς συγκεντρώσομε ὅλη τὴ μερίμνά μας πάνω σ' αὐτόν, καὶ αὐτὸς θὰ κατευοδώσει αὐτὰ ποὺ συμφέρουν γιὰ τὴ σωτηρία μας.

642

Ἐρώτηση

Πές μου, πάτερ, ἂν ἔχει ὅριο τὸ τέλος τοῦ κόσμου.

85. Ψαλμ. 19,4.
86. Ἰεζ. 18,32.

Ἀπόκρισις

Εστι μὲν τέλος τῷ κόσμῳ πάντως, ὁ δὲ Θεὸς ἐὰν εὑρίσκῃ ἡμᾶς εὐαρεστοῦντας προστίθησι τὸν χρόνον· φησὶ γὰρ «δικαιοσύνη προστίθησιν ἡμέρας, ἔτη δὲ ἀσεβῶν ὀλιγωθήσονται». Ἡ γὰρ τοῦ Θεοῦ πρόσταξις ὅρος λέγεται καὶ περὶ τῆς ζωῆς τῶν ἀνθρώπων· καὶ γὰρ καὶ τῶν Ἀποστόλων ἐρωτησάντων, εἶπεν· «οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιρούς, οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ».

ΧΜΓ'

Ἐρώτησις

Ἄλλος φιλόχριστος, ἀσθενήσας καὶ σφόδρα φλεγόμενος ὑπὸ τοῦ πυρετοῦ, ἐδεήθη τοῦ μεγάλου Γέροντος, ὥστε εὔξασθαι ὑπὲρ αὐτοῦ, ἵνα κουφισθῇ τῆς ὀδύνης· ἀπέστειλε δὲ καὶ ὕδωρ ἵνα εὐλογήσῃ αὐτὸ καὶ πίῃ· οὐκ ἔφερε γὰρ τὴν καῦσιν τοῦ πυρετοῦ. Καὶ εὐξαμένου τοῦ Γέροντος ἔπιε καὶ ἔθραυσε παραυτίκα ὁ πυρετὸς καὶ ἔπαυσεν ἡ ὀδύνη καί, θαυμάζων ὁ ἀδελφὸς καὶ δοξάζων ἐπὶ τούτῳ τὸν Θεόν, διηγήσατό τισι τὴν τοῦ Θεοῦ ἐνέργειαν καὶ εὐεργεσίαν τὴν διὰ τοῦ ἁγίου Γέροντος γενομένην. Καὶ τῇ ἑξῆς ἐπέθετο αὐτῷ σφοδρῶς πάλιν ὁ πυρετὸς καὶ ἔπεμψε πρὸς τὸν Γέροντα, δεόμενος ἐλεῆσαι αὐτόν· καὶ δηλοῖ αὐτῷ ὁ Γέρων.

Ἀπόκρισις

Τοῦτο ἔπαθες ἵνα μὴ ἧς φλύαρος. Καὶ ἐκουφίσθη τελείως τῇ δεήσει τοῦ ἁγίου Γέροντος. Ἔκτοτε οὖν ἐφοβεῖτο ἀναγγεῖλαί τινι, οὐ περὶ τούτου μόνον, ἀλλὰ καὶ περὶ ἄλλων, ὧν ἐπειράθη εὐεργεσιῶν τοῦ ἁγίου.

87. Παρμ. 10,27.
88. Πράξ. 1,7.

᾿Απόκριση

Υπάρχει ὁπωσδήποτε τέλος στὸν κόσμο, ἀλλ' ὁ Θεὸς ἂν μᾶς βλέπει νὰ τὸν εὐαρεστοῦμε παρατείνει τὸν χρόνο, διότι λέγει «ἡ δικαιοσύνη προσθέτει μέρες, ἐνῶ τὰ ἔτη τῶν ἀσεβῶν θὰ λιγοστέψουν»[87]. Ἡ προσταγὴ τοῦ Θεοῦ λέγεται ὅριο καὶ γιὰ τὴ ζωὴ τῶν ἀνθρώπων· διότι καὶ οἱ ᾿Απόστολοι ὅταν ἐρώτησαν, εἶπε· «δὲν εἶναι γνώρισμα δικό σας νὰ γνωρίζετε τοὺς χρόνους ἢ καιρούς, ποὺ ὅρισε ὁ Θεὸς ν' ἀνήκουν στὴ δική του ἐξουσία»[88].

643

Ἐρώτηση

῎Αλλος φιλόχριστος, ὅταν ἀσθένησε καὶ φλεγόταν πολὺ ἀπὸ τὸν πυρετό, παρακάλεσε τὸν μεγάλο Γέροντα νὰ προσευχηθεῖ γι' αὐτόν, γιὰ νὰ ἀνακουφισθεῖ ἀπὸ τὸν πόνο· ἔστειλε μάλιστα καὶ νερὸ γιὰ νὰ τὸ εὐλογήσει καὶ νὰ πιεῖ· διότι δὲν ὑπέφερε τὴ φλόγα τοῦ πυρετοῦ. ᾿Αφοῦ προσευχήθηκε ὁ Γέροντας, ἤπιε καὶ ἔσπασε ἀμέσως ὁ πυρετὸς καὶ σταμάτησε ὁ πόνος. Ὁ ἀδελφὸς τότε, θαυμάζοντας καὶ δοξάζοντας τὸν Θεὸ γι' αὐτό, διηγήθηκε σὲ μερικοὺς τὴν ἐνέργεια καὶ εὐεργεσία τοῦ Θεοῦ ποὺ ἔγινε μέσω τοῦ ἁγίου Γέροντα. ᾿Αλλὰ τὴν ἑπόμενη μέρα ἦρθε πάλι σ' αὐτὸν σφοδρὸς πυρετός, καὶ ἔστειλε στὸν γέροντα, παρακαλώντας νὰ τὸν ἐλεήσει. Ὁ Γέροντας τότε τοῦ δήλωσε αὐτά.

᾿Απόκριση

Αὐτὸ τὸ ἔπαθες γιὰ νὰ μὴ εἶσαι φλύαρος. Καὶ ἀνακουφίσθηκε ἐντελῶς μὲ τὴ δέηση τοῦ ἁγίου Γέροντα. ᾿Απὸ τότε λοιπὸν φοβόταν ν' ἀναγγείλει σὲ κάποιον ὄχι μόνο γι' αὐτό, ἀλλὰ καὶ ἄλλες εὐεργεσίες τοῦ ἁγίου ποὺ δέχθηκε.

ΧΜΔ'

Ἐρώτησις

Ὁ αὐτὸς ἀδελφός, ἰδὼν τὸν ἀββᾶν διηγούμενον τοῖς ἐρχομένοις ἀδελφοῖς τὰ θαυμάσια τοῦ ἁγίου Γέροντος, ἠρώτησε περὶ τούτου τὸν ἄλλον γέροντα Ἰωάννην. Καὶ ὑπ' αὐτοῦ διδαχθεὶς τὰ τοῦ σκοποῦ, οὐκ ἔτι τούτῳ προσέθηκεν.

Ὁ αὐτὸς ἠρώτησε τὸν αὐτὸν γέροντα.

Τί ἐστιν, ὦ πάτερ Ἰωάννη, ὅτι ὥρας ὥρας βλέπω τὸν ἀββᾶν λαλοῦντα περὶ τῆς ἀρετῆς τῶν γερόντων καὶ εὐφραίνομαι τοῖς ῥήμασιν αὐτοῦ, ὡς εἰς οἰκοδομὴν οὖσιν, ἄλλοτε δὲ δοκῶ ὅτι οὐκ οἰκοδομεῖ ταῦτα, ἀλλὰ σκανδαλίζει, διότι ἰδίους πατέρας αὐτὸς ἐπαινεῖ, καὶ θλίβομαι, πάσχω δὲ τοῦτο καὶ εἰς ἑτέρους πατέρας, δοκῶν ἀφαρεὶ λαλοῦντας; Παρακαλῶ οὖν σε, πάτερ, εἰπεῖν μοι τί ἐστι τοῦτο, καὶ εὖξαι ἵνα λυτρωθῶ τούτου τοῦ πονηροῦ λογισμοῦ.

***Ἀπόκρισις** Ἰωάννου.*

Αδελφέ, δώῃ σοι ὁ Θεὸς ἀκοῦσαι καὶ συνιέναι καὶ ἐνεγκεῖν εἰς ἔργα τὰ λαλούμενά σοι· τοῦτο δὲ δικαίωμά ἐστι καὶ κατάκρισις. Δικαίωμα μέν, ὅτι ψηφίζεις σεαυτὸν ἄξιον τοῦ διηγήματος· κατάκρισις δὲ ὅτι λέγεις, 'καὶ πῶς οὗτος διηγεῖται', καὶ οὐ μνημονεύεις ὅτι «τὸ πνεῦμα ὅπου θέλει πνεῖ». Δύνασαι εἰπεῖν μοι, διατί ὁ Κύριος θεραπεύων τινὰς ἐπετίμα αὐτοῖς μηδενὶ εἰπεῖν τὸ γεγονός, καὶ ἄλλῳ εἶπεν, «ὕπαγε σεαυτὸν δεῖξον τῷ ἱερεῖ, καὶ προσάγαγε περὶ τοῦ καθαρισμοῦ σου, καὶ αὖθις, εἰς μαρτύριον αὐτοῖς, καὶ διήγησαι ὅσα ἐποίησέ σοι ὁ Θεός»;

89. Ἰω. 3,8.
90. Μάρκ. 8,26.

644

Ἐρώτηση

Ὁ ἴδιος ἀδελφός, ὅταν εἶδε τὸν ἀββᾶ νὰ διηγεῖται στοὺς ἀδελφοὺς ποὺ ἔρχονταν τὰ θαυμάσια τοῦ ἁγίου Γέροντα, ἐρώτησε γι' αὐτὸ τὸν ἄλλο γέροντα Ἰωάννη. Καὶ ἀφοῦ διδάχθηκε ἀπὸ αὐτὸν τὰ τοῦ σκοποῦ τους, δὲν συνέχισε πιὰ σ' αὐτό.

Ὁ ἴδιος ἐρώτησε τὸν ἴδιο γέροντα.

Τί σημάνει, πάτερ Ἰωάννη, διότι ὧρες ὧρες βλέπω τὸν ἀββᾶ νὰ μιλᾶ γιὰ τὴν ἀρετὴ τῶν γερόντων, καὶ εὐφραίνομαι μὲ τὰ λόγια του, σὰν νὰ εἶναι γιὰ οἰκοδομή, ἄλλοτε ὅμως νομίζω ὅτι αὐτὰ δὲν οἰκοδομοῦν, ἀλλὰ σκανδαλίζουν, διότι αὐτὸς ἐπαινεῖ τοὺς δικούς του πατέρες καὶ θλίβομαι, καὶ τὸ παθαίνω αὐτὸ καὶ μὲ ἄλλους πατέρες, νομίζοντας ὅτι μιλοῦν περιττά. Σὲ παρακαλῶ λοιπόν, πάτερ, νὰ μοῦ πεῖς τί σημαίνει αὐτό, καὶ προσευχήσου γιὰ νὰ λυτρωθῶ ἀπὸ αὐτὸν τὸν πονηρὸ λογισμό.

Ἀπόκριση Ἰωάννου.

Ἀδελφέ, εἴθε νὰ σοῦ δώσει ὁ Θεὸς ν' ἀκούσεις καὶ νὰ καταλάβεις καὶ νὰ καταστήσει ἔργα αὐτὰ ποὺ σοῦ λέγονται. Αὐτὸ ποὺ σοῦ συμβαίνει εἶναι δικαίωμα καὶ κατάκριση. Δικαίωμα, διότι θεωρεῖς τὸν ἑαυτό σου ἄξιο τοῦ διηγήματος, καὶ κατάκριση, διότι λές, 'καὶ πῶς διηγεῖται αὐτός', καὶ δὲν θυμᾶσαι ὅτι «τὸ πνεῦμα πνέει ὅπου θέλει»[89]. Μπορεῖς νὰ μοῦ πεῖς, γιατί ὁ Κύριος, ὅταν θεράπευε, μερικοὺς τοὺς ἐπιτιμοῦσε νὰ μὴ ποῦν τὸ γεγονὸς σὲ κανένα[90], καὶ σ' ἄλλον εἶπε, «πήγαινε καὶ δεῖξε τὸν ἑαυτό σου στὸν ἱερέα καὶ διηγήσου γιὰ τὸν καθαρισμό σου»[91] καὶ ἀμέσως μετά, «γιὰ μαρτυρία σ' αὐτούς, καὶ διηγήσου ὅσα σοῦ ἔκανε ὁ Θεός»;

91. Ματθ. 8,4. Λουκᾶ 17,14.

Εἰσὶν οὖν τὰ λαλούμενα ὑπὸ τοῦ ἀββᾶ εἰς ὠφέλειαν μὲν τῶν μετὰ φόβου ἀκουόντων, εἰς κατάκρισιν δὲ τῶν μὴ μετὰ πίστεως δεχομένων· καὶ ἀκμὴν οὐ δύναται διακριθῆναι ταῦτα παρὰ σοῦ, ὅτι ἀκμὴν μεταβάλλεταί σου ἡ καρδία· φησὶ γὰρ ὁ Ἀπόστολος, «Χριστοῦ εὐωδία ἐσμὲν τῷ Θεῷ ἐν τοῖς σωζομένοις καὶ ἀπολλυμένοις· οἷς μὲν ὀσμὴ θανάτου εἰς θάνατον, οἷς δὲ ὀσμὴ ζωῆς εἰς ζωήν». Καὶ πρὸς ταῦτα τίς ἱκανός; Οὐ γάρ ἐσμεν ὡς οἱ πολλοὶ καπηλεύοντες τὸν λόγον τοῦ Θεοῦ.

Εἰ οὖν διστάζεις εἰς τὸν Γέροντα, πῶς ἐπετίμησέ σοι λαλήσαντι καὶ τῷ ἀββᾶ οὐκ ἐπετίμησεν, οὐκ ὀφείλεις διακριθῆναι, ὅτι, τίποτέ ἐστιν ἐν τῷ μέσῳ, καὶ ταπεινοῦσθαι τῇ καρδίᾳ, λέγων, ὅτι 'ἐμοὶ μὲν ὡς ἀναξίῳ ἐπετίμησεν ὁ γέρων, τούτῳ δὲ ὡς ἀξίῳ συνεχώρησεν εἰπεῖν διὰ τὴν ὠφέλειαν τῶν ἀκουόντων. Νοήσωμεν δὲ πῶς πανταχόθεν φέρει ἡμᾶς ὁ Γέρων εἰς ταπείνωσιν τοῦ μέμψασθαι ἑαυτοὺς καὶ ἔχειν ἑαυτοὺς ἀναξίους, καὶ ἡμεῖς οὐ θέλομεν βαλεῖν κάτω τὸν αὐχένα. Ἔλθωμεν οὖν εἰς ταπείνωσιν καὶ ὁ Θεὸς ἀποκαλύπτει ἡμῖν τὰ μυστήρια αὐτοῦ, ἵνα ὅπου δεῖ λαλῶμεν, καὶ ὅπου οὐ δεῖ ἀεὶ σιωπῶμεν, ὅπως γίνωνται τὰ ἀμφότερα εἰς ὠφέλειαν ἡμῶν τε καὶ τῶν ἀκουόντων.

Μὴ οὖν κρίνωμεν ἢ ἐξουθενήσωμεν τοὺς ἀκούοντας, ἵνα μὴ κατακριθῶμεν ἀντὶ τοῦ οἰκοδομηθῆναι ἡμᾶς. Ἐὰν γὰρ ἐρωτήσωμεν τὸν λογισμὸν ἡμῶν λέγοντες, 'οἴδαμεν πῶς λαλεῖ ὁ λαλῶν εἰ ὑπὸ τοῦ Πνεύματος ἐνεργεῖται;' εὑρίσκομεν ὅτι οὐ πάντως οἴδαμεν. Ὥστε οὖν λογιζώμεθα τὰ καλὰ καὶ μὴ τὰ κακά· ὁ γὰρ κακὸς κακὰ λογίζεται, ὁ δὲ καλὸς καλά, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Αὐτὰ λοιπὸν ποὺ λέγονται ἀπὸ τὸν ἀββᾶ εἶναι πρὸς ὠφέλεια ὅσων ἀκοῦν μὲ φόβο, καὶ πρὸς κατάκριση ἐκείνων ποὺ δὲν τὰ δέχονται μὲ πίστη· σὺ ὅμως δὲν μπορεῖς ἀκόμη νὰ τὰ διακρίνεις, διότι ἀκόμα μεταβάλλεται ἡ καρδιά σου· διότι ὁ Ἀπόστολος λέγει· «εἴμαστε γιὰ τὸν Θεὸ εὐωδία Χριστοῦ ἀνάμεσα σ' ἐκείνους ποὺ σώζονται καὶ σ' ἐκείνους ποὺ χάνονται· γιὰ τοὺς δεύτερους ὀσμὴ θανάτου γιὰ θάνατο, ἐνῶ γιὰ τοὺς πρώτους ὀσμὴ ζωῆς γιὰ ζωή»[92]. Ποιός λοιπὸν εἶναι ἱκανὸς γι' αὐτά; διότι δὲν εἴμαστε ὅπως οἱ πολλοὶ ποὺ καπηλεύονται τὸν λόγο τοῦ Θεοῦ.

Ἂν λοιπὸν ἀπορεῖς γιὰ τὸν Γέροντα, πῶς ἐπιτίμησε ἐσένα ποὺ μίλησες καὶ δὲν ἐπιτίμησε καὶ τὸν ἀββᾶ, δὲν πρέπει ν' ἀμφιβάλλεις καὶ νὰ λές, 'ποιά ἡ διαφορὰ ἀνάμεσα στοὺς δύο', ἀλλὰ νὰ ταπεινωθεῖς στὴν καρδιά, λέγοντας· 'ὁ γέροντας ἐπετίμησε ἐμένα σὰν ἀνάξιο, ἐνῶ αὐτὸν σὰν ἄξιο τὸν ἐπέτρεψε νὰ μιλήσει πρὸς ὠφέλεια αὐτῶν ποὺ ἀκούουν. Ἂς σκεφθοῦμε πῶς ὁ Γέροντας μᾶς ὁδηγεῖ ἀπὸ παντοῦ σὲ ταπείνωση, ὥστε νὰ κατακρίνομε τοὺς ἑαυτούς μας καὶ νὰ τοὺς θεωροῦμε ἀνάξιους, ἀλλὰ ἐμεῖς δὲν θέλομε νὰ βάλομε κάτω τὸν αὐχένα. Ἂς ἔρθομε λοιπὸν σὲ ταπείνωση, καὶ ὁ Θεὸς θὰ μᾶς ἀποκαλύψει τὰ μυστήριά του, γιὰ νὰ μιλοῦμε ἐκεῖ ποὺ πρέπει· καὶ ὅπου δὲν πρέπει, νὰ σιωποῦμε πάντοτε, γιὰ νὰ γίνονται καὶ τὰ δύο πρὸς ὠφέλεια δική μας καὶ ἐκείνων ποὺ ἀκούουν.

Ἂς μὴ κρίνομε λοιπὸν καὶ νὰ μὴ ἐξουθενώνομε ἐκείνους ποὺ ἀκοῦν, γιὰ νὰ μὴ κατακριθοῦμε ἀντὶ νὰ οἰκοδομηθοῦμε. Διότι, ἂν ἐρωτήσομε τὸν λογισμό μας λέγοντας, 'γνωρίζομε πῶς μιλᾶ αὐτὸς ποὺ μιλᾶ καὶ ἂν βρίσκεται κάτω ἀπὸ τὴν ἐπενέργεια τοῦ Πνεύματος;' βρίσκομε ὅτι ὁπωσδήποτε δὲν γνωρίζομε. Ὥστε λοιπὸν νὰ σκεπτόμαστε τὰ καλὰ καὶ ὄχι τὰ κακὰ (διότι ὁ κακὸς σκέφτεται κακά, ἐνῶ ὁ καλὸς καλά), μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

---

92. Β΄ Κορ. 2,15–16.

ΧΜΕ'

Ἐρώτησις

Ἄλλος φιλόχριστος, ἔχων πάθος ἐν τῷ σώματι αὐτοῦ, ἔπεμψεν αἰτῶν τὸν αὐτὸν γέροντα Ἰωάννην εὔξασθαι ὑπὲρ αὐτοῦ ἵνα τύχῃ ἰάσεως. Καὶ ὁ γέρων εἶπε, 'θεραπεύει σε ὁ Κύριος διὰ τάχους', ὁ δὲ ἐβράδυνε θεραπευθῆναι. Ἔχων δὲ πίστιν εἰς τὸν γέροντα, ἐθαύμασε λέγων, 'ἆρα τί ἐστι τὸ πρᾶγμα; ὅτι ὁ γέρων οὐ ψεύδεται· ὁ Θεὸς γὰρ ἐν αὐτῷ λαλεῖ, κἀγὼ οὐκ ἐθεραπεύθην;' Καὶ ἐλθὼν ἠρώτησε περὶ τούτου τὸν μέγαν Γέροντα.

Ἀπόκρισις

Εἰ πιστεύομεν, ὅτι οὐ ψεύδεται ὁ Θεός, καὶ ὅτι πάντα δυνατὰ τῷ πιστεύοντι, πῶς οὐκ ἐπέτυχες τοῦ ποθουμένου; μὴ ἆρα λεληθότως ἀπιστία πολιτεύεται παρὰ σοί; Ἐγὼ πιστεύω μετὰ ἀληθείας, ὅτι εἴ τι ἐλάλησέ σοι ὁ Θεὸς διὰ τοῦ ἀδελφοῦ Ἰωάννου, γίνεταί σοι. Παρακαλῶ δὲ τὴν φιλόχριστόν σου ἀγάπην μηκέτι παρασύρῃς με εἰς τὴν ἱπποδρομίαν, ἐγήρασα γάρ. Ταῦτα δὲ λέγω σοι, σημαίνων ἣν εἶπες ἔχειν μεθ' ἡμῶν σου ὁμοψυχίαν· οὐδεὶς γὰρ τὴν ἑαυτοῦ ψυχὴν μερίζει εἰς δύο, τοῦ ἀφεῖναι τὸ ἓν μέρος εἰς μίαν, τὸ δὲ ἄλλο εἰς ἄλλην ἐργασίαν. Πλὴν μάθε, ὅτι οὐ παύομαι δεόμενος τοῦ Θεοῦ, ἕως οὗ συνεισενέγκῃ σε μετ' ἐμοῦ εἰς τὰς θύρας αὐτοῦ ἐν ἐξομολογήσει καὶ εἰς τὰς αὐλὰς αὐτοῦ ἐν ὕμνοις.

Ἀκούσας δὲ ταῦτα ἐθαύμασε, πῶς ὁ Γέρων ἐφανέρωσεν αὐτῷ τὰ περὶ τῆς ἱπποδρομίας, καὶ ἐδόξασε τὸν Θεόν, καὶ τοῦ λοιποῦ ἀπείχετο τῆς τοιαύτης πονηρᾶς θέας.

ΧΜS'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.*

Φίλον ἔσχον ἀγαπητὸν ὁμόψυχον ἐπὶ ξένης διάγοντα, καὶ

645

Ἐρώτηση

Ἄλλος φιλόχριστος, ποὺ εἶχε πάθος στὸ σῶμα του, ἔστειλε νὰ παρακαλέσει τὸν ἴδιο γέροντα Ἰωάννη νὰ προσευχηθεῖ γι' αὐτὸν γιὰ νὰ βρεῖ γιατρειά. Καὶ ὁ γέροντας εἶπε· 'ὁ Κύριος θὰ σὲ θεραπεύσει γρήγορα'. Αὐτὸς ὅμως ἄργησε νὰ θεραπευθεῖ. Ἔχοντας ἐμπιστοσύνη στὸν γέροντα, ἀπόρησε καὶ εἶπε· 'ἄραγε τί σημαίνει αὐτό; διότι ὁ γέροντας δὲν ψεύδεται, ἀφοῦ ὁ Θεὸς τοῦ μιλᾶ, ἐγὼ ὅμως δὲν θεραπεύτηκα;' Ἦρθε λοιπὸν καὶ ἐρώτησε γι' αὐτὸν τὸν μεγάλο Γέροντα.

Ἀπόκριση Βαρσανουφίου.

Αν πιστεύομε, ὅτι ὁ Θεὸς δὲν ψεύδεται, καὶ ὅτι ὅλα εἶναι δυνατὰ σ' αὐτὸν ποὺ πιστεύει, πῶς δὲν πέτυχες αὐτὸ ποὺ ποθεῖς; Μήπως ἄραγε ὑπάρχει μέσα σου κάποια ἀνεκδήλωτη ἀπιστία; Ἐγὼ πιστεύω εἰλικρινά, ὅτι, ὅ,τι σοῦ εἶπε ὁ Θεὸς μὲ τὸν ἀδελφὸ Ἰωάννη, θὰ σοῦ γίνει. Παρακαλῶ ὅμως τὴν φιλόχριστη ἀγάπη σου, νὰ μὴ μὲ παρασύρεις πιὰ στὴν ἱπποδρομία, διότι γέρασα. Αὐτὰ σοῦ λέγω ὑπενθυμίζοντάς σου τὴν ὁμοψυχία ποὺ εἶπες ὅτι ἔχεις μαζὶ μὲ μᾶς· διότι κανένας δὲν χωρίζει τὴν ψυχή του στὰ δύο, ὥστε ν' ἀφήσει τὸ ἕνα μέρος σὲ μία ἐργασία, καὶ τὸ ἄλλο σὲ ἄλλη. Μάθε λοιπὸν ὅτι δὲν παύω νὰ προσεύχομαι στὸν Θεό, ὡς ποὺ νὰ σὲ ὁδηγήσει μαζὶ μὲ μένα στὶς θύρες του μὲ ἐξομολόγηση καὶ στὶς αὐλές του μὲ ὕμνους.

Ὅταν ἄκουσε αὐτά, θαύμασε, πῶς ὁ Γέροντας τοῦ φανέρωσε τὰ σχετικὰ μὲ τὴν ἱπποδρομία, καὶ δόξασε τὸν Θεό, καὶ στὸ ἑξῆς ἀπεῖχε ἀπὸ αὐτὴν τὴν πονηρὴ θέα.

646

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Εἶχα ἕνα ἀγαπητὸ ὁμόψυχο φίλο ποὺ ζοῦσε σὲ ξένη

οὕτως ἀνήχθημεν ὡς ἀδελφοὶ ἔχοντες ὅλα ἐπίκοινα. Νῦν δὲ ἔφθασα λαβεῖν μοι βίον καὶ πάλιν ἐμείναμεν οὕτως, καὶ πολεμεῖ με ὁ λογισμὸς λέγων, 'μήποτε ὁ γάμος ἐποίησε δισταγμὸν ἐν τῇ καρδίᾳ αὐτοῦ πρός με, καὶ οὐ τὴν αὐτὴν σώζει διάθεσιν'.

***Ἀπόκρισις** Βαρσανουφίου.*

Ἐὰν θέλῃς μαθεῖν τί ἔχει ἡ καρδία αὐτοῦ, τούτῳ τῷ τρόπῳ μάθε· Ψηλάφησον τὴν καρδίαν σου μεθ' ὃ ἔλαβες τὸν βίον εἰ σώζεις τὴν αὐτὴν διάθεσιν πρὸς αὐτόν, καὶ ἐὰν εὕρῃς ὅτι οὐ σώζεις σύ, οὐδ' αὐτός· ἐὰν δὲ ἔμεινεν ἡ διάθεσίς σου, μάθε ὅτι κατὰ τὴν καρδίαν σου εὑρίσκεις πάντοτε, τοῦ Θεοῦ εὐοδοῦντος.

ΧΜΖ'

***Αἴτησις** πρὸς τὸν αὐτόν.*

Ἄλλος φιλόχριστος ἔπεμψεν αἰτῶν τὸν αὐτὸν μέγαν Γέροντα ὑπὲρ αὐτοῦ, ἵνα ὁ Κύριος μνησθείη αὐτοῦ ἐν τῇ βασιλείᾳ αὐτοῦ.

Ἀπόκρισις

Ἰδοὺ ὁ Κύριος Ἰησοῦς Χριστὸς οὐ κατῄσχυνέ μου τὸ πρόσωπον, ἀλλ' ἐχαρίσατό μοι τὴν σωτηρίαν τῆς ψυχῆς σου, καὶ δέδωκέ μοι τὴν χάριν τοῦ μνησθῆναί σου ἐν τῇ βασιλείᾳ αὐτοῦ. Λαβόντες οὖν τὴν τοιαύτην χάριν, ὡς εὐγνώμονες φυλάξωμεν, καὶ μὴ γενώμεθα ὡς οἱ χοῖροι, μὴ δυνάμενοι διακρῖναι τοὺς ἐντίμους μαργαρίτας. Οἶδας δὲ ὅτι, εἴ τις τιμᾶται ὑπό τινος, οὐκ ὀφείλει αὐτὸν ἀτιμάσαι· τιμηθέντες οὖν ὑπὸ τοῦ Θεοῦ μὴ ὄντες ἄξιοι, ἀξίους ἡμᾶς αὐτοὺς ποιήσωμεν·

χώρα, καὶ προχωρούσαμε ἔτσι στὴ ζωή, ἔχοντας σὰν ἀδελφοὶ ὅλα τὰ πράγματα κοινά. Τώρα ἔφθασα νὰ πάρω σύντροφο, ἀλλὰ καὶ πάλι μείναμε ἔτσι· ὅμως μὲ πολεμᾶ ὁ λογισμὸς λέγοντας· 'μήπως ὁ γάμος προξένησε στὴν καρδιά του δισταγμὸ γιὰ μένα, καὶ δὲν ἔχει τὴν ἴδια διάθεση'.

Ἀπόκριση Βαρσανουφίου.

Ἂν θέλεις νὰ μάθεις τί ἔχει ἡ καρδιά του, μάθε το μ' αὐτὸν τὸν τρόπο. Ἐξέτασε τὴν καρδιά σου ἀπὸ τότε ποὺ πῆρες σύντροφο, ἂν ἔχεις τὴν ἴδια διάθεση πρὸς αὐτόν, καὶ ἂν βρεῖς ὅτι δὲν ἔχεις, τότε οὔτε αὐτὸς ἔχει· ἂν ὅμως ἔμεινε ἡ διάθεσή σου ἴδια, μάθε ὅτι ἀνάλογα μὲ τὴν καρδιά σου βρίσκεις πάντοτε νὰ ἔχει τὴν ἴδια διάθεση καὶ ἐκεῖνος, μὲ τὴ βοήθεια τοῦ Θεοῦ.

647

Αἴτηση πρὸς τὸν ἴδιο.

Ἄλλος φιλόχριστος ἔστειλε νὰ παρακαλέσει τὸν ἴδιο μεγάλο Γέροντα ὑπὲρ αὐτοῦ, γιὰ νὰ τὸν θυμηθεῖ ὁ Κύριος στὴ βασιλεία του.

Ἀπόκριση

Νά, ὁ Κύριος Ἰησοῦς Χριστὸς δὲν μοῦ κατατρόπιασε τὸ πρόσωπο, ἀλλὰ μοῦ χάρισε τὴ σωτηρία τῆς ψυχῆς σου, καὶ μοῦ ἔχει δώσει τὴ χάρη νὰ σὲ θυμηθεῖ στὴ βασιλεία του. Ἀφοῦ πήραμε λοιπὸν αὐτὴ τὴ χάρη, νὰ τὴ φυλάξομε σὰν εὐγνώμονες, καὶ νὰ μὴ γίνομε ὅπως οἱ χοῖροι, χωρὶς νὰ μποροῦμε νὰ διακρίνομε τὰ πολύτιμα μαργαριτάρια. Γνωρίζεις ὅτι, ἂν κανεὶς τιμᾶται ἀπὸ κάποιον, δὲν πρέπει νὰ τὸν ἀτιμάσει. Ἀφοῦ λοιπὸν τιμηθήκαμε ἀπὸ τὸν Θεὸ χωρὶς νὰ εἴμαστε ἄξιοι,

τιμήσωμεν αὐτὸν διὰ τῆς τῶν ἁγίων αὐτοῦ ἐντολῶν τηρήσεως· αὐτὸς γὰρ εἶπε· «εἰ Πατήρ εἰμι ἐγώ, ποῦ ἐστί μου ἡ τιμή; καὶ εἰ Κύριός εἰμι, ποῦ ἐστιν ἡ δόξα μου;». Αὐτὸς δὲ ὁ Παντοκράτωρ Θεὸς συνεργήσαι σοι, τέκνον, ἀκοῦσαι καὶ φυλάξαι τὰ συμφέροντα.

ΧΜΗ'

Ἐρώτησις

Κῆπον διαφέροντα τοῖς ἀνεψιοῖς μου πόρρω διάγουσιν ἔλαβον τινὲς εἰς λόγον εὐκτηρίου τόπου καὶ ἐπέτρεψάν με ποιῆσαι μετὰ τῶν λαβόντων τὴν τιμὴν τοῦ κήπου καὶ συνέχομαι ὑπὸ δύο λογισμῶν· καὶ ὁ μὲν εἷς λέγει μοι, ὅτι δεῖ προσχαρίσασθαι τῷ ἁγίῳ τόπῳ, ὁ δὲ ἄλλος λέγει μοι φυλάξαι πίστιν τοῖς ἐντειλαμένοις μοι ποιῆσαι τὴν διατίμησιν, καὶ ποῦ κλῖναι οὐκ οἶδα· καὶ γὰρ καὶ τὸν Θεὸν φοβοῦμαι, καὶ βλάψαι ἐκείνους ἁμαρτίαν ἡγοῦμαι. Τί οὖν ποιήσω, πάτερ;

Ἀπόκρισις

Τὴν δικαίαν τοῦ κήπου δήλωσον αὐτοῖς τιμήν, παρακαλῶν αὐτοὺς καὶ λέγων· 'Οἴδατε, ὅτι πάντες χρεωστοῦμεν τοῖς δεσπόταις ἡμῶν τοῖς ἁγίοις· εἴ τι οὖν πληροφορεῖ ὑμᾶς ὁ Κύριος προσενεγκεῖν αὐτοῖς ἐκ τῆς τιμῆς, εὑρίσκεται ἔμπροσθεν ὑμῶν'. Ταῦτα οὖν γράψον, καὶ ἐν αὐτοῖς ἐστι ποιῆσαι ἢ μὴ ποιῆσαι, καὶ σὺ οὐχ εὑρίσκῃ μέμψιν ἔχων ἐκ τοῦ πράγματος· βάρος μὲν γὰρ ἢ ἁμαρτία οὐκ ἔστι τὸ ἀπαιτῆσαι τὸ δίκαιον, κἂν ᾖ οἶκος Κυρίου. Τὸ δὲ συμφέρον ἐστὶ τὸ τὸν ἔχοντα ἐξουσίαν καὶ κύριον ὄντα τοῦ πράγματος καὶ μὴ ὄντα ἐν ἀπορίᾳ,

ἂς κάνομε τοὺς ἑαυτούς μας ἄξιους καὶ ἂς τιμήσομε αὐτὸν μὲ τὴν τήρηση τῶν ἁγίων ἐντολῶν του· διότι αὐτὸς εἶπε «ἂν εἶμαι Πατέρας ἐγώ, ποῦ εἶναι ἡ τιμή μου; καὶ ἂν εἶμαι Κύριος, ποὺ εἶναι ἡ δόξα μου;»[93]. Αὐτὸς ὁ παντοκράτορας Θεὸς εἴθε νὰ σὲ βοηθήσει, ὥστε ν' ἀκούσεις καὶ φυλάξεις τὰ συμφέροντα.

648

Ἐρώτηση

Κάποιοι πῆραν ἕναν κῆπο ποὺ ἀνήκει στοὺς ἀνεψιούς μου μὲ σκοπὸ νὰ οἰκοδομήσουν εὐκτήριο οἶκο, καὶ οἱ ἀνεψιοί μου μοῦ ἀνέθεσαν νὰ ὁρίσω μαζὶ μὲ τοὺς ἐνδιαφερομένους τὴν τιμὴ τοῦ κήπου, καὶ συνέχομαι ἀπὸ δύο λογισμούς· ὁ ἕνας μοῦ λέγει, ὅτι πρέπει νὰ χαρισθῶ στὸν ἅγιο τόπο, ἐνῶ ὁ ἄλλος μοῦ λέγει νὰ φυλάξω τὴν ἐμπιστοσύνη ἐκείνων ποὺ μοῦ ἔδωσαν ἐντολὴ νὰ κάνω τὴ διατίμηση. Δὲν ξέρω λοιπὸν ποῦ νὰ κλίνω, διότι καὶ τὸν Θεὸ φοβᾶμαι καὶ θεωρῶ ἁμαρτία νὰ βλάψω ἐκείνους. Τί νὰ κάνω λοιπόν, πάτερ;

Ἀπόκριση

Δήλωσε στοὺς ἀνεψιοὺς τὴν δίκαια τιμὴ τοῦ κήπου παρακαλώντας αὐτοὺς καὶ λέγοντας· 'Γνωρίζετε, ὅτι ὅλοι χρωστᾶμε στοὺς ἁγίους δεσπότες μας· ἂν λοιπὸν σᾶς πληροφορεῖ ὁ Κύριος νὰ ἐκπέσετε σ' αὐτοὺς ἀπὸ τὴν τιμή, εἶναι στὴ θέλησή σας'. Αὐτὰ λοιπὸν γράψε ἐσὺ καὶ σ' αὐτοὺς ἀπομένει νὰ κάνουν ἢ νὰ μὴ κάνουν ἔκπτωση· ἔτσι σὺ δὲν βρίσκεσαι νὰ ἔχεις κατάκριση ἀπὸ τὴν ὑπόθεση· διότι βάρος ἢ ἁμαρτία δὲν εἶναι νὰ ἀπαιτήσεις τὸ δίκαιο, κι ἂν ἀκόμη εἶναι οἶκος Κυρίου. Τὸ συμφέρον ἐκείνου, ποὺ ἔχει τὴν ἐξουσία καὶ εἶναι κύριος τοῦ πράγματος καὶ δὲν εἶναι φτωχός, εἶναι μᾶλλον

93. Μαλαχ. 1,6.

μᾶλλον συγχωρῆσαι τὸ κατὰ δύναμιν τῷ οἴκῳ τοῦ Θεοῦ· πολλαπλασίονα γὰρ ἀντὶ τούτου καρποῦται. Ἐὰν δὲ ᾖ ἀδύνατος συγχωρῆσαι, τὸν τοιοῦτον οὐκ ἀπαιτεῖ ὁ Θεός, εἰμὴ μόνον τὴν ἀγαθὴν προαίρεσιν'.

Καὶ ταῦτα ἀκούσας ἀπῆλθε χαίρων καὶ δοξάζων τὸν Θεόν.

ΧΜΘ'

Ἐρώτησις

Ἐπειδὴ οἰκέτας θέλω ἀγοράζειν καὶ ἀμφιβάλλω, εἰ μέλλουσί μοι χρησιμεύειν, εἰπέ μοι εἰ ὀφείλω λαβεῖν αὐτούς, καὶ τί ποιήσω;

Ἀπόκρισις

Μ*άθωμεν ὅτι καὶ ἡμεῖς Δεσπότην ἔχομεν, ἐὰν ὑποταγῶμεν καὶ ἡμεῖς τῷ Δεσπότῃ ἡμῶν, αὐτὸς ποιεῖ ἵνα καὶ ἡμῖν ὑποτάσσωνται οἱ δοῦλοι ἡμῶν. Ἰδοὺ ἤκουσας· ὕπαγε λάβε αὐτοὺς ἐν ὀνόματι Κυρίου.*

ΧΝ'

Ἐρώτησις

Ἐὰν ὁ νόμος τοῦ Θεοῦ κελεύῃ τί ποτε, καὶ ὁ νόμος τοῦ κόσμου ὁρίζῃ τὸ ἐναντίον, τί δεῖ ποιῆσαι; Λέγει γάρ μοι ὁ λογισμὸς τὰ ἐν τοῖς νόμοις τοῦ κόσμου ἡ πολιτεία διοικεῖται, καὶ ἀδικεῖ ὁ παραβαίνων αὐτούς.

Ἀπόκρισις

Ὁ *τοῦ Θεοῦ νόμος τιμιώτερός ἐστι, περὶ γὰρ σωτηρίας ψυχικῆς λαλεῖ· ὁ δὲ τοῦ κόσμου νόμος σαρκικὸς ὤν, σαρκικοῖς διαλέγεται.*

νὰ προσφέρει τὸ κατὰ δύναμη στὸν οἶκο τοῦ Θεοῦ· διότι θὰ καρπωθεῖ πολλαπλάσια ἀντ' αὐτοῦ. Ἂν ὅμως δὲν μπορεῖ νὰ παραχωρήσει, ὁ Θεὸς δὲν ἀπαιτεῖ ἀπ' αὐτόν, παρὰ μόνο τὴν ἀγαθὴ προαίρεση.

Ἀφοῦ ἄκουσε αὐτὰ ἔφυγε γεμᾶτος χαρὰ καὶ δοξάζοντας τὸν Θεό.

649

Ἐρώτηση

Ἐπειδὴ θέλω ν' ἀγοράσω δούλους καὶ ἀμφιβάλλω ἂν πρόκειται νὰ μὲ χρησιμέψουν, πές μου, ἂν πρέπει νὰ τοὺς πάρω αὐτούς, καὶ τί νὰ κάνω.

Ἀπόκριση

Ἂς μάθομε ὅτι ἔχομε καὶ ἐμεῖς Δεσπότη· ἂν ὑποταγοῦμε καὶ ἐμεῖς στὸν Δεσπότη μας, αὐτὸς θὰ κάνει νὰ ὑποτάσσονται σὲ μᾶς οἱ δοῦλοι μας. Ἄκουσες λοιπόν· πήγαινε καὶ πάρε τους στὸ ὄνομα τοῦ Κυρίου.

650

Ἐρώτηση

Ἂν ὁ νόμος τοῦ Θεοῦ προστάζει κάτι, καὶ ὁ νόμος τοῦ κόσμου ὁρίζει τὸ ἀντίθετο, τί πρέπει νὰ κάνω; Διότι ὁ λογισμός μοῦ λέγει ὅτι ἡ πολιτεία διοικεῖται μὲ τοὺς νόμους τοῦ κόσμου, καὶ ἀδικεῖ ὅποιος τοὺς παραβαίνει.

Ἀπόκριση

Ὁ νόμος τοῦ Θεοῦ εἶναι τιμιώτερος, διότι μιλᾶ γιὰ ψυχικὴ σωτηρία, ἐνῶ ὁ νόμος τοῦ κόσμου, ἐπειδὴ εἶναι σαρκικός, μιλᾶ γιὰ σαρκικά.

ΧΝΑ'

Ἐρώτησις

Τί ἐστιν ὃ λέγει,

«Μὴ ἐλεήσῃς πτωχὸν ἐν κρίσει»;

Ἀπόκρισις

Τοῦτό ἐστιν ὃ λέγει, ἵνα, ὁ δικάζων ἐν πράγμασιν, ὀρθῶς κρίνῃ καὶ μή, προφάσει τοῦ ἐλεῆσαι τὸν πένητα, παρατιτρώσκῃ τὸ δίκαιον· τὸ δὲ παρακαλέσαι τὸν αὐτοῦ ἀντίδικον ποιῆσαι μετ' αὐτοῦ ἔλεος οὐκ ἔστιν ἄδικον.

ΧΝΒ'

Ἐρώτησις

Ἐάν τις τῶν ἁγίων πατέρων, εἰς ὃν ἔχω πολλὴν πληροφορίαν, λέγει μοι αὐθεντῆσαι ἐν πράγματι παρὰ τὸ φαινόμενόν μοι δίκαιον, τί ποιήσω διὰ τὴν παράβασιν τῆς εἰρημένης ἐντολῆς;

Ἀπόκρισις

Οἱ πνευματικοὶ πατέρες οὐδὲν ἀργῶς λέγουσιν, ἀλλὰ πάντα πρὸς σωτηρίαν ψυχῆς. Εἰπὲ οὖν αὐτῷ τὸ πρᾶγμα, καὶ ὡς λέγει σοι ποίησον, καὶ οὐ παραβαίνεις τὴν ἐντολήν· τὰ γὰρ ἀρέσκοντα τῷ Θεῷ, καὶ δίκαιά ἐστι καὶ συμφέροντα.

651

Ἐρώτηση

Τί σημαίνει αὐτὸ ποὺ λέγει, «μὴ ἐλεήσεις φτωχὸ κατὰ τὴν κρίση»[94];

Ἀπόκριση

Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ὅποιος δικάζει γιὰ πράγματα, νὰ κρίνει ὀρθὰ καὶ νὰ μὴ καταδικάζει τὸν δίκαιο μὲ τὴν πρόφαση νὰ ἐλεήσει τὸν φτωχό· δὲν εἶναι ὅμως ἄδικο νὰ παρακαλέσει τὸν ἀντίδικό του νὰ τοῦ δείξει ἔλεος.

652

Ἐρώτηση

Ἂν κάποιος ἀπὸ τοὺς ἅγιους πατέρες, στὸν ὁποίο ἔχω πολλὴ ἐμπιστοσύνη, μοῦ λέγει ν' ἀσκήσω τὴν ἐξουσία μου σ' ἕνα πρᾶγμα ἀντίθετα ἀπὸ αὐτὰ ποὺ μοῦ φαίνεται δίκαιο, τί νὰ κάνω γιὰ τὴν παράβαση τῆς λεχθείσας ἐντολῆς;

Ἀπόκριση

Οἱ πνευματικοὶ πατέρες δὲν λένε τίποτε στὰ χαμένα, ἀλλὰ πάντα πρὸς σωτηρία ψυχῆς· πὲς λοιπὸν σ' αὐτὸν τὸ πρᾶγμα, καὶ κάνε ὅπως σοῦ λέγει, καὶ δὲν παραβαίνεις τὴν ἐντολή· διότι αὐτὰ ποὺ ἀρέσουν στὸν Θεὸ εἶναι καὶ δίκαια καὶ συμφέροντα.

---

94. Ἐξ. 23,3.

ΧΝΓ'

Ἐρώτησις

Ἄλλος φιλόχριστος εἶχε δοῦλον ἀχρήσιμον, ὅς τις φυγών, μετά τινα χρόνον ἦλθε πάλιν πρὸς αὐτόν· καὶ ἠρώτησε τὸν γέροντα Ἰωάννην, εἰ ὀφείλει ἔχειν αὐτόν· καὶ τοῦ γέροντος δηλώσαντος ἀπολῦσαι αὐτόν, ἤρξατο ὁ παῖς δεικνύειν αὐτῷ καλὰ ἤθη, καὶ ἐθλίβετο ἀπολῦσαι αὐτόν· καὶ πάλιν ἔπεμψεν ἐρωτῶν περὶ αὐτοῦ, εἰ ἀπολύσῃ αὐτόν.

Ἀπόκρισις

Ἔχε τέως τὸν παῖδα γυμνάζων αὐτὸν καὶ σεαυτὸν δι' αὐτοῦ, καὶ εἰ μὲν διορθώσηται, ἰδοὺ καλῶς, εἰ δὲ μείνῃ ἐν τοῖς αὐτοῖς, καὶ βαστάζεις αὐτὸν διὰ τὸν Θεόν, καὶ τοῦτο καλῶς· λαμβάνεις γὰρ τὸν μισθὸν τῆς ὑπομονῆς. Ἐὰν δὲ ἴδῃς ὅτι οὐ βαστάζεις, ἀλλ' ἔρχῃ εἰς βλάβην δι' αὐτοῦ, ἀπόλυσον αὐτὸν ἀπελθεῖν, μιμνησκόμενός τινος τῶν ἁγίων λέγοντος· ''Ἐὰν ἴδῃς τινὰ καταποντιζόμενον εἰς τὸν ποταμόν, μὴ δῷς αὐτῷ τὴν χεῖρά σου, ἵνα μὴ συνελκύσῃ σε, ἀλλὰ δὸς αὐτῷ τὴν ῥάβδον σου, καὶ ἐὰν δυνηθῇς διὰ τῆς ῥάβδου σῶσαι αὐτόν, ἰδοὺ καλῶς· εἰ δὲ μή γε, ἀπόλυσον τὴν ῥάβδον, ἵνα μὴ καὶ σὺ συναπόλῃ'.

ΧΝΔ'

Ἐρώτησις

Μετ' ὀλίγας ἡμέρας ἔμελλε πειράζειν τὸν αὐτοῦ δεσπότην ἐν κλοπῇ πράματος καί, τοῦ Κυρίου ταῖς εὐχαῖς τῶν ἁγίων σκεπάσαντος, ἔφυγε, καὶ ἐλθὼν ὁ δεσπότης αὐτοῦ ηὐχαρίστει τῷ γέροντι ἐπὶ τῇ γενομένῃ σκέπῃ, μεμφόμενος

653

Ἐρώτηση

Ἄλλος φιλόχριστος εἶχε ἄχρηστο δοῦλο, ὁ ὁποῖος, ἀφοῦ ἔφυγε, μετὰ ἀπὸ καιρὸ ἦρθε πάλι σ' αὐτόν. Ἐρώτησε τότε τὸν γέροντα Ἰωάννη, ἂν ὀφείλει νὰ τὸν ἔχει. Ὅταν ὁ γέροντας τοῦ δήλωσε νὰ τὸν ἀπολύσει, ὁ δοῦλος ἄρχισε νὰ τοῦ δείχνει καλὴ συμπεριφορά, καὶ στενοχωριόταν νὰ τὸν ἀπολύσει. Ἔστειλε τότε πάλι νὰ τὸν ἐρωτήσει γι' αὐτόν, ἂν πρέπει νὰ τὸν ἀπολύσει.

Ἀπόκριση Ἰωάννου.

Κράτα πρὸς τὸ παρὸν τὸν δοῦλο, γυμνάζοντας αὐτὸν καὶ τὸν ἑαυτό σου δι' αὐτοῦ, καὶ ἂν διορθωθεῖ, καλῶς, ἂν ὅμως παραμείνει στὰ ἴδια καὶ τὸν κρατᾶς γιὰ τὸν Θεό, καὶ αὐτὸ καλῶς· διότι παίρνεις τὸν μισθὸ τῆς ὑπομονῆς. Ἐὰν ὅμως δεῖς ὅτι δὲν βαστάζεις, ἀλλ' ἔρχεσαι σὲ βλάβη δι' αὐτοῦ, πές του νὰ φύγει, ἐνθυμούμενος κάποιον ἀπὸ τοὺς ἁγίους ποὺ λέγει· 'ἐὰν δεῖς κάποιον νὰ καταποντίζεται στὸ ποτάμι, νὰ μὴ τοῦ δώσεις τὸ χέρι σου, γιὰ νὰ μὴ σὲ τραβήξει, ἀλλὰ δός του τὸ ραβδί σου· καὶ ἂν μπορέσεις νὰ τὸν σώσεις μὲ τὸ ραβδί σου, ἔχει καλῶς, διαφορετικὰ ἄφησε τὸ ραβδί, γιὰ νὰ μὴ χαθεῖς καὶ σὺ μαζὶ μ' αὐτόν'.

654

Ἐρώτηση

Μετὰ ἀπὸ λίγες ἡμέρες ὁ δοῦλος θέλησε νὰ πειράξει τὸν κύριό του μὲ τὴν κλοπὴ ἑνὸς πράγματος, ἀλλὰ τὸν προστάτεψε ὁ Κύριος μὲ τὶς προσευχὲς τῶν ἁγίων, καὶ ἔφυγε. Πῆγε τότε ὁ κύριός του καὶ εὐχαριστοῦσε τὸν γέροντα γιὰ τὴν προστασία ποὺ τοῦ ἔγινε, κατηγορώντας τὸν ἑαυτό του,

ἑαυτόν, ὅτι ὅλως μετὰ τὴν πρώτην ἀπόκρισιν ἀνέμενεν αὐτὸν ἀπολῦσαι.

Ἀπόκρισις

Οὐχ ὡς ἀπορρίπτων αὐτὸν εἶπόν σοι ἀπολῦσαι, ἀλλὰ διὰ τὴν ἀσθένειαν τοῦ λογισμοῦ σου, ὅτι οὐκ ἐβάστασας πειρασθῆναι ὑπ' αὐτοῦ· καὶ ἡμεῖς γὰρ ἁμαρτωλοί ἐσμεν καὶ οὐκ ἔστιν ἡμῶν ἀποβαλεῖν τινα· εἰ γὰρ ἐδύνατο βαστάσαι αὐτὸν ῥᾳθυμοῦντα, μισθὸν ἔμελλες ἔχειν δι' αὐτόν. Καὶ γάρ τινες τῶν πατέρων ἐλάλουν ἐπὶ τοῦ ἀββᾶ Ποιμένος, περί τινος γέροντος, ὅτι ἐβάσταζε τὸν μαθητὴν αὐτοῦ ῥᾳθυμοῦντα. Καὶ εἶπεν ὁ ἀββᾶς Ποιμήν· 'ἐγώ, εἰ ἤμην, προσκεφαλάδιον ἐτίθουν ὑποκάτω τῆς κεφαλῆς αὐτοῦ'. Καὶ εἶπον αὐτῷ ἐκεῖνοι· 'καὶ τῷ Θεῷ τί εἶχες εἰπεῖν;' Ὁ δέ φησίν· 'ἔλεγον τῷ Θεῷ, ὅτι σὺ αὐτὸς εἶπας, «ὑποκριτά, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου»'.

ΧΝΕ'

Ἐρώτησις

Καλῶς οὖν ἐποίει ὁ γέρων μὴ διορθούμενος τὸν ἀδελφὸν αὐτοῦ;

Ἀπόκρισις

Ἀδελφέ, οὐχ ὡς ἔτυχεν ἀφῆκεν ὁ γέρων μὴ νουθετῶν αὐτόν, ἀλλὰ πολλάκις μὲν αὐτὸν ἐνουθέτησεν, ἐκεῖνος δὲ οὐκ ἐδέχετο τὴν νουθεσίαν καί, βλέπων αὐτὸν ἀδιόρθωτον, ἀφῆκε τὸ πρᾶγμα εἰς τὸ κρῖμα τοῦ Θεοῦ λέγων· 'ὁ Θεὸς οἶδε τὸ συμφέρον· ὁ ἀδελφὸς γὰρ ἐμοῦ καλλιώτερός ἐστι'. Τοῦτο δὲ ἐποίουν οἱ τέλειοι, οἱ μὴ τολμῶντες κρῖναί τινα πρὸς αἰσχύνην τῶν μηδὲν ὄντων καὶ πάντας κρινόντων.

---

95. Ματθ. 7,5.

διότι ὁπωσδήποτε μετὰ τὴν πρώτη ἀπάντηση περίμενε νὰ τὸν ἀπολύσει. Καὶ ὁ γέροντας τοῦ εἶπε αὐτά.

Ἀπόκριση

Δὲν σοῦ εἶπα νὰ τὸν ἀπολύσεις ἐπειδὴ τὸν ἀπορρίπτω, ἀλλ' ἐξαιτίας τῆς ἀσθένειας τοῦ λογισμοῦ σου, διότι δὲν βάσταξες νὰ πειραχθεῖς ἀπὸ αὐτόν· διότι καὶ ἐμεῖς εἴμαστε ἁμαρτωλοί, καὶ δὲν εἶναι δυνατὸ νὰ διώξομε κάποιον. Ἂν βέβαια μποροῦσες νὰ τὸν κρατήσεις ἐνῶ εἶναι ράθυμος, ἐπρόκειτο νὰ ἔχεις μισθὸ γι' αὐτόν. Διότι καὶ μερικοὶ ἀπὸ τοὺς πατέρες ἔλεγαν στὸν ἀββᾶ Ποιμένα γιὰ κάποιον γέροντα, ὅτι κρατοῦσε τὸν μαθητή του ἐνῶ ἦταν ράθυμος. Καὶ ὁ ἀββᾶς Ποιμὴν εἶπε· 'ἂν ἤμουν ἐγώ, θὰ ἔβαζα προσκεφάλι κάτω ἀπὸ τὸ κεφάλι του'. Ἐκεῖνοι τότε τοῦ εἶπαν· 'καὶ τί θὰ ἔλεγες στὸν Θεό;' Αὐτὸς τότε εἶπε· 'θὰ ἔλεγα στὸν Θεὸ ὅτι, ἐσὺ ὁ ἴδιος εἶπες, «ὑποκριτή, βγάλε πρῶτα τὸ δοκάρι ἀπὸ τὸ μάτι σου, καὶ τότε θὰ δεῖς γιὰ νὰ βγάλεις τὸ καρφὶ ἀπὸ τὸ μάτι τοῦ ἀδελφοῦ σου»'[95].

655

Ἐρώτηση

Καλὰ λοιπὸν ἔκανε ὁ γέροντας ποὺ δὲν διόρθωσε τὸν ἀδελφό του;

Ἀπόκριση

Ἀδελφέ, ὁ γέροντας δὲν τὸν ἄφησε τυχαῖα χωρὶς νὰ τὸν συμβουλεύει, ἀλλὰ πολλὲς φορὲς τὸν συμβούλεψε, καὶ ἐκεῖνος δὲν δεχόταν τὴν συμβουλή. Ἐπειδὴ λοιπὸν τὸν ἔβλεπε ἀδιόρθωτο, ἄφησε τὸ πρᾶγμα στὸ κρίμα τοῦ Θεοῦ λέγοντας· 'ὁ Θεὸς γνωρίζει τὸ συμφέρον· διότι ὁ ἀδελφὸς εἶναι καλύτερος ἀπὸ μένα'. Αὐτὸ ἔκαμναν οἱ τέλειοι, οἱ ὁποῖοι δὲν τολμοῦσαν νὰ κρίνουν κάποιον, πρὸς καταισχύνη ἐκείνων πού, ἐνῶ δὲν εἶναι τίποτε, κρίνουν ὅλους τοὺς ἀνθρώπους.

ΧΝΣΤ'

Ἐρώτησις

Ὅτε πταίει ὁ οἰκέτης μου καὶ θέλω αὐτὸν παιδεῦσαι, ποίῳ σκοπῷ τοῦτο ποιήσω;

Ἀπόκρισις

Τῷ σκοπῷ τῆς κατὰ Θεὸν ἀγάπης, ἵνα, τῇ παιδείᾳ διορθωθείς, παύσεται τοῦ ἁμαρτάνειν καὶ γίνεται αὐτῷ εἰς σωτηρίαν ψυχῆς· οὐ χρὴ δὲ μετὰ θυμοῦ τοῦτο ποιεῖν· ἀπὸ κακοῦ γὰρ ἀγαθὸν οὐ γεννᾶται· ἀλλ' ἐὰν ὁ λογισμός σου ταραχθῇ, ἀνάμεινον αὐτόν, ἕως οὗ ἀτάραχος γένηται, καὶ οὕτω μετ' εὐσπλαγχνίας ἐν φόβῳ Θεοῦ παίδευσον αὐτόν.

ΧΝΖ'

Ἐρώτησις

Ἀλλ' ὅτε θέλω παιδεῦσαι αὐτόν, λέγει μοι ὁ λογισμός, ὅτι χεῖρον ἁμαρτάνεις, καὶ πῶς αὐτὸν παιδεύσεις σαυτὸν μὴ διορθούμενος; καὶ ἀνακόπτει με τῆς παιδείας.

Ἀπόκρισις

Αὐτὸς ὁ λογισμὸς τοῦ διαβόλου ἐστίν, ἵνα ἐκεῖνος μείνῃ ἀδιόρθωτος καὶ σὺ παρέχῃς τὸν λόγον αὐτοῦ. Ἀλλ' εἰπὲ τῷ λογισμῷ· ‛Ὅτι μὲν μείζονα ἁμαρτάνω, φανερὸν καὶ ὁμολογούμενον, ἀλλ' οὐ δύναμαι λόγον δοῦναι καὶ ὑπὲρ ἐμαυτοῦ, καὶ ὑπὲρ τούτου· παρ' ἐμοῦ γὰρ ὁ Θεὸς ἀπαιτεῖ τὴν αὐτοῦ διόρθωσιν'. Καὶ μετὰ τὸ παιδεῦσαι αὐτὸν φειδομένως καὶ μετὰ φόβου Θεοῦ, εἰπὲ σεαυτῷ τὸν λόγον τοῦ Ἀποστόλου· «ὁ διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις;» καὶ οὕτως εὑρίσκῃ μετὰ ταπεινοφροσύνης διορθούμενος αὐτόν.

---

96. Ρωμ. 2,21.

656

Ἐρώτηση

Ὅταν ὁ ὑπηρέτης μου φταίει καὶ θέλω νὰ τὸν παιδεύσω, μὲ ποιό σκοπὸ θὰ τὸ κάνω αὐτό;

Ἀπόκριση

Μὲ τὸν σκοπὸ τῆς κατὰ Θεὸν ἀγάπης, γιὰ νὰ σταματήσει ν' ἁμαρτάνει, ἀφοῦ διορθωθεῖ μὲ τὴν παιδαγωγία, καὶ τοῦ ἀποβεῖ πρὸς σωτηρία τῆς ψυχῆς του. Καὶ δὲν πρέπει νὰ τὸ κάνεις αὐτὸ μὲ θυμό· διότι δὲν γεννιέται ἀγαθὸ ἀπὸ τὸ κακό· ἂν ὅμως ταραχθεῖ ὁ λογισμός σου, περίμενέ τον, ὥς ποὺ νὰ γίνει ἀτάραχος· καὶ τότε παίδευσέ τον μὲ εὐσπλαγχνία καὶ φόβο Θεοῦ.

657

Ἐρώτηση

Ἀλλὰ ὅταν θέλω νὰ τὸν παιδέψω, ὁ λογισμὸς μοῦ λέγει· 'Χειρότερα ἁμαρτάνεις· καὶ πῶς θὰ παιδεύσεις αὐτὸν ἂν δὲν διορθώσεις τὸν ἑαυτό σου;' Καὶ μὲ σταματᾶ ἀπὸ τὴν παιδαγωγία.

Ἀπόκριση

Αὐτὸς ὁ λογισμὸς εἶναι τοῦ διαβόλου, γιὰ νὰ μείνει ἐκεῖνος ἀδιόρθωτος καὶ νὰ δώσεις ἐσὺ λόγο γι' αὐτόν. Ἀλλὰ πὲς στὸν λογισμό· ' τὸ ὅτι βέβαια ἁμαρτάνω περισσότερο, εἶναι φανερὸ καὶ ὁμολογούμενο· ἀλλὰ δὲν μπορῶ νὰ δώσω λόγο καὶ γιὰ μένα καὶ γι' αὐτόν· διότι ὁ Θεὸς ἀπαιτεῖ ἀπὸ μένα τὴ διόρθωση αὐτοῦ'. Καὶ ἀφοῦ τὸν παιδέψεις μὲ λύπη καὶ μὲ φόβο Θεοῦ, πὲς στὸν ἑαυτό σου τὸν λόγο τοῦ Ἀποστόλου· «ἐσὺ ποὺ διδάσκεις ἄλλον, δὲν διδάσκεις τὸν ἑαυτό σου;»[96], καὶ ἔτσι θὰ βρεθεῖς νὰ τὸν διορθώνεις μὲ ταπεινοφροσύνη.

ΧΝΗ'

Ἐρώτησις

Ὅταν ἴδω τινὰ ὑβρίζοντα τὴν θρησκείαν καὶ βλασφημοῦντα τὴν ἁγίαν πίστιν, ὡς κατὰ ζῆλον ταράσσομαι πρὸς αὐτόν· τί ἐστι τοῦτο;

Ἀπόκρισις

Ηκουσας πάντως ὅτι οὐ γίνεται διόρθωσις διὰ κακοῦ, ἀλλὰ μᾶλλον διὰ τοῦ ἀγαθοῦ. Μετὰ πρᾳότητος οὖν καὶ μακροθυμίας λάλησον, νουθετῶν τὸν ὑβρίζοντα ἐν φόβῳ Θεοῦ· ἐὰν δὲ βλέπῃς σεαυτὸν ταρασσόμενον, οὐδὲν χρὴ εἰπεῖν.

ΧΝΘ'

Ἐρώτησις

Συμβαίνει ὅτι ἀπαντῶ τινι καὶ ἐμπαθῶς αὐτῷ προσέχω καὶ πλήττομαι τὴν ψυχήν· καὶ ἐὰν γένηται ἀνάγκη συντυχεῖν αὐτῷ, οὐ δύναμαι ἀντιβλέψαι εἰς αὐτόν, καὶ ἐκ τούτου ἐνίοτε δίδωμι αὐτῷ λογισμὸν ὡς ὑπερόπτης. Καὶ ἐπὶ τοσοῦτον συμβαίνει μοι τοῦτο, ὥστε καμμύειν τοὺς ὀφθαλμοὺς μὴ φέροντι τὴν θέαν, καὶ θλίβομαι μὴ εἰδὼς τί ποιήσω. Ἀλλ' εὖξαι ὑπὲρ ἐμοῦ, δέσποτα, καὶ πέμψον μοι λόγον ζωῆς καὶ φάρμακα τῆς φιλανθρωπίας σου.

Ἀπόκρισις

Επειδὴ ἠρώτησεν ἡ ἀγάπη σου περὶ τοῦ ἐμπαθῶς ἐπιβλέπειν τῷ παρόντι, καὶ ἔστι τοῦτο ὁμολογουμένως τῶν πολέμων τοῦ διαβόλου, γίνωσκε ὅτι καὶ τῷ νοΐ προσέχειν, ἐξ αὐτοῦ ἐστι. Μνημονεύειν οὖν ὀφείλεις τῆς διαφθο-

658

Ἐρώτηση

Ὅταν βλέπω κάποιον νὰ βρίζει τὴ θρησκεία καὶ νὰ βλασφημεῖ τὴν ἁγία πίστη, σὰν ἀπὸ ζῆλο ταράσσομαι πρὸς αὐτόν· τί σημαίνει αὐτό;

Ἀπόκριση

Ἄκουσες ὁπωσδήποτε ὅτι δὲν γίνεται διόρθωση μὲ τὸ κακό, ἀλλὰ μᾶλλον μὲ τὸ καλό. Μίλησε λοιπὸν μὲ πραότητα καὶ μακροθυμία, συμβουλεύοντας μὲ φόβο Θεοῦ αὐτὸν ποὺ βρίζει· ἂν ὅμως βλέπεις τὸν ἑαυτό σου νὰ ταράζεται, δὲν πρέπει νὰ πεῖς τίποτε.

659

Ἐρώτηση

Συμβαίνει ὅταν συναντῶ κάποιον νὰ τὸν κοιτάζω μὲ ἐμπάθεια, καὶ πλήττομαι στὴν ψυχή· καὶ ἂν παραστεῖ ἀνάγκη νὰ τὸν συναντήσω, δὲν μπορῶ νὰ τὸν κοιτάξω, καὶ γι' αὐτὸ μερικὲς φορὲς δίνω σ' αὐτὸν λογισμὸ σὰν ὑπερόπτης. Καὶ μοῦ συμβαίνει αὐτὸ τόσο, ὥστε νὰ κλείνω τὰ μάτια, ἐπειδὴ δὲν ὑποφέρω νὰ τὸν βλέπω. Θλίβομαι λοιπὸν καὶ δὲν ξέρω τί νὰ κάνω. Ἀλλὰ προσευχήσου γιὰ μένα, δέσποτα, καὶ στεῖλε μου λόγο ζωῆς καὶ φάρμακα τῆς φιλανθρωπίας σου.

Ἀπόκριση

Ἐπειδὴ ἡ ἀγάπη σου ἐρώτησε γιὰ τὸ ὅτι βλέπει τὸν ἄνθρωπο αὐτὸ μὲ ἐμπάθεια, καὶ αὐτὸ ὁμολογουμένως εἶναι ἀπὸ τοὺς πολέμους τοῦ διαβόλου, κατάλαβε ὅτι καὶ τὸ νὰ τὸν προσέχεις μὲ τὸν νοῦ προέρχεται ἀπὸ αὐτὸν τὸν ἴδιο.

ρᾶς καὶ τῆς δυσωδίας τῆς φύσεως ἡμῶν, πῶς εἰσερχόμενοι ἐν τοῖς τάφοις γινόμεθα. Τί δὲ περὶ τῶν φθαρτῶν ἐπάγω σοι λόγον καὶ οὐ κατανοεῖς μᾶλλον τὸ προθεῖναι πρὸ ὀφθαλμῶν τὴν μέλλουσαν φοβερὰν κρίσιν τοῦ Θεοῦ γίνεσθαι; Καὶ ποῦ εὑρίσκεται ἡ κληρονομία τῶν ταῦτα πραττόντων; Καὶ πῶς δύνασαι ὑπενεγκεῖν τὴν αἰσχύνην τὴν μεγάλην ἐκείνην τῆς τῶν πράξεων ἡμῶν φανερώσεως ἐπὶ ἀγγέλων καὶ ἀρχαγγέλων καὶ πάντων ἀνθρώπων, ἐπὶ τοῦ δικαίου Κριτοῦ; Καὶ πῶς φράττεται τὸ στόμα τῶν ἐργατῶν τῶν πράξεων τούτων;

Φοβηθῶμεν οὖν τὸν λέγοντα «μὴ πλανᾶσθε, ὅτι οὔτε πόρνοι, οὔτε μοιχοί, οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι»· καὶ «ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι», καὶ τὰ λοιπά, καὶ «εἰ ὁ ὀφθαλμός σου σκανδαλίζει σε, ἔξελε αὐτόν». Καὶ ταῦτα μὲν ὀφείλεις μνημονεύειν, μὴ συχνάζειν δὲ πρὸς ἀνθρώπους, πρὸς οὓς εὑρίσκῃ ἔχων τὸν πόλεμον. Καὶ πάλιν μὴ δείξῃς αὐτοῖς τίνος χάριν ἀφίστασαι ἀπ' αὐτῶν, μήποτε καὶ εἰς λογισμοὺς βάλῃς αὐτούς, ἀλλ', εἰ καὶ ἀνάγκη γένηται ὁμιλῆσαι αὐτοῖς, ἐπικάλεσαι τὸ ἅγιον ὄνομα τοῦ Θεοῦ εἰς βοήθειαν, λέγων· 'Δέσποτα Ἰησοῦ, σκέπασόν με καὶ βοήθησόν μου τῇ ἀσθενείᾳ'· καὶ θάρσει, ὅτι συντρίψει τὸ τόξον τῶν ἐχθρῶν. Ἐν τῷ ὀνόματι γὰρ αὐτοῦ ἐστιν ἡ ἀπραξία τῶν κακῶν· καὶ ἀντὶ πολλῶν λάλησον ὀλίγα, καὶ μὴ ἀπολύσῃς αὐτοῖς τὴν ἀκοὴν καὶ τοὺς λογισμούς, ἀλλὰ σύστειλον σεμνῶς καὶ ἀταράχως, πρὸς τὸ μηδένα νοῆσαι τὸ γινόμενον. Ἐὰν δὲ καὶ δύναμιν λάβῃς ἀπὸ τούτων, μὴ θαρρήσῃς τοῖς ἐχθροῖς σου· ἀναιδεῖς γάρ εἰσι καὶ μυριάκις ἂν ἡττηθῶσιν, ἀνταγωνίζονται πάλιν· ἀλλ' ὁ νικηφόρος Θεός, αὐτός ἐστιν ὁ βοηθῶν τῇ ταπεινώσει τοῦ ἀνθρώπου, δι' ὃν θέλων ἐσαρκώθη.

Ὀφείλεις λοιπὸν νὰ θυμᾶσαι τὴ διαφθορὰ καὶ τὴ δυσωδία τῆς φύσεώς μας· τί δηλαδὴ γινόμαστε ὅταν μπαίνομε στοὺς τάφους. Ἀλλὰ γιατί σοῦ μιλῶ γιὰ τὰ φθαρτὰ καὶ δὲν κατανοεῖς μᾶλλον νὰ θέσεις πρὸ τῶν ὀφθαλμῶν σου τὴ φοβερὴ κρίση τοῦ Θεοῦ ποὺ πρόκειται νὰ γίνει; Ποῦ βρίσκεται ἡ κληρονομία αὐτῶν ποὺ κάνουν αὐτὰ τὰ πράγματα; Πῶς μπορεῖς νὰ ὑποφέρεις τὴ μεγάλη ἐκείνη ντροπὴ τῆς φανερώσεως τῶν πράξεών μας παρουσία τῶν ἀγγέλων καὶ ἀρχαγγέλων καὶ ὅλων τῶν ἀνθρώπων μπροστὰ στὸν δίκαιο κριτή; Καὶ πῶς φράζεται τὸ στόμα τῶν ἐργατῶν αὐτῶν τῶν πράξεων;

Ἂς φοβηθοῦμε λοιπὸν Ἐκεῖνον ποὺ λέγει· «μὴ πλανιέσθε, διότι οὔτε οἱ πόρνοι, οὔτε οἱ μοιχοί, οὔτε οἱ μαλθακοί, οὔτε οἱ ἀρσενοκοῖτες θὰ κληρονομήσουν τὴ βασιλεία τοῦ Θεοῦ»· «καὶ αὐτὸς ποὺ εἶδε τὴ γυναίκα καὶ τὴν ἐπιθύμησε» καὶ τὰ ὑπόλοιπα, καὶ «ἂν τὸ μάτι σου σὲ σκανδαλίζει, βγάλε το»[97]. Αὐτὰ ὀφείλεις νὰ θυμᾶσαι, νὰ μὴ συχνάζεις σὲ ἀνθρώπους πρὸς τοὺς ὁποίους συμβαίνει νὰ ἔχεις τὸν πόλεμο· καὶ ἐπίσης νὰ μὴ τοὺς δείξεις γιὰ ποιό λόγο ἀπομακρύνεσαι ἀπὸ αὐτούς, μήπως τοὺς βάλεις ποτὲ καὶ σὲ λογισμούς· ἀλλὰ ἂν παραστεῖ ἀνάγκη νὰ τοὺς μιλήσεις, ἐπικαλέσου τὸ ἅγιο Πνεῦμα γιὰ βοήθεια λέγοντας· 'Δέσποτα Ἰησοῦ, προστάτεψέ με καὶ βοήθησε τὴν ἀσθένειά μου'· καὶ ἔχε θάρρος, διότι θὰ συντρίψει τὸ τόξο τῶν ἐχθρῶν. Διότι ἡ ἐπίκληση τοῦ ὀνόματός του συμβάλλει στὴν ἀπραξία τῶν κακῶν. Καὶ πὲς λίγα ἀντὶ γιὰ πολλά, μὴ ἀφήνοντας σ' αὐτοὺς τὴν ἀκοὴ καὶ τοὺς λογισμούς, ἀλλὰ νὰ συσταλεῖς σεμνὰ καὶ ἀτάραχα, γιὰ νὰ μὴ καταλάβει κανένας αὐτὸ ποὺ γίνεται. Ἂν πάρεις καὶ δύναμη ἀπὸ αὐτό, νὰ μὴ πάρεις θάρρος ἔναντι τῶν ἐχθρῶν σου· διότι εἶναι ἀναιδεῖς, καὶ χιλιάδες φορὲς ἂν νικηθοῦν, πάλι ἀνταγωνίζονται· ἀλλὰ ὁ νικηφόρος Θεός, αὐτὸς εἶναι ποὺ βοηθᾶ στὴν ταπείνωση τοῦ ἀνθρώπου, γιὰ τὸν ὁποῖο ἑκούσια σαρκώθηκε.

---

97. Ματθ. 5,28-29.

ΧΞ'

Ἐρώτησις

Τί ἐστι τὸ εἰρημένον, ὅτι 'Βλέπε μὴ ἁρπάσῃ σε ὁ λογισμὸς τῆς πορνείας';

Ἀπόκρισις

Τοῦτο τὸ πρᾶγμα οὐκ εἰς πορνείαν συμβαίνει μόνον, ἀλλὰ καὶ εἰς ἕτερα πράγματα· τοῦτο δὲ πάσχει ὁ νοῦς ἀπὸ τοῦ μετεωρισμοῦ, καὶ ὀφείλει τις ἀνακαλέσασθαι ἑαυτόν, λέγων· 'Κύριε, συγχώρησόν μοι διὰ τὸ ὄνομά σου τὸ ἅγιον, ὅτι ἐκ τῆς ἐμῆς ἀμελείας ἔφθασέ με τοῦτο, καὶ λύτρωσαί με ἀπὸ τοῦ μετεωρισμοῦ καὶ πάσης παγίδος τοῦ ἐχθροῦ, ὅτι σοῦ ἐστιν ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν'.

Ἡ φανέρωσις δὲ τῆς ἁρπαγῆς ἔστω σοι τοῦτο. Ἐὰν λαλῇ τις καὶ ἐν μετεωρισμῷ ἔχῃ τὸν νοῦν, συμβαίνει ὅτι περὶ ἄλλου λαλοῦντος αὐτοῦ, ἁρπάζεται ὁ νοῦς αὐτοῦ εἰς ἄλλο· καὶ τοῦτό ἐστιν ἡ ἁρπαγή. Καὶ ὡς ἐργάζεταί τις, ἂν μετεωρισθῇ ἀπὸ τοῦ ἔργου, εὑρίσκεται κατὰ λήθην ἢ ἀφανίζων τὸ ἔργον ἢ περισσὸν ποιῶν τι τοῦ δέοντος, καὶ τοῦτο πάλιν ἁρπαγή ἐστι. Ὁ αὐτὸς τρόπος καὶ περὶ τοῦ λογισμοῦ τῆς πορνείας ἐστι. Συμβαίνει γὰρ ὡς λαλεῖ τίς τινι, ἐὰν φθάσῃ ὁ ἐχθρὸς ἑλκῦσαι τὸν νοῦν ἀπὸ τῆς τοῦ Θεοῦ νήψεως, εὑρίσκεται κατὰ μετεωρισμὸν εἰς αὐτὸν καὶ τὴν ἐπιθυμίαν τῆς πορνείας, καὶ τοῦτο ἁρπαγή ἐστι· οὐ γὰρ κατὰ μελέτην ἢ κατὰ ἐνθύμησιν ἐγένετο, ἀλλὰ κατὰ λήθην συνηρπάγη.

Καὶ ὁ τοιοῦτος ὅμοιός ἐστιν ἀνθρώπῳ ὁδοιποροῦντι, ὅς τις ἀπό τινος συμβαινούσης αὐτῷ ἀθυμίας ἀφήσει τὴν εὐθεῖαν ὁδὸν καὶ εἰς ἄλλην εὑρίσκεται· ἀλλ' ὀφείλει νήψας ἀνακαλέσασθαι ἑαυτὸν κατὰ τὰ εἰρημένα καὶ προσδραμεῖν τῷ ἐλέει τοῦ Θεοῦ· εὔσπλαγχνος γάρ ἐστι καὶ προσδέχεται αὐτὸν ὡς τὸν ἄσωτον

660

Ἐρώτηση

Τί σημαίνει αὐτὸ ποὺ λέχθηκε· 'πρόσεξε νὰ μὴ σὲ ἁρπάξει ὁ λογισμὸς τῆς πορνείας';

Ἀπόκριση

Αὐτὸ τὸ πρᾶγμα δὲν συμβαίνει μόνο στὴν πορνεία, ἀλλὰ καὶ σὲ ἄλλα θέματα, καὶ αὐτὸ τὸ παθαίνει ὁ νοῦς ἀπὸ τὸν μετεωρισμό. Πρέπει λοιπὸν κανεὶς νὰ ἀνακαλέσει τὸν ἑαυτό του, λέγοντας· 'Κύριε, συγχώρεσέ με γιὰ τὸ ἅγιο ὄνομά σου, διότι αὐτὸ μοῦ ἦρθε ἐξαιτίας τῆς ἀμέλειάς μου· καὶ λύτρωσέ με ἀπὸ τὸν μετεωρισμὸ καὶ ἀπὸ κάθε παγίδα τοῦ ἐχθροῦ, διότι δική σου εἶναι ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο'.

Ἡ φανέρωση τῆς ἁρπαγῆς ἂς εἶναι γιὰ σένα αὐτό. Ἂν μιλᾶ κάποιος καὶ ἔχει τὸν νοῦ σὲ μετεωρισμό, συμβαίνει ὅτι, ἐνῶ αὐτὸς μιλᾶ γιὰ ἄλλο, ἁρπάζεται ὁ νοῦς του ἀπὸ ἄλλο· καὶ αὐτὸ εἶναι ἡ ἁρπαγή. Καὶ ὅταν ἐργάζεται κανείς, ἂν μετεωρισθεῖ ἀπὸ τὸ ἔργο, βρίσκεται σὲ κατάσταση λήθης, ὁπότε ἢ καταστρέφει τὸ ἔργο, ἢ κάνει κάτι περισσότερο ἀπὸ ὅσο πρέπει· καὶ αὐτὸ πάλι εἶναι ἁρπαγή. Κατὰ τὸν ἴδιο τρόπο συμβαίνει καὶ στὸν λογισμό τῆς πορνείας· διότι συμβαίνει ὅταν κανεὶς μιλάει σὲ κάποιον, ἂν κατορθώσει ὁ ἐχθρὸς ν' ἀποσπάσει τὸν νοῦ ἀπὸ τὴν νήψη τοῦ Θεοῦ, μεταφέρεται ἀπὸ μετεωρισμὸ σ' αὐτὸν καὶ στὴν ἐπιθυμία τῆς πορνείας· καὶ αὐτὸ εἶναι ἁρπαγή· διότι δὲν ἔγινε ἀπὸ μελέτη ἢ ἀπὸ ἐνθύμηση, ἀλλὰ συναρπάχθηκε ἀπὸ λησμονιά.

Καὶ ὁ τέτοιος εἶναι ὅμοιος μὲ ἄνθρωπο ὁδοιπόρο, ὁ ὁποῖος, ἀπὸ κάποια ἀθυμία ποὺ τοῦ συμβαίνει, ἀφήνει τὸν ἴσιο δρόμο καὶ βρίσκεται σὲ ἄλλον. Αὐτὸς τότε πρέπει, ἀφοῦ συνέλθει, ν' ἀνακαλέσει τὸν ἑαυτό του σύμφωνα μ' αὐτὰ ποὺ ἔχουν λεχθεῖ καὶ νὰ προστρέξει στὸν ἔλεος τοῦ Θεοῦ· διότι αὐτὸς εἶναι εὔσπλαγχνος καὶ θὰ τὸν δεχθεῖ κοντά του σὰν τὸν ἄσωτο

ἐκεῖνον υἱόν· οὐκ ἀγνοοῦμεν γὰρ πῶς εὐμενῶς προσεδέχθη. Καὶ ὅταν δὲ χωρὶς μετεωρισμοῦ σπαρῇ οὗτος ὁ πόλεμος ἐν τῷ λογισμῷ, χρὴ νῆψαι καὶ μὴ ἡδυνθῆναι καὶ ἐγχρονίσαι εἰς αὐτόν, ἀλλὰ ταχέως ἀποφυγεῖν πρὸς τὸν Δεσπότην Θεόν.

ΧΞΑ'

Ἐρώτησις

Ἐὰν ἀπαιτῇ χρεία λαλῆσαί με γυναικί, τί ποιήσω; ἢ πῶς χρήσομαι τῇ συντυχίᾳ; Εἰπὲ δέ μοι εἰ χρὴ προφάσει εὐσεβείας ἢ συμπαθείας παρεμβάλλειν ἐμαυτὸν εἰς πρᾶγμα αὐτῶν.

Ἀπόκρισις

Κατὰ μὲν πάντα τρόπον εὑρίσκομεν ὅτι τοὺς μὴ συνιέντας εἰς τὰ τοῦ Θεοῦ ἔργα βλάπτει ἡ τῶν γυναικῶν συντυχία. Ὅσον οὖν ἐνδέχεται ἀπόστα, καὶ μὴ ἐμβάλλῃς σεαυτὸν εἰς συντυχίαν γυναικῶν· οὐκ ὠφελεῖ γάρ σε τοῦτο, εἰ καὶ καλαὶ τὸν τρόπον εἰσίν. Ἀλλ', ἐπειδὴ τοῦ κόσμου οὐκ ἀπηλλάγημεν καὶ καλεῖ ἡμᾶς ἔσθ' ὅτε ἀνάγκη εἰς τὴν τούτων συντυχίαν περὶ συναλλάγματος ἢ περὶ οἱουδήποτε πράγματος, προκαταστήσωμεν ἐν τῷ νῷ τὸν τύπον τοῦτον. Ὥσπερ ἄνθρωπος προσερχόμενος πυρὶ ποιῆσαι τὰς ἑαυτοῦ χρείας, προσέχει ἀσφαλῶς μὴ καυστηριασθῆναι ὑπὸ τοῦ πυρός, οὕτω καὶ ἡμεῖς ἐν πᾶσι πράγμασι πρὸς αὐτὰς χρησώμεθα, ὡς τῷ πυρὶ προσερχόμενοι· καὶ ἀσφαλισώμεθα ἑαυτοὺς κατὰ πάντα τρόπον ἐν τῷ φόβῳ τοῦ Θεοῦ, μήποτε, ὡς νομιζόντων ἡμῶν δι' αὐτῶν ὠφεληθῆναι, εὑρεθῇ ἡμῶν ἡ δοκοῦσα ὠφέλεια ζημία μεγάλη.

Εἰ δὲ ὅλως διὰ τὸν Θεὸν θελήσωμεν διελθεῖν, δι' ἄλλου προσώπου ποιήσωμεν τοῦτο εἰ δυνατόν, καὶ μήτε ἀνεχώμεθα ὡς ἔτυχεν ἀντιβλέπειν αὐταῖς, μηδὲ τὴν ὅρασιν εἰς αὐτὰς ἀπολύ-

ἐκεῖνον υἱό· καὶ δὲν ἀγνοοῦμε μὲ πόση εὐμένεια τὸν δέχθηκε κοντά του. Ἀλλὰ καὶ ὅταν αὐτὸς ὁ πόλεμος σπαρεῖ στὸν λογισμὸ χωρὶς μετεωρισμό, πρέπει νὰ νήψεις καὶ νὰ μὴ εὐχαριστηθεῖς καὶ νὰ μὴ παραμείνεις πολὺ χρόνο σ' αὐτόν, ἀλλὰ γρήγορα νὰ καταφύγεις πρὸς τὸν Δεσπότη Θεό.

661

Ἐρώτηση

Ἐὰν ἡ ἀνάγκη ἀπαιτεῖ νὰ μιλήσω μὲ γυναίκα, τί νὰ κάνω; ἢ πῶς νὰ κάνω τὴ συνάντηση; Ἀκόμη πές μου, ἂν πρέπει μὲ τὴν πρόφαση τῆς εὐσέβειας ἢ τῆς συμπάθειας νὰ παρεμβάλλω τὸν ἑαυτό μου σὲ ὑπόθεση αὐτῶν.

Ἀπόκριση

Μὲ κάθε τρόπο βρίσκομε ὅτι ἐκεῖνοι ποὺ δὲν ἀφοσιώθηκαν στὰ ἔργα τοῦ Θεοῦ, τοὺς βλάπτει ἡ συνάντηση τῶν γυναικῶν· ὅσο λοιπὸν μπορεῖς ἀπομακρύνσου καὶ μὴ ὁδηγήσεις τὸν ἑαυτό σου σὲ συνάντηση γυναικῶν· διότι αὐτὸ δὲν σὲ ὠφελεῖ, κι ἂν ἀκόμη αὐτὲς εἶναι καλὲς στὸν τρόπο. Ἀλλὰ ἐπειδὴ δὲν ἀπαλλαχθήκαμε ἀπὸ τὸν κόσμο καὶ μερικὲς φορὲς μᾶς καλεῖ ἡ ἀνάγκη στὴ συνάντηση αὐτῶν γιὰ συναλλαγὴ ἢ γιὰ ὁποιοδήποτε θέμα, ἂς βάλομε ἀπὸ πρὶν στὸ νοῦ μας αὐτὸν τὸν τύπο. Ὅπως ἀκριβῶς ὁ ἄνθρωπος, ποὺ πλησιάζει στὴ φωτιὰ νὰ κάνει τὶς ἀνάγκες του, προσέχει ἀσφαλῶς νὰ μὴ καεῖ ἀπὸ τὴ φωτιά, ἔτσι καὶ ἐμεῖς ὅλα τὰ πράγματα σχετικὰ μὲ αὐτὲς νὰ τὰ κάνομε σὰν νὰ πλησιάζομε κοντὰ στὴ φωτιά, καὶ ν' ἀσφαλίσομε τοὺς ἑαυτούς μας μὲ κάθε τρόπο μὲ φόβο Θεοῦ, μὴ τυχόν, ἐπειδὴ νομίζομε ὅτι θὰ ὠφεληθοῦμε ἀπὸ αὐτές, καταστεῖ ἡ ὠφέλειά μας ποὺ νομίζομε μεγάλη ζημία.

Ἂν ὅμως ὁπωσδήποτε θελήσομε γιὰ τὸν Θεὸ νὰ τὶς συναντήσομε, ἂν εἶναι δυνατὸ νὰ τὸ κάνομε αὐτὸ μὲ ἄλλο πρόσωπο καὶ νὰ μὴ δεχθοῦμε νὰ τὶς βλέπομε ὅπως ἔτυχε, οὔτε ν' ἀφή-

ωμεν, μηδὲ χρονίσωμεν ἐν τῇ αὐτῶν συντυχίᾳ, ἐκ τούτου γὰρ τίκτεται τὸ πῦρ τῆς ἐπιθυμίας, ἀλλὰ σπουδάσωμεν διὰ τάχους ἀπαλλαγῆναι αὐτῶν, δεόμενοι τοῦ Θεοῦ, ἵνα σώσῃ ἡμᾶς ἐν τῇ ὥρᾳ ἐκείνῃ τῆς ἀνάγκης ἀπὸ τῆς παγίδος τοῦ διαβόλου τῆς ἔμπροσθεν ἡμῶν τεταμένης, καὶ ἀδιαλείπτως αὐτοῦ μνημονεύσωμεν· καὶ γὰρ ἡ δύναμις αὐτοῦ μεγάλη ἐστὶ σκεπάσαι τὴν ἀσθένειαν ἡμῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΧΞΒ'

Ἐρώτησις

Ἄλλος φιλόχριστος ἠρώτησε τὸν μέγαν Γέροντα,

Εἰ συμφέρει αὐτῷ ἀποτάξασθαι τῇ ἰδίᾳ γυναικὶ ἐπὶ σκοπῷ τοῦ μονάσαι.

Ἀπόκρισις

Τέκνον, μὴ ἔστω ἡ ἀπόχρησις αὐτῆς ἀπὸ σοῦ, ἐπεὶ ἀθετεῖς τὴν ἐντολὴν τοῦ Ἀποστόλου λέγοντος· «δέδεσαι γυναικί, μὴ ζήτει λύσιν»· ἐπεί, ἐὰν ἁμάρτῃ καὶ ἀπέλθῃ κακῶς, εἰς σὲ τρέχει ἡ ἁμαρτία, ἐὰν μὴ ἐκ συμφώνου διὰ νουθεσίαν. Ἀλλ' ἄφες τὸ πρᾶγμα τῷ Θεῷ καὶ ὡς θέλει ποιεῖ ἡ φιλανθρωπία αὐτοῦ.

ΧΞΓ'

Ἐρώτησις

Ἄλλος φιλόχριστος ἠρώτησε τὸν αὐτὸν μέγαν Γέροντα, λέγων.

Τί ποιήσω, ὅτι ταχέως ἐμπίπτω εἰς τὰ πάθη;

---

98. Α' Κορ. 7,27.

νομε τὰ μάτια μας νὰ πέφτουν ἐπάνω σ' αὐτές, οὔτε νὰ διαρκέσει πολὺ χρόνο ἡ συνάντησή μας μὲ αὐτές, διότι ἀπὸ αὐτὸ γεννιέται ἡ φωτιὰ τῆς ἐπιθυμίας, ἀλλὰ νὰ φροντίσομε γρήγορα νὰ ἀπαλλαγοῦμε ἀπὸ αὐτές, παρακαλώντας τὸν Θεὸ νὰ μᾶς σώσει κατὰ τὴν ὥρα ἐκείνη τῆς ἀνάγκης ἀπὸ τὴν παγίδα τοῦ διαβόλου, ποὺ εἶναι ἁπλωμένη μπροστά μας, καὶ νὰ θυμόμαστε ἀδιάλειπτα αὐτόν· διότι ἡ δύναμη αὐτοῦ εἶναι μεγάλη, ὥστε νὰ προστατέψει τὴν ἀσθένειά μας, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

662

Ἐρώτηση

Ἄλλος φιλόχριστος ἐρώτησε τὸν μεγάλο Γέροντα,

Ἂν συμφέρει σ' αὐτὸν νὰ χωρίσει τὴ γυναίκα του μὲ σκοπὸ νὰ μονάσει.

Ἀπόκριση

Τέκνο μου, νὰ μὴ γίνει ὁ χωρισμὸς αὐτῆς ἀπὸ σένα, διότι ἀθετεῖς τὴν ἐντολὴ τοῦ Ἀποστόλου ποὺ λέγει· «ἔχεις δεθεῖ μὲ γυναίκα, μὴ ζητᾶς λύση»[98]. Ἂν ἁμαρτήσει καὶ ἀπομακρυνθεῖ κακῶς, θὰ πέσει σὲ σένα ἡ ἁμαρτία, ἂν ὁ χωρισμὸς δὲν γίνει μὲ συμφωνία γιὰ νουθεσία. Ἄφησε λοιπὸν τὸ πρᾶγμα στὸν Θεὸ καὶ ἡ φιλανθρωπία του θὰ ἐνεργήσει ὅπως θέλει.

663

Ἐρώτηση

Ἄλλος φιλόχριστος ἐρώτησε τὸν ἴδιο μεγάλο Γέροντα, λέγοντας.

Τί νὰ κάνω, διότι γρήγορα πέφτω στὰ πάθη.

Ἀπόκρισις

Μὴ συνθήσῃς μετ' αὐτῶν διαθήκην καὶ ἀπόστρεψον τοὺς ὀφθαλμούς σου τοῦ μὴ ἰδεῖν ματαιότητα καὶ τὰς χεῖράς σου ἀπὸ πλεονεξίας, καὶ ἐλευθεροῖ σε ὁ Θεὸς αὐτῶν. Σεμνῶς οὖν δίαγε, καὶ μὴ λάβῃς τὴν τροφήν, μηδὲ τὸ πόμα εἰς κόρον, καὶ ταπεινοῦνται ἀπὸ σοῦ τὰ πάθη, καὶ εὑρίσκεις ἀνάπαυσιν.

ΧΞΔ'

Ἐρώτησις

Ἄλλος φιλόχριστος παιδευτὴς τῆς τοῦ κόσμου σοφίας ἠρώτησε τὸν μέγαν Γέροντα,

Εἰ μέλλει εὖ πρᾶξαι μεταβαίνων εἰς λαμπροτέραν ἀξίαν.

Ἀπόκρισις

Μὴ ὑψηλοφρονήσῃς καὶ εὑρίσκεις χάριν παρὰ τῷ Θεῷ καὶ τοῖς ἀνθρώποις, καὶ συγκρότησιν μεγάλη ὅπου ἂν ᾖς.

ΧΞΕ'

Ἐρώτησις

Ὁ αὐτὸς ἠρώτησε τὸν ἄλλον γέροντα περὶ τοῦ αὐτοῦ.

Ἀπόκρισις *Βαρσανουφίου.*

Τέως τὰ ταπεινὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός. Ἔχε τὴν ταπείνωσιν, καὶ βοηθεῖ σοι ὁ Θεὸς ἐν τάχει.

Ἀπόκριση

Νὰ μὴ κάνεις μ' αὐτὰ συμφωνία, καὶ ἀπόστρεψε τὰ μάτια σου, γιὰ νὰ μὴ δοῦν τὴ ματαιότητα, καθὼς καὶ τὰ χέρια σου ἀπὸ τὴν πλεονεξία, καὶ θὰ σὲ ἐλευθερώσει ὁ Θεὸς ἀπὸ αὐτά. Νὰ ζεῖς λοιπὸν σεμνά, μὴ πάρεις τὴν τροφὴ οὔτε τὸ ποτὸ γιὰ κορεσμό, καὶ θὰ ταπεινωθοῦν μπροστά σου τὰ πάθη, καὶ θὰ βρεῖς ἀνάπαυση.

664

Ἐρώτηση

Ἄλλος φιλόχριστος, διδάσκαλος τῆς σοφίας τοῦ κόσμου, ἐρώτησε τὸν μεγάλο Γέροντα,

Ἂν πρόκειται νὰ κάνει καλὰ ἀνεβαίνοντας σὲ λαμπρότερο ἀξίωμα.

Ἀπόκριση

Νὰ μὴ ὑψηλοφρονήσεις καὶ θὰ βρεῖς χάρη ἀπὸ τὸν Θεὸ καὶ ἀπὸ τοὺς ἀνθρώπους καὶ μεγάλη ἀναγνώριση ὅπου κι ἂν εἶσαι.

665

Ἐρώτηση

Ὁ ἴδιος ἐρώτησε τὸν ἄλλο γέροντα γιὰ τὸ ἴδιο πρᾶγμα.

Ἀπόκριση Ἰωάννου.

Κατ' ἀρχὴν ὁ Θεὸς διάλεξε τὰ ταπεινὰ τοῦ κόσμου. Ἔχε λοιπὸν τὴν ταπείνωση καὶ ὁ Θεὸς θὰ σὲ βοηθήσει γρήγορα.

ΧΞS'

Ἐρώτησις

Ὁ αὐτὸς ἐδεήθη τοῦ αὐτοῦ γέροντος Ἰωάννου, ἵνα εὔξηται ὑπὲρ πασχικοῦ τινος.

Ἀπόκρισις

Ασκήσει ὅσον δύναται, καὶ εἰσακούονται οἱ εὐχόμενοι ὑπὲρ αὐτοῦ· πολλὰ γὰρ ἰσχύει δέησις δικαίου ἐνεργουμένη· καὶ ὁ Κύριος εἶπε· «τὸ γένος τοῦτο οὐκ ἐξέρχεται, εἰμὴ διὰ νηστειῶν καὶ προσευχῶν».

ΧΞΖ'

Ἐρώτησις

Ἄλλος φιλόχριστος ἠρώτησε τὸν μέγαν γέροντα, λέγων.

Ἐπειδὴ λῃσταὶ ἐπεισῆλθον τῷ οἴκῳ ἡμῶν διὰ τὰς ἡμῶν ἁμαρτίας, οὐδὲν δὲ ἔλαβον ἐκ τοῦ οἴκου μου, κινήσω πρὸς αὐτοὺς ἢ μωροποιήσω;

Ἀπόκρισις

Εἰ ὅλως ἔχομεν, ὅτι διὰ τὰς ἡμῶν ἁμαρτίας ἐπῆλθον οἱ λῃσταί, ὁ δὲ Θεὸς διὰ τὴν αὐτοῦ φιλανθρωπίαν οὐ συνεχώρησε τὸ κακὸν γενέσθαι, κατὰ ποῖον τρόπον θέλομεν ἡμᾶς αὐτοὺς ἐκδικῆσαι καὶ μὴ συγχωρῆσαι τὰ πάντα τῷ Θεῷ, φήσαντι, «ἐμὴ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω»; Εἰ φοβούμεθα τὸν Θεόν, ὅτε ἐβλέπομεν αὐτοὺς πάσχοντάς τι, κατὰ τὴν δύναμιν ἡμῶν βοηθῆσαι αὐτοῖς ὀφείλομεν· ἀλλ' ἐπειδὴ εἰς τοῦτο

---

99. Ἰακ. 5,16.

666

Ἐρώτηση

Ὁ ἴδιος παρακάλεσε τὸν ἴδιο γέροντα Ἰωάννη, γιὰ νὰ προσευχηθεῖ γιὰ κάποιον δαιμονισμένο.

Ἀπόκριση

Ὅσο μπορεῖ νὰ ἀσκηθεῖ καὶ θὰ εἰσακουσθοῦν αὐτοὶ ποὺ προσεύχονται γι' αὐτόν· διότι ἡ δέηση ποὺ γίνεται ἀπὸ τὸν δίκαιο ἔχει μεγάλη δύναμη[99]· καὶ ὁ Κύριος εἶπε· «αὐτὸ τὸ γένος δὲν βγαίνει ἀπὸ τὸν ἄνθρωπο, παρὰ μόνο μὲ νηστεῖες καὶ προσευχές»[1].

667

Ἐρώτηση

Ἄλλος φιλόχριστος ἐρώτησε τὸν μεγάλο Γέροντα, λέγοντας.

Ἐπειδὴ ἦρθαν στὸ σπίτι μου ληστὲς ἐξαιτίας τῶν ἁμαρτιῶν μας, δὲν πῆραν ὅμως τίποτε ἀπὸ τὸ σπίτι μου, νὰ κάνω μήνυση ἐναντίον τους, ἢ νὰ ἀδιαφορήσω;

Ἀπόκριση

Ἂν ὁπωσδήποτε δεχθοῦμε ὅτι ἐξαιτίας τῶν ἁμαρτιῶν μας ἦρθαν οἱ ληστές, ὁ Θεὸς ὅμως ἐξαιτίας τῆς φιλανθρωπίας του δὲν ἐπέτρεψε νὰ γίνει τὸ κακό, μὲ ποιό σκοπὸ θέλομε νὰ τοὺς ἐκδικηθοῦμε καὶ νὰ μὴ παραχωρήσομε τὰ πάντα στὸν Θεὸ ποὺ λέγει, «δική μου εἶναι ἡ ἐκδίκηση, ἐγὼ θὰ ἀνταποδώσω»[2]; Ἂν φοβόμαστε τὸν Θεό, ὅταν τοὺς βλέπομε νὰ παθαίνουν κάτι, ὀφείλομε νὰ τοὺς βοηθήσομε κατὰ τὴ δύ-

1. Μάρκ. 9,29.
2. Ἑβρ. 10,30.

οὐκ ἐφθάσαμεν, μήποτε καὶ θελήσαντες ἐμπέσωμεν εἰς κενοδοξίαν, μήτε καλὸν μήτε σαπρὸν αὐτοῖς ποιήσωμεν, ἀλλ᾽ εὐχαριστήσωμεν τῷ μὴ κατὰ τὰς ἁμαρτίας ἡμῶν ποιήσαντι μεθ᾽ ἡμῶν.

ΧΞΗ΄

Ἐρώτησις

Εἰ δὲ καὶ συνέβη αὐτοὺς κλέψαι τι ἐξ ἡμῶν, τί ἔδει ποιῆσαι ἡμᾶς;

Ἀπόκρισις

Τῶν μὲν τελείων ἐστὶ τὸ πάντων καταφρονεῖν, τῶν δὲ ἐν δευτέρᾳ τάξει τὸ λαβεῖν ἅπερ ἀπώλεσαν, ἢ καὶ ζημιωθῆναι μικρόν, ἀποβλέποντας εἰς τὴν στένωσιν καὶ ἀπορίαν τῶν ἀπαιτουμένων. Τοῦτο δὲ ἐσθ᾽ ὅτε φέρει τινὰ καὶ εἰς τὸ χρήσασθαι νόμοις, ἀγνωμονούντων ἐκείνων. Μάθωμεν δέ, ὅτι καὶ φύημα τῆς φιλαργυρίας ἐστὶ τὸ πρᾶγμα τοῦτο, καὶ γεννᾷ ἡμῖν βλάβην ψυχῆς, καὶ παραβαίνομεν τὴν λέγουσαν ἐντολήν, «ἐάν τις θελήσῃ κριθῆναι μετὰ σοῦ καὶ τον χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον».

ΧΞΘ΄

Ἐρώτησις

Τί οὖν, πάτερ, ἐάν τις ἔλθῃ θέλων λαβεῖν τὸ ἱμάτιόν μου, δώσω αὐτῷ παραχρῆμα; καὶ πόσοι εἰσὶ κακοὶ καὶ πονηροὶ ἄνθρωποι ἡδέως ἔχοντες τοῦτο ποιῆσαι, ὥστε, ἐὰν δύνωνται, καὶ γυμνόν τινα ἀφεῖναι;

ναμή μας· ἀλλ' ἐπειδὴ δὲν φθάσαμε σ' αὐτὸ τὸ ἐπίπεδο, γιὰ νὰ μὴ συμβεῖ, θέλοντας νὰ κάνομε αὐτό, πέσομε σὲ κενοδοξία, ἂς μὴ κάνομε σ' αὐτοὺς οὔτε καλὸ οὔτε κακό, ἀλλὰ νὰ εὐχαριστήσομε αὐτὸν ποὺ δὲν ἐπέτρεψε νὰ συμβεῖ σὲ μᾶς κατὰ τὶς ἁμαρτίες μας.

668

Ἐρώτηση

Ἂν ὅμως συνέβαινε αὐτοὶ νὰ κλέψουν κάτι ἀπὸ μᾶς, τί ἔπρεπε νὰ κάνομε;

Ἀπόκριση

Γνώρισμα τῶν τελείων εἶναι τὸ νὰ περιφρονοῦν τὰ πάντα, αὐτῶν ὅμως ποὺ βρίσκονται σὲ δεύτερη τάξη νὰ πάρουν αὐτὰ ποὺ ἔχασαν ἢ καὶ νὰ ζημιωθοῦν λίγο, ἀποβλέποντας στὴ στένωση καὶ ἀπορία ἐκείνων ποὺ ὀφείλουν νὰ τοὺς τὰ ἐπιστρέψουν. Αὐτὸ ὅμως μερικὲς φορὲς ὁδηγεῖ κάποιον καὶ στὸ νὰ προσφύγει στοὺς νόμους, ὅταν ἐκεῖνοι δὲν δέχονται. Νὰ κατανοήσομε ὅμως, ὅτι τὸ πρᾶγμα αὐτὸ εἶναι γέννημα τῆς φιλαργυρίας, ποὺ γεννᾶ σὲ μᾶς βλάβη ψυχῆς καὶ παραβαίνομε τὴν ἐντολὴ ποὺ λέγει· «ἂν κάποιος θελήσει νὰ κριθεῖ μὲ σένα καὶ νὰ πάρει τὸν χιτῶνα σου, ἄφησέ του καὶ τὸ ἱμάτιο»[3].

669

Ἐρώτηση

Τί λοιπόν, πάτερ, ἂν κανεὶς ἔλθει θέλοντας νὰ πάρει τὸ ἱμάτιό μου, νὰ τοῦ τὸ δώσω ἀμέσως; Καὶ πόσοι ἄνθρωποι εἶναι κακοὶ καὶ πονηροὶ ποὺ χαίρονται νὰ κάνουν αὐτό, ὥστε ἂν μποροῦν ν' ἀφήσουν κάποιον καὶ γυμνό;

---

3. Ματθ. 5,40.

Ἀπόκρισις

Οὐ τοῦτο λέγει, ἵνα τῷ θέλοντι ἁπλῶς λαβεῖν δώσῃς αὐτό, ἀλλὰ τῷ θέλοντί σοι κριθῆναι, ὅπερ ἀπανθρωπίαν σημαίνει καὶ δικαστήρια τὰ γεννῶντα τῇ ψυχῇ βλάβην. Ἐνταῦθα οὖν δεῖ τῶν σαρκικῶν καταφρονεῖν διὰ τὴν τῆς ψυχῆς σωτηρίαν· φησὶ γάρ· «τί ὄφελος ἀνθρώπῳ, ἐὰν κερδήσῃ τὸν κόσμον ὅλον, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ;»

ΧΟ'

Ἐρώτησις

Ἐπειδὴ οὖν εἰσί τινες ἐν πείρᾳ τῶν δικαστηρίων ὄντες, καὶ οὐχ ὁμοίως βλάπτονται ὡς οἱ τούτων ἄπειροι, ἆρα καλόν ἐστι κινεῖν δι' ἑαυτῶν τὰ τοιαῦτα;

Ἀπόκρισις

Εὰν ἐν πείρᾳ τῶν δικαστηρίων ὦσιν, ἀλλ' εὑρισκόμεθα καὶ ἡμεῖς αἰτίαν αὐτοῖς προτιθέντες τῆς βλάβης· πλὴν ἐν συγκρίσει κακῶν, ἐκεῖνο οὐκ ἔστιν ἔλαττον· τὸ γὰρ δι' ἑαυτῶν κινῆσαι εἰς ἀπώλειαν ψυχῆς ἡμᾶς φέρει. Ἐὰν δὲ κἀκεῖνοι ὁμοίως ἡμῖν βλάπτωνται, ἡμεῖς γινόμεθα τῆς βλάβης αὐτῶν αἴτιοι, καὶ ἡ ἁμαρτία εἰς ἡμᾶς ἀνατρέχει καὶ τὴν αὐτὴν ὑφιστάμεθα ζημίαν· γέγραπται γάρ· «δεῖ τὸ κακὸν ἐλθεῖν, οὐαὶ δὲ δι' οὗ ἔρχεται». Ἐὰν δέ τις, μὴ ἀρκούμενος τῇ ἀπαλλαγῇ, σπουδάζῃ τοὺς ἀντιδίκους αὐτοῦ κακῶς παθεῖν, τοῦτο χεῖρον πάντων ἐστί, καὶ πλεῖον παροργίζει τὸν Θεόν, τὸν εἰπόντα, «μὴ ἀνταποδιδόναι κακὸν ἀντὶ κακοῦ», καὶ τὸ «ἄφετε, καὶ ἀφεθήσεται ὑμῖν».

4. Ματθ. 16,26. 5. Πρβλ. Λουκᾶ 17,1.

᾽Απόκριση

Δὲν λέγει αὐτό, νὰ τὸ δώσεις δηλαδὴ σ᾽ αὐτὸν ποὺ θέλει ἁπλῶς νὰ τὸ πάρει, ἀλλὰ σ᾽ ἐκεῖνον ποὺ θέλει νὰ κριθεῖ μὲ σένα, πρᾶγμα ποὺ σημαίνει ἀπανθρωπιὰ καὶ δικαστήρια, τὰ ὁποῖα γεννοῦν βλάβη στὴν ψυχή· διότι λέγει· «ποιό τὸ ὄφελος στὸν ἄνθρωπο, ἂν κερδίσει ὅλο τὸν κόσμο καὶ ζημιωθεῖ στὴν ψυχή του;»[4].

670

᾽Ερώτηση

᾽Επειδὴ λοιπὸν ὑπάρχουν μερικοὶ ποὺ ἔχουν πείρα τῶν δικαστηρίων καὶ δὲν βλάπτονται κατὰ τὸν ἴδιο τρόπο μὲ τοὺς ἄπειρους σ᾽ αὐτά, ἄραγε εἶναι καλὸ νὰ κινοῦν τέτοιες ὑποθέσεις οἱ ἴδιοι;

᾽Απόκριση

Εὰν ἔχουν πείρα τῶν δικαστηρίων, ἀλλὰ εἴμαστε καὶ μεῖς ποὺ τοὺς δίνομε αἰτία τῆς βλάβης· πλὴν ὅμως σὲ σύγκριση κακῶν, ἐκεῖνο δὲν εἶναι ἐλαφρότερο· διότι τὸ νὰ κινήσομε δίκες μόνοι μᾶς ὁδηγεῖ σὲ ἀπώλεια ψυχῆς. Ἂν ὅμως καὶ ἐκεῖνοι βλάπτονται ὅμοια μὲ μᾶς, γινόμαστε ἐμεῖς αἴτιοι τῆς βλάβης τους, καὶ ἡ ἁμαρτία ἀνατρέχει σὲ μᾶς καὶ ἔχομε τὴν ἴδια ζημία· διότι ἔχει γραφεῖ, «πρέπει νὰ ἔρθει τὸ κακό, ἀλλοίμονο ὅμως σ᾽ ἐκεῖνον μὲ τὸν ὁποῖο ἔρχεται»[5]. Ἂν ὅμως κάποιος, μὴ ἀρκούμενος στὴν ἀπαλλαγή, προσπαθεῖ νὰ κακοπάθουν οἱ ἀντίδικοι, αὐτὸ εἶναι χειρότερο ὅλων, καὶ παροργίζει περισσότερο τὸν Θεὸ ποὺ εἶπε· «νὰ μὴ ἀνταποδίδετε κακὸ ἀντὶ κακοῦ»[6], καὶ «συγχωρέστε, καὶ θὰ συγχωρηθεῖτε»[7].

6. Α΄ Πέτρ. 3,9.
7. Ματθ. 6,14.

ΧΟΑ'

Ἐρώτησις

Ὅταν ᾖ χρεία μαρτυρῆσαι περὶ ἀληθινοῦ φονέως, δὴ ψεύσασθαι, ἵνα μὴ ἀποθάνῃ;

Ἀπόκρισις

Ἐὰν ἐν μηδενὶ ψεύσῃ, μηδ' ἐν τούτῳ· γέγραπται γάρ· «μὴ ἐλεήσῃς πτωχὸν ἐν κρίσει»· ἐὰν γὰρ ᾖ θέλημα Θεοῦ οὐκ ἀποθνήσκει. Εἰ δέ τις καὶ εἰς ἄλλα ψεύδεται καὶ θέλει, καὶ εἰς τοῦτο ψευσάσθω, ὡς ἔθος ἔχει· γέγραπται γὰρ «ὁ ποιῶν τὴν ἁμαρτίαν, ποιεῖ καὶ τὴν ἀνομίαν». Ἐγὼ εἰς τοῦτο πράγματα οὐκ ἔχω. Ἐὰν δὲ οὐκ ἔχῃς ἀνάγκην μαρτυρῆσαι, χρείαν ἔχεις εἰπεῖν μηδέν· παροιμία γάρ ἐστιν ὠφέλιμος, ὅτι 'τὸ εἰπεῖν οὐκ οἶδα, οὐ βάλλει εἰς φυλακήν'.

ΧΟΒ'

Ἐρώτησις

Ἐάν τις ἔχῃ χρεώστας εὐπόρους, ὀφείλει ἀπαιτῆσαι παρ' αὐτῶν τόκους, ἐὰν δὲ ἀπόρους, ἀπολάβῃ παρ' αὐτῶν τὸ κεφάλαιον;

Ἀπόκρισις

Γέγραπται περὶ τοῦ δικαίου, τὸ ἀργύριον αὐτοῦ, «οὐκ ἔδωκεν ἐπὶ τόκῳ»· τοῦτο δὲ σημαίνει, ἵνα τὸ κεφάλαιον λάβωμεν.

---

8. Ἐξ. 23,3.

671

Ἐρώτηση

῞Οταν ὑπάρχει ἀνάγκη νὰ μαρτυρήσω γιὰ ἕνα ἀληθινὸ φονιά, πρέπει νὰ πῶ ψέματα γιὰ νὰ μὴ πεθάνει;

Ἀπόκριση

Αν δὲν πεῖς ψέματα σὲ κανένα πρᾶγμα, νὰ μὴ πεῖς οὔτε σ' αὐτό· διότι ἔχει γραφεῖ «νὰ μὴ λυπηθεῖς φτωχὸ σὲ δίκη»[8]· διότι, ἂν δὲν εἶναι θέλημα Θεοῦ, δὲν θὰ πεθάνει. ῎Αν πάλι ψεύδεται κανεὶς καὶ σὲ ἄλλα πράγματα, καὶ θέλει, ἂς ψευσθεῖ καὶ σ' αὐτό, ὅπως εἶναι συνήθειά του· διότι ἔχει γραφεῖ «αὐτὸς ποὺ κάνει τὴν ἁμαρτία, κάνει καὶ τὴν ἀνομία»[9]. Ἐγὼ δὲν ἔχω λόγο σ' αὐτό. ῎Αν ὅμως δὲν ἔχεις πίεση νὰ μαρτυρήσεις δὲν χρειάζεται νὰ πεῖς τίποτε· διότι ὑπάρχει μιὰ ὠφέλιμη παροιμία ποὺ λέγει· 'τὸ νὰ πεῖς δὲν γνωρίζω, δὲν σὲ βάζει σὲ φυλακή'.

672

Ἐρώτηση

῎Αν κανεὶς ἔχει εὔπορους χρεῶστες, ὀφείλει νὰ ζητήσει τόκους ἀπὸ αὐτούς, ἂν ὅμως εἶναι ἄποροι, νὰ πάρει ἀπὸ αὐτοὺς μόνο τὸ κεφάλαιο;

Ἀπόκριση

Εχει γραφεῖ γιὰ τὸν δίκαιο· «δὲν ἔδωσε τὸ ἀργύριό του μὲ τόκο»[10]· αὐτὸ σημαίνει νὰ πάρομε μόνο τὸ κεφάλαιο.

---

9. Α΄ Ἰω. 3,4.
10. Ψαλμ. 14,5.

ΧΟΓ'

Ἐρώτησις

Ἐὰν δὲ ἀδυνατίσωσί τινες αὐτῶν;

Ἀπόκρισις

Καὶ περὶ τούτων ἐγράφη, «ἐὰν πτωχεύσῃ ὁ ἀδελφός σου, μὴ θλίψῃς αὐτὸν ἐν τῇ ἀπαιτήσει».

ΧΟΔ'

Ἐρώτησις

Ἐὰν δὲ αὐτὸς πένηται κἀγὼ πένομαι, μὴ ἁμαρτάνω ἀπαιτῶν αὐτὸν διὰ τὴν ἀνάγκην μου;

Ἀπόκρισις

Οὐχ ἁμαρτάνεις· πλήν, ὅσον ἐνδέχεται, καλόν ἐστι μὴ θλῖψαί τινα τὸν ἀδελφὸν αὐτοῦ μὴ εὐποροῦντα δοῦναι.

ΧΟΕ'

Ἐρώτησις

Ὅτε ζημιοῦμαι καὶ οὐ λυπεῖται ἡ καρδία μου, λέγει μοι ὁ λογισμὸς ὅτι 'τοῦτο ὠμότης ἐστίν, ἀλλ' ὀφείλεις λυπηθῆναι μέν, εὐχαριστεῖν δέ'· εἰ καλῶς λέγει μοι;

673

Ἐρώτηση

Ἂν ὅμως ἀδυνατίσουν νὰ δώσουν μερικοὶ ἀπὸ αὐτούς;

Ἀπόκριση

Καὶ γι' αὐτὸ ἔχει γραφεῖ· «ἂν πτωχεύσει ὁ ἀδελφός σου, νὰ μὴ τὸν θλίψεις μὲ τὴν ἀπαίτηση»[11].

674

Ἐρώτηση

Ἐὰν αὐτὸς εἶναι φτωχός, ἀλλὰ καὶ ἐγὼ εἶμαι φτωχός, μήπως ἁμαρτάνω, ἂν ἀπαιτῶ ἀπὸ αὐτὸν τὰ χρήματα γιὰ τὴν ἀνάγκη μου;

Ἀπόκριση

Δὲν ἁμαρτάνεις· πλήν, ὅσο γίνεται, εἶναι καλὸ νὰ μὴ θλίψει κανεὶς τὸν ἀδελφό του νὰ τοῦ δώσει, ἂν δὲν εἶναι εὔπορος.

675

Ἐρώτηση

Ὅταν ζημιώνομαι καὶ δὲν λυπᾶται ἡ καρδιά μου, ὁ λογισμὸς μοῦ λέγει ὅτι αὐτὸ εἶναι ὠμότητα· ὀφείλεις, μοῦ λέγει, νὰ λυπηθεῖς βέβαια, ἀλλὰ νὰ εὐχαριστεῖς. Μοῦ λέγει καλῶς;

---

11. Σοφ. Σειρ. 31,31.

Ἀπόκρισις

Οὐ δεῖ ἐπὶ πράγματι τοῦ κόσμου τούτου λυπηθῆναι ὅλως, ἀλλ᾽ ἐπὶ μόνῃ τῇ ἁμαρτίᾳ.

ΧΟΣ´

Ἐρώτησις

Τὸ «χαίρειν μετὰ χαιρόντων καὶ κλαίειν μετὰ κλαιόντων», πῶς ἐστι;

Ἀπόκρισις

Τὸ χαίρειν μετὰ χαιρόντων ἐστί, τὸ συγχαίρειν τοῖς κατορθοῦσι τὴν κατὰ Θεὸν ἀρετὴν καὶ τῇ ἐλπίδι τῶν μελλόντων ἀγαθῶν εὐφραινομένοις· τὸ δὲ κλαίειν μετὰ κλαιόντων, τὸ συμπάσχειν τοῖς ἁμαρτάνουσιν ἐπὶ τῇ μετανοίᾳ τῆς ἁμαρτίας.

ΧΟΖ´

Ἐρώτησις

Ἐὰν ἐμοὶ ἀγαπητὸς ἀποβάλῃ τέκνον αὐτοῦ ἢ πράγματα καὶ λυπῆται, πῶς ὀφείλω συλλυπηθῆναι αὐτῷ ὡς ἀγαπητῷ;

Ἀπόκρισις

Ἐν τούτῳ αὐτῷ συλλυπεῖσθαι δεῖ, μήποτε, τῇ πολλῇ λύπῃ κρατούμενος, λογίσηταί τι ἐπιβλαβὲς τῇ ἑαυτοῦ ψυχῇ, μὴ φέρων εὐχαρίστως τὸ πρᾶγμα.

Ἀπόκριση

Δὲν πρέπει νὰ λυπηθεῖς ὁπωσδήποτε γιὰ πρᾶγμα αὐτοῦ τοῦ κόσμου, ἀλλὰ μόνο γιὰ τὴν ἁμαρτία.

676

Ἐρώτηση

Τὸ «νὰ χαίρεσαι μὲ ἐκείνους ποὺ χαίρονται καὶ νὰ κλαῖς μὲ ἐκείνους ποὺ κλαῖνε»[12], τί σημαίνει;

Ἀπόκριση

Τὸ «νὰ χαίρεσαι μαζὶ μὲ ἐκείνους ποὺ χαίρονται» σημαίνει νὰ συγχαίρεις ἐκείνους ποὺ κατορθώνουν τὴν κατὰ Θεὸν ἀρετὴ καὶ εὐφραίνονται μὲ τὴν ἐλπίδα τῶν μελλόντων ἀγαθῶν· τὸ «νὰ κλαῖς μαζὶ μὲ ἐκείνους ποὺ κλαῖνε», σημαίνει νὰ συμπάσχεις μαζὶ μὲ ἐκείνους ποὺ ἁμαρτάνουν καὶ μετανοοῦν γιὰ τὴν ἁμαρτία τους.

677

Ἐρώτηση

Ἂν κάποιος ἀγαπητὸς σὲ μένα χάσει τὸ τέκνο του ἢ πράγματα καὶ λυπᾶται, πῶς πρέπει νὰ τὸν συλλυπηθῶ σὰν ἀγαπητό;

Ἀπόκριση

Πρέπει νὰ τὸν συλλυπηθεῖς κατὰ τέτοιον τρόπο, ὥστε νὰ μὴ κυριευθεῖ ἀπὸ τὴν πολλὴ λύπη καὶ σκεφθεῖ κάτι ἐπιβλαβὲς γιὰ τὴν ψυχή του, μὴ ὑποφέροντας εὐχάριστα τὸ πρᾶγμα.

---

12. Ρωμ. 12,15.

ΧΟΗ'

Ἐρώτησις

Ἐπειδὴ γέγραπται, «μακάριοι οἱ εἰρηνοποιοί», ἆρα καλόν ἐστι σπουδάζειν εἰς τὴν πάντων εἰρήνην;

Ἀπόκρισις

Τὸ τὴν ἰδίαν καρδίαν εἰρηνοποιεῖν κάλλιόν ἐστι, καὶ τοῦτο ἑκάστῳ ἁρμόζει, καὶ μακάριος ὁ τοῦτο ποιῶν. Τὸ δὲ εἰρηνοποιεῖν τοὺς μαχομένους, οὐκ ἔστιν ἑκάστου, ἀλλὰ τῶν δυναμένων ἀβλαβῶς τοῦτο παρελθεῖν· ὁ δὲ ἀσθενὴς χαίρειν ὀφείλει ἐπὶ τῇ πάντων εἰρήνῃ, μὴ παρεμβαλεῖν δὲ αὐτὸν εἰς τὴν μεσιτείαν τῆς ἑκάστου εἰρήνης, εἰμὴ τῶν αὐτοῦ κατὰ Θεὸν ἀγαπητῶν, καὶ τοῦτο ὅταν μὴ πρόκειται αὐτῷ ζημία ψυχῆς.

ΧΟΘ'

Ἐρώτησις

Ὅταν κατὰ Θεὸν πρᾶγμα ποιῶ καὶ ἐξουθενῶμαι παρ' ἀνθρώπων, λυποῦμαι ὡς σκανδαλίζων αὐτούς.

Ἀπόκρισις

Ἐὰν ἐξουδενωθῇς ἀδίκως μὴ λυπηθῇς· ὁ γὰρ διάβολος φθονεῖ τῷ ἀγαθῷ καὶ εἰς ἐκκοπὴν αὐτοῦ κινεῖ ταῦτα, ἀλλ' ὕστερον καταργεῖται καὶ εἰς δόξαν φέρει τὸ πρᾶγμα ὁ Θεός. Ἐὰν δὲ ἁμαρτάνων, δικαίως ἐξουδενωθῇς, αἰσχύνην σεαυτῷ φέρεις· ἀλλ' ἐὰν μετανοήσῃς, εἰς χαρὰν τοῦτο μεταβάλλεται.

678

Ἐρώτηση

Ἐπειδὴ ἔχει γραφεῖ, «μακάριοι εἶναι οἱ εἰρηνοποιοί»[13], ἄραγε εἶναι καλὸ νὰ φροντίζομε γιὰ τὴν εἰρήνη ὅλων;

Ἀπόκριση

Εἶναι καλύτερο τὸ νὰ εἰρηνοποιεῖ κανεὶς τὴν καρδιά του· καὶ αὐτὸ ἁρμόζει στὸν καθένα, καὶ μακάριος εἶναι ἐκεῖνος ποὺ κάνει αὐτό. Τὸ νὰ εἰρηνοποιεῖ ὅμως ἐκείνους ποὺ μάχονται δὲν εἶναι τοῦ καθενός, ἀλλὰ ἐκείνων ποὺ μποροῦν νὰ παρέλθουν αὐτὸ χωρὶς βλάβη. Ὁ ἀσθενὴς ὀφείλει νὰ χαίρεται μὲ τὴν εἰρήνη ὅλων, νὰ μὴ ἐπιχειρεῖ ὅμως νὰ μεσιτεύει γιὰ τὴν εἰρήνη τοῦ καθενός, παρὰ μόνο τῶν ἀγαπητῶν του κατὰ Θεόν, καὶ αὐτὸ νὰ τὸ κάνει, ὅταν δὲν ὑπάρχει γι' αὐτὸν ζημία ψυχῆς.

679

Ἐρώτηση

Ὅταν κάνω ἕνα πρᾶγμα ἀρεστὸ στὸν Θεὸ καὶ ἐξουθενώνομαι ἀπὸ τοὺς ἀνθρώπους, λυπᾶμαι σὰν νὰ τοὺς σκανδαλίζω.

Ἀπόκριση

Ἂν ἐξουθενωθεῖς ἄδικα νὰ μὴ λυπηθεῖς· διότι ὁ διάβολος φθονεῖ τὸ ἀγαθὸ καὶ κινεῖ αὐτὰ τὰ πράγματα γιὰ ἀποκοπή του, ἀλλὰ ὕστερα καταργεῖται καὶ ὁ Θεὸς φέρει σὲ δόξα τὸ πρᾶγμα. Ἂν ὅμως ἐξουθενωθεῖς δίκαια ἐπειδὴ ἁμαρτάνεις, νοιώθεις τότε ντροπή, ἀλλά, ἐὰν μετανοήσεις, αὐτὸ μεταβάλλεται σὲ χαρά.

13. Ματθ. 5,9.

ΧΠ'

Ἐρώτησις

Ἄλλος φιλόχριστος πάσχων κακῶς παρά τινος, ἐδήλωσε τῷ αὐτῷ γέροντι περὶ τούτου.

Ἀπόκρισις

Αγαθοποίησον αὐτῷ.

ΧΠΑ'

Ἐρώτησις

Τοῦτο ποιῶν πάλιν ἔπασχε κακῶς παρ' αὐτοῦ, καὶ ἐδήλωσε πάλιν τῷ γέροντι λέγων.

Ἰδού, ἀγαθοποιῶ αὐτὸν καὶ οὐ παύεται κακοποιῶν με.

Ἀπόκρισις

Ουκ ἐκείνῳ ποιεῖς τὸ ἀγαθόν, ἀλλὰ σαυτῷ, τοῦ Κυρίου εἰπόντος, «εὖ ποιεῖτε τοὺς ἐχθροὺς ὑμῶν», καὶ «εὔχεσθαι ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς», ἕκαστος γὰρ κατὰ τὸ ἴδιον ἔργον ἀπολαμβάνει.

ΧΠΒ'

Ἐρώτησις

Ἄλλος φιλόχριστος ξενοδοχῶν πατέρας ἠρώτησε τὸν αὐτὸν γέροντα.

Τί ποιήσω, ὅτι ἀεὶ θλίβομαι; Ὅτι τις τῶν πατέρων ἔρχεται, καὶ οὐχ εὑρίσκω παραβαλεῖν αὐτῷ ἀναγκαῖα πράγματα.

---

14. Λουκᾶ 6,28.

680

Ἐρώτηση

Ἄλλος φιλόχριστος ποὺ κακοπάθαινε ἀπὸ κάποιον, τὸ ἀνέφερε αὐτὸ στὸν ἴδιο γέροντα.

Ἀπόκριση

Εὐεργέτησέ τον.

681

Ἐρώτηση

Ἂν καὶ τὸ ἔκανε αὐτὸ πάλι κακοπάθαινε ἀπ' αὐτόν, καὶ τὸ ἀνέφερε πάλι στὸν γέροντα λέγοντας.

Νά, τὸν εὐεργετῶ καὶ δὲν σταματᾶ νὰ μὲ κακοποιεῖ.

Ἀπόκριση

Δὲν κάνεις σ' ἐκεῖνον τὸ καλό, ἀλλὰ στὸν ἑαυτό σου· διότι ὁ Κύριος εἶπε· «νὰ εὐεργετεῖτε τοὺς ἐχθρούς σας καὶ νὰ προσεύχεσθε ὑπὲρ ἐκείνων ποὺ σᾶς πειράζουν»[14]· διότι ὁ καθένας ἀπολαμβάνει σύμφωνα μὲ τὸ ἔργο του.

682

Ἐρώτηση

Ἄλλος φιλόχριστος, ποὺ φιλοξενοῦσε πατέρες, ἐρώτησε τὸν ἴδιο γέροντα.

Τί νὰ κάνω, ἐπειδὴ πάντοτε θλίβομαι; Διότι ἔρχεται κάποιος ἀπὸ τοὺς πατέρες, καὶ δὲν βρίσκω νὰ τοῦ προσφέρω τὰ ἀναγκαῖα πράγματα.

Ἀπόκρισις

Οὗτος διαβολικός ἐστιν ὁ λογισμός. Ἀρκεῖ γὰρ αὐτοῖς παραθεῖναι τὰ εὑρισκόμενα, κατὰ τὸ εἰρημένον «ἀρκούμενοι τοῖς παροῦσι», καὶ ὁ Θεὸς αὐτοὺς πληροφορεῖ. Ἐὰν γάρ τις ζητῇ ταῦτα τὰ πράγματα οὐ δύναται ξενοδοχῆσαι, ἀλλ' εὔχεται μηδένα ἐλθεῖν πρὸς αὐτόν. Ἐὰν οὖν ἔχων τι παραθεῖναι, φείδῃ αὐτοῦ κατὰ σκνιπείαν, κἂν μυριάκις αὐτοὺς θεραπεύσῃς, οὐ πληροφορεῖται ἡ καρδία αὐτῶν, εἰμή τι τοῦ πράγματος χρῄζεις εἰς ἄλλην χρείαν ἀναγκαιοτέραν, ἢ δόσει τυχὸν ἀσθενούντων, ἢ προσώπων τιμιωτέρων· πάντα γὰρ χρὴ ποιεῖν μετὰ διακρίσεως καὶ φόβου Θεοῦ. Ἐὰν δέῃ δὲ καὶ σὲ ἀπελθεῖν πούποτε, μὴ προσδόκα εὑρεῖν ἀνάπαυσιν, καὶ οὐ ταράττῃ· ἐὰν γὰρ προσδοκήσῃς καὶ μὴ εὕρῃς, καταλαλεῖς τὸν δεχόμενον καὶ ἡ καταλαλιὰ θάνατός ἐστι τῇ ψυχῇ, ἀλλ' εὐχαρίστει ἐν πᾶσι· αὕτη γάρ ἐστιν ἡ πνευματικὴ καὶ ψυχωφελὴς τροφὴ καὶ ἀνάπαυσις.

ΧΠΓ'

Ἐρώτησις

Τί οὖν; εἰ οὐκ ἐδέξαντό με ὅλως καὶ εἰμὶ κεκοπωμένος ἐκ τῆς ὁδοιπορίας καὶ χρῄζω τροφῆς;

Ἀπόκρισις

Ἐνθυμήθητι τίς ὁ πάντων φροντίζων καὶ πάντας τρέφων· ὅτι ὁ Θεός ἐστιν. Εἰ οὖν ἤθελεν ὁ Θεὸς τραφῆναί σε, ἐπληροφόρει αὐτοὺς δέξασθαί σε, μὴ δεξαμένων δὲ αὐτῶν, δῆλόν ἐστιν, ὅτι ὁ Θεὸς οὐ θέλει καὶ οὔκ εἰσιν αὐτοὶ αἴτιοι· πάντα γὰρ γίνεται εἰς δοκιμὴν καὶ σωτηρίαν τοῦ ἀνθρώπου, ἵνα ὑπομείνῃ καὶ ἑαυτὸν μέμφηται ἐν πᾶσιν ὡς ἀνάξιον.

---

15. Ἑβρ. 13,5.

Ἀπόκριση

Αὐτὸς ὁ λογισμὸς εἶναι διαβολικός· διότι εἶναι ἀρκετὸ σ' αὐτοὺς νὰ τοὺς παραθέσεις αὐτὰ ποὺ βρίσκονται, σύμφωνα μὲ τὸ λόγο, «ἀρκούμενοι στὰ παρόντα»[15] καὶ ὁ Θεὸς τοὺς πληροφορεῖ. Ἂν κάποιος ζητᾶ αὐτὰ τὰ πράγματα, δὲν μπορεῖ νὰ φιλοξενήσει, ἀλλ' εὔχεται νὰ μὴ ἔρθει κανένας πρὸς αὐτόν. Ἂν λοιπόν, ἐνῶ ἔχεις νὰ παραθέσεις κάτι, τὸ λυπᾶσαι ἀπὸ φιλαργυρία, κι ἂν ἀκόμα χιλιάδες φορὲς τοὺς περιποιηθεῖς, δὲν πληροφορεῖται ἡ καρδιά τους, ἐκτὸς ἐὰν χρησιμοποιήσεις τὸ πρᾶγμα σὲ ἀναγκαιότερη ἀνάγκη, ἢ τὸ δώσεις τυχὸν σὲ ἀσθενεῖς ἢ σὲ πρόσωπα τιμιώτερα· διότι ὅλα πρέπει νὰ τὰ κάνεις μὲ διάκριση καὶ φόβο Θεοῦ. Ἐὰν χρειαστεῖ ὅμως καὶ σὺ νὰ ταξιδέψεις καμμιὰ φορὰ κάπου, νὰ μὴ περιμένεις νὰ βρεῖς ἀνάπαυση, καὶ δὲν θὰ ταραχθεῖς· διότι, ἂν περιμένεις καὶ δὲν βρεῖς, καταλαλεῖς αὐτὸν ποὺ σὲ δέχεται καὶ ἡ καταλαλιὰ εἶναι θάνατος στὴν ψυχή, ἀλλὰ νὰ εὐχαριστεῖς γιὰ ὅλα· διότι αὐτὴ εἶναι ἡ πνευματικὴ καὶ ψυχωφελὴς τροφὴ καὶ ἀνάπαυση.

683

Ἐρώτηση

Τί λοιπὸν πρέπει νὰ κάμω, ἂν δὲν μὲ δεχθοῦν καθόλου καὶ εἶμαι κουρασμένος ἀπὸ τὴν ὁδοιπορία καὶ χρειάζομαι τροφή;

Ἀπόκριση

Θυμήσου ποιός εἶναι ἐκεῖνος ποὺ φροντίζει ὅλους καὶ τρέφει ὅλους· καὶ αὐτὸς εἶναι ὁ Θεός. Ἂν λοιπὸν ἤθελε ὁ Θεὸς νὰ τραφεῖς ἐσύ, θὰ τοὺς πληροφοροῦσε νὰ σὲ δεχθοῦν· ἂν ὅμως ἐκεῖνοι δὲν σὲ δεχθοῦν, εἶναι φανερό, ὅτι ὁ Θεὸς δὲν θέλει καὶ δὲν εἶναι αἴτιοι ἐκεῖνοι· διότι ὅλα γίνονται πρὸς δοκιμασία καὶ σωτηρία τοῦ ἀνθρώπου, γιὰ νὰ ὑπομείνει καὶ νὰ κατακρίνει τὸν ἑαυτό του σὲ ὅλα σὰν ἀνάξιο.

ΧΠΔ'

Ἐρώτησις

Ἄλλος φιλόχριστος ἠρώτησε τὸν αὐτὸν γέροντα Ἰωάννην.

Ὁ λογισμὸς ἐμβάλλει μοι δειλίαν, ὅτι 'δύναται ὁ διάβολος ποιῆσαί σε ἁμαρτῆσαι, κἂν σὺ μὴ θέλῃς, ὑπεύθυνος γὰρ αὐτῷ ἐγένου', καὶ πάνυ θλίβομαι ἐκ τούτου.

Ἀπόκρισις

Περὶ τοῦ διαβόλου μὴ ἔχε ὅτι ἐξουσίαν ἔχει κατά τινος, ἐπεὶ ἡ αἰτία τῆς ἁμαρτίας οὐ κατὰ προαίρεσιν ἡμετέραν εὑρίσκεται, ἀλλὰ κατὰ ἀνάγκην τοῦ τὴν ἐξουσίαν εἰληφότος. Καθὼς οὖν οὐκ ἔχει ὁ ἄνθρωπος ἀνάγκην σωτηρίας, οὐδ' ἁμαρτίας. Κατ' ἐξουσίαν ἠπάτησε τὴν Εὔαν ἢ κατὰ συμβουλίαν; Οὐδαμοῦ φαίνεται ἐξουσία, ἐπεὶ οὐδεὶς ἐτόλμα φυγεῖν ἔχοντα τὴν ἐξουσίαν. Ἡμεῖς οὖν τοιοῦτοί ἐσμεν, ὥσπερ ἄνθρωπος ἐλεύθερος δουλωθείς τινι τῇ ἰδίᾳ προαιρέσει, καὶ καιρῷ ἔρχεται εἰς ἑαυτὸν καὶ μετανοεῖ. Καὶ ἐὰν μὴ προσφύγῃ πρὸς δυνατώτερον ἐκείνου, οὐ δύναταί τις αὐτὸν ἐξελέσθαι· ἐὰν δὲ προσφύγῃ, λοιπὸν ἐκεῖνος εἰδὼς ὅτι οὐκ ἔστιν αὐτοῦ δοῦλος εἰδικῶς, οὐ τολμᾷ τι ποιῆσαι αὐτῷ διὰ τὸν ἰσχυρότερον αὐτοῦ. Οὐκοῦν δῆλόν ἐστιν ὅτι ἐξουσίαν ἀνθρώπου οὐκ ἔχει.

Καὶ σὺ οὖν εἰπὲ τῷ λογισμῷ· 'Τὸ μὲν χρεώστης, χρεώστης εἰμί, ἀλλὰ προσέφυγον πρὸς τὸν δυνάμενον ἐλευθερῶσαι καὶ καλέσαντά με καὶ λέγοντα, «δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι κἀγὼ ἀναπαύσω ὑμᾶς», καὶ ὀφείλω πάντοτε γρηγορεῖν, ἵνα μὴ πάλιν ἐμπέσω εἰς τὰς χεῖρας αὐτοῦ'. Ἐὰν δὲ πάλιν εἴπῃ ὁ λογισμός, καὶ ἐπεὶ οὐ δύναταί σε ἀναγκάσαι ἁμαρτῆσαι, 'ἰδοὺ ἀναμάρτητος εὑρίσκῃ' καὶ βαρῇ σε ἐκ τούτου τοῦ

---

16. Ματθ. 11,28.

684

Ἐρώτηση

Ἄλλος φιλόχριστος ἐρώτησε τὸν ἴδιο γέροντα Ἰωάννη·

Ὁ λογισμός μοῦ βάζει δειλία, λέγοντάς μου· 'μπορεῖ ὁ διάβολος νὰ σὲ κάνει νὰ ἁμαρτήσεις κι ἂν ἀκόμη δὲν θέλεις, διότι ἔγινες ὑπεύθυνος σ' αὐτόν'. Καὶ πολὺ θλίβομαι ἀπὸ αὐτό.

Ἀπόκριση

Όσο γιὰ τὸν διάβολο νὰ μὴ νομίσεις ὅτι ἔχει ἐξουσία ἐναντίον κάποιου, διότι ἡ αἰτία τῆς ἁμαρτίας δὲν βρίσκεται τότε στὴ δική μας προαίρεση, ἀλλὰ στὴν ἀνάγκη ἐκείνου ποὺ ἔχει λάβει τὴν ἐξουσία, καὶ τότε ὁ ἄνθρωπος δὲν ἔχει ἀνάγκη σωτηρίας, οὔτε εἶναι ὑπεύθυνος ἁμαρτίας. Μὲ ἐξουσία ἀπάτησε τὴν Εὔα ἢ μὲ συμβουλή; Πουθενὰ δὲν φαίνεται ἐξουσία, διότι κανένας δὲν θὰ τολμοῦσε νὰ φύγει ἂν ὁ διάβολος εἶχε τὴν ἐξουσία. Ἐμεῖς λοιπὸν εἴμαστε τέτοιοι, ὅπως ὁ ἐλεύθερος ἄνθρωπος ποὺ ὑποδουλώθηκε σὲ κάποιον μὲ δική του προαίρεση καὶ μὲ τὸν καιρὸ ἔρχεται στὸν ἑαυτό του καὶ μετανοεῖ. Καὶ ἂν δὲν προσφύγει σὲ δυνατώτερο ἀπὸ ἐκεῖνον, δὲν μπορεῖ κανεὶς νὰ τὸν ἐλευθερώσει· ἂν ὅμως προσφύγει, ὁ διάβολος τότε, ἐπειδὴ γνωρίζει ὅτι δὲν εἶναι δοῦλος αὐτοῦ εἰδικῶς, δὲν τολμᾶ νὰ κάνει κάτι σ' αὐτόν, ἐπειδὴ αὐτὸς εἶναι ἰσχυρότερος. Εἶναι φανερὸ ἑπομένως ὅτι δὲν ἔχει ἐξουσία ἀνθρώπου.

Καὶ σὺ λοιπὸν πὲς στὸν λογισμό· 'Εἶμαι χρεώστης, ἀλλὰ προσέφυγα σ' Ἐκεῖνον ποὺ μπορεῖ νὰ μὲ ἐλευθερώσει καὶ σ' Ἐκεῖνον ποὺ μὲ κάλεσε καὶ ποὺ λέγει· «ἐλᾶτε κοντά μου ὅλοι οἱ κουρασμένοι καὶ οἱ φορτωμένοι καὶ γὼ θὰ σᾶς ἀναπαύσω»[16], καὶ ὀφείλω πάντοτε νὰ ἐπαγρυπνῶ, γιὰ νὰ μὴ πέσω πάλι στὰ χέρια του'. Ἂν ὅμως πάλι, ἐπειδὴ δὲν μπορεῖ ὁ διάβολος νὰ σὲ ἀναγκάσει νὰ ἁμαρτήσεις, σοῦ πεῖ ὁ λογισμός, 'εἶσαι ἀναμάρτητος', καὶ σὲ βαραίνει μὲ αὐτὸν τὸν λογισμό, πές του. "Ἂν μοῦ

λογισμοῦ, εἰπὲ αὐτῷ· "Ἐὰν εἴπῃς μοι ὅτι οὐκ ἔτι ἁμαρτάνω, οὐ πιστεύω σοι, ἐὰν μὴ καταλάβω τὴν πόλιν'. Ἐὰν γὰρ ἀνύσῃ τις τὴν ὁδὸν ὅλην καὶ ἔχῃ ἄλλο ἓν μίλιον, κἀκεῖ ἀναπέσῃ, οὐδὲν ὠφέλησεν· ἔξω γάρ ἐστι τῆς πόλεως.

Ἔμπροσθεν οὖν τοῦ Θεοῦ ῥίψωμεν τὴν ἀδυναμίαν, καὶ αὐτὸς καταργήσει τὰ κατὰ σοῦ μηχανήματα, εὐχαῖς πάντων τῶν ἁγίων αὐτοῦ. Ἀμήν.

ΧΠΕ'

Ἐρώτησις

Ἐπειδὴ τὰ χωρία μου ἡ ἀκρὶς βλάπτει, κἂν διώξω οἱ γείτονες μάχονται μεθ' ἡμῶν, κἂν ἐάσω βλάπτομαι, τί ποιήσω;

Ἀπόκρισις

Ἁγίασμα λάβε καὶ βάλε εἰς τὰ χωρία, κἂν μετ' εἰρήνης δυνηθῇς καὶ ἄνευ μάχης διῶξαι ἢ καταχῶσαι, οὐκ ἔστι σοι ἁμαρτία, ἐὰν δὲ μάχη γίνηται, πρὸς τὸ συμφέρον τῆς ψυχῆς σου, ἄφες τὸ πρᾶγμα τῷ Θεῷ, καὶ ὃ δ' ἂν γένηται θελήματι Θεοῦ γίνεται.

ΧΠΣΤ'

Ἐρώτησις

Τί γὰρ Δέσποτα; ὅλως ὀφείλομεν διῶξαι τὴν ὀργὴν τοῦ Θεοῦ; οὐ παροργίζομεν ἐν τούτῳ τὸν Θεόν;

Ἀπόκρισις

Οἱ μὲν τέλειοι οὐ διώκουσιν αὐτήν, ἔχουσι γὰρ ὅλην τὴν ἐλπίδα αὐτῶν εἰς τὸν Θεόν· ἀλλ' ἡμεῖς, ἐπειδὴ σαρκικοί ἐσμεν καὶ δεόμεθα τῶν γηΐνων, κατακρίνοντες ἡμᾶς αὐτοὺς ὡς ἁμαρτάνοντας, ἐν τούτῳ διώξωμεν, μετὰ προσ-

πεῖς ὅτι δὲν ἁμαρτάνω πιά, δὲν σὲ πιστεύω, ἂν δὲν φθάσω τὴν πόλη'. Διότι, ἂν κανεὶς διανύσει ὅλο τὸν δρόμο καὶ ἔχει ἄλλο ἕνα μίλι, καὶ ἐκεῖ πέσει, καθόλου δὲν ὠφελήθηκε· διότι βρίσκεται ἔξω ἀπὸ τὴν πόλη.

Ἂς ρίξομε λοιπὸν τὴν ἀδυναμία μπροστὰ στὸν Θεὸ καὶ αὐτὸς θὰ καταργήσει τὶς μηχανορραφίες ἐναντίον σου, μὲ τὶς προσευχὲς ὅλων τῶν ἁγίων του. Γένοιτο.

685

Ἐρώτηση

Ἐπειδὴ ἡ ἀκρίδα βλάπτει τὰ χωράφια μου, κι ἂν τὴν διώξω, οἱ γείτονες μάχονται ἐναντίον μου, ἂν πάλι τὴν ἀφήσω, βλάπτομαι· τί νὰ κάνω;

Ἀπόκριση

Πάρε ἁγίασμα καὶ βάλε στὰ χωράφια, κι ἂν μπορεῖς μὲ εἰρήνη καὶ χωρὶς μάχη νὰ τὴν διώξεις ἢ νὰ τὴν σκοτώσεις, δὲν εἶναι ἁμαρτία γιὰ σένα, ἂν ὅμως γίνεται μάχη, ἄφησε τὸ πρᾶγμα στὸν Θεὸ γιὰ τὸ συμφέρον τῆς ψυχῆς σου, καὶ ὅ,τι κι ἂν γίνει, γίνεται μὲ τὸ θέλημα τοῦ Θεοῦ.

686

Ἐρώτηση

Τί λοιπόν, δέσποτα; πρέπει ὁπωσδήποτε νὰ διώξομε τὴν ὀργὴ τοῦ Θεοῦ; δὲν παροργίζομε μ' αὐτὸ τὸν Θεό;

Ἀπόκριση

Οἱ τέλειοι βέβαια δὲν τὴν διώχνουν, διότι ἔχουν ὅλη τὴν ἐλπίδα τους στὸν Θεό, ἐμεῖς ὅμως, ἐπειδὴ εἴμαστε σαρκικοὶ καὶ χρειαζόμαστε τὰ γήϊνα πράγματα, κατακρίνοντας τοὺς ἑαυτούς μας σὰν ἁμαρτωλούς, θὰ τὴ διώξομε μὲ

εὐχῆς καὶ ψαλμῳδίας, δεόμενοι τοῦ Θεοῦ, ἵνα συγχωρήσῃ ἡμῖν καὶ σπουδάζοντες τοῦ λοιποῦ εὐχαριστῆσαι αὐτῷ. Ἐὰν γὰρ καὶ τοῦτο παρέλθῃ, χείρονα τούτου ἐπιφέρουσιν ἡμῖν αἱ ἁμαρτίαι, καὶ οὐκ ἔνι δίχα μετανοίας καὶ ἐλέους παύσασθαι ἐξ ἡμῶν τὰ κακά· φησὶ γὰρ «μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται».

Καὶ μὴ εἴπῃς, 'καὶ διατί εἰς παιδείαν ἐπιφέρων ὁ Θεὸς τὴν ὀργήν, ἀνέχεται τῶν μὴ μετανοούντων, διωκόντων αὐτήν;' Ὁ γὰρ Θεὸς πρὸς ἀπειλὴν ἐπιφέρει τὴν ὀργήν, ἵνα μετανοήσωμεν, καὶ ἀνέχεται ἡμῶν διωκόντων, προσδεχόμενος τῇ μακροθυμίᾳ τὴν πρὸς αὐτὸν ἐπιστροφήν. Ἐὰν γὰρ ἐπιμένωμεν τοῖς αὐτοῖς καὶ μετὰ τὸ διῶξαι εἰς χείρονα ἐμπίπτομεν κακά, καὶ πληροῦται εἰς ἡμᾶς τὸ προφητικὸν ῥητόν, «ἰατρεύσαμεν τὴν Βαβυλῶνα, καὶ οὐκ ἰάθη», καὶ οὐκ ἔνι ἄλλο προσδοκῆσαι, εἰ μὴ τὴν κόλασιν τὴν αἰώνιον καὶ τὸ σκότος τὸ ἐξώτερον καὶ τὸν σκώληκα τὸν ἰοβόλον καὶ τὸν βρυγμὸν τῶν ὀδόντων.

ΧΠΖ'

Ἐρώτησις

Ἐπειδὴ ὃν θέλω ποιῆσαι οἶνον ἐν τῷ ἐμῷ ληνῷ, ἰουδαϊκός ἐστι, ἆρα μὴ ἁμαρτία ἐστί;

Ἀπόκρισις

Εἰ ὅτε βρέχει ὁ Θεὸς εἰς τὸ χωρίον σου βρέχει καὶ ἀφίησι τὸ τοῦ Ἰουδαίου, μηδὲ σὺ πατήσῃς οἶνον αὐτοῖς· εἰ δὲ φιλάνθρωπός ἐστιν εἰς πάντας καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους, διὰ τί σὺ θέλεις εἶναι ἀπάνθρωπος καὶ μὴ μᾶλλον οἰκτίρμων, ὡς αὐτὸς φησί, «γίνεσθε οἰκτίρμονες, ὡς ὁ Πατὴρ ἡμῶν ὁ οὐράνιος»;

---

17. Ματθ. 5,7.
18. Ἰερ. 28,9.

αὐτό, μὲ προσευχὴ καὶ ψαλμωδία, παρακαλώντας τὸν Θεὸ νὰ μᾶς συγχωρέσει καὶ φροντίζοντας στὸ ἑξῆς νὰ τὸν εὐχαριστήσομε. Διότι, καὶ ἂν περάσει καὶ αὐτό, οἱ ἁμαρτίες θὰ μᾶς προξενήσουν χειρότερα ἀπὸ αὐτό, καὶ δὲν εἶναι δυνατὸ χωρὶς μετάνοια καὶ ἔλεος νὰ σταματήσουν ἀπὸ μᾶς τὰ κακά· διότι λέγει· «μακάριοι εἶναι οἱ ἐλεήμονες, διότι αὐτοὶ θὰ ἐλεηθοῦν»[17].

Καὶ μὴ πεῖς· 'Γιατί, ἀφοῦ ὁ Θεὸς ἐπιφέρει τὴν ὀργὴ γιὰ παιδαγωγία, ἀνέχεται ἐκείνους ποὺ δὲν μετανοοῦν καὶ τὴν διώχνουν;' Διότι ὁ Θεὸς ἐπιφέρει τὴν ὀργὴ γιὰ ἀπειλή, γιὰ νὰ μετανοήσομε· καὶ ἀνέχεται ἐμᾶς ποὺ τὴν διώχνομε, προσδεχόμενος μὲ μακροθυμία τὴν ἐπιστροφὴ πρὸς αὐτόν. Ἂν ἐπιμένομε στὰ ἴδια, μετὰ ἀπὸ τὴν ἐκδίωξη πέφτομε σὲ χειρότερα κακά, καὶ πραγματοποιεῖται σὲ μᾶς τὸ προφητικὸ ρητό· «γιατρέψαμε τὴ Βαβυλώνα, καὶ δὲν γιατρεύτηκε»[18]. Καὶ δὲν εἶναι δυνατὸ νὰ περιμένομε τίποτε ἄλλο, παρὰ τὴν αἰώνια κόλαση, τὸ ἐξώτερο σκοτάδι, τὸ φαρμακερὸ σκουλήκι καὶ τὸν τρυγμὸ τῶν δοντιῶν.

687

Ἐρώτηση

Ἐπειδὴ τὸ κρασὶ ποὺ θέλω νὰ πατήσω στὸν ληνὸ εἶναι ἰουδαϊκό, ἄραγε μήπως εἶναι ἁμαρτία;

Ἀπόκριση

Αν, ὅταν βρέχει ὁ Θεός, βρέχει στὸ χωράφι σου καὶ ἀφήνει τὸ χωράφι τοῦ Ἰουδαίου, οὔτε ἐσὺ νὰ πατήσεις κρασὶ σ' αὐτούς· ἐφόσον ὅμως εἶναι φιλάνθρωπος πρὸς ὅλους καὶ βρέχει σὲ δικαίους καὶ ἀδίκους, γιατί ἐσὺ θέλεις νὰ εἶσαι ἀπάνθρωπος, καὶ ὄχι μᾶλλον οἰκτίρμων, ὅπως αὐτὸς λέγει, «νὰ γίνετε οἰκτίρμονες, ὅπως ὁ οὐράνιος Πατέρας μου»[19];

---

19. Λουκᾶ 6,36.

ΧΠΗ'

Ἐρώτησις

Ἐάν τις θαρρήσῃ μοι πρᾶγμα ἐντειλάμενος μηδενὶ εἰπεῖν καὶ ἄλλος ὁρκῇ με εἰπεῖν αὐτῷ, τί ποιήσω; Ἐὰν γὰρ εἴπω, λυπῶ τὸν θαρρήσαντα, ἐὰν μὴ εἴπω, λυπῶ τὸν ἐπερωτησαντά με· καὶ πάλιν φοβοῦμαι τὸν ὅρκον.

Ἀπόκρισις

Ο ὁρκίζων σε, αὐτὸς βαστάσει τὴν ἁμαρτίαν· οὐ χρὴ οὖν προφάσει τοῦ ὅρκου φανερῶσαι τὸ μυστήριον τοῦ ἀδελφοῦ. Εἰπὲ δὲ αὐτῷ· 'Εἰ σὺ ἐθάρρησάς μοι λόγον, ἡδέων εἶχες ἵνα αὐτὸν ἐκφάνω τινί; Εἰ οὖν σὺ οὐκ εἶχες ἡδέως, μηδὲ ἐπερωτήσῃς με εἰπεῖν σοι τὰ τοῦ ἀδελφοῦ· εἴρηται γὰρ «ὃ μισεῖς γενέσθαι σοι, μὴ ποιήσῃς τῷ πλησίον σου»· καὶ πάλιν· «εἴ τι θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως»'.

ΧΠΘ'

Ἐρώτησις

Πῶς ὀφείλω διακεῖσθαι, ὅτι πᾶς ἄνθρωπος δίκαιος, ἢ ὅτι πάντων ἀνθρώπων ἐγὼ ἁμαρτωλότερός εἰμι; δυσχεραίνει γὰρ ὁ λογισμὸς ἔχειν πάντα ἄνθρωπον δίκαιον.

Ἀπόκρισις

Ἔχε σεαυτὸν ἁμαρτωλότερον καὶ ἐλαχιστότερον πάντων, καὶ ἔχεις ἀνάπαυσιν.

---

20. Ματθ. 7,12.

688

Ἐρώτηση

Ἂν μοῦ ἐμπιστευθεῖ κάποιος κάτι δίνοντας ἐντολὴ νὰ μὴ τὸ πῶ σὲ κανέναν, καὶ κάποιος ἄλλος μὲ ὁρκίζει νὰ τοῦ τὸ πῶ, τί νὰ κάνω; Διότι, ἂν τὸ πῶ, θὰ λυπήσω ἐκεῖνον ποὺ μοῦ τὸ ἐμπιστεύθηκε, ἂν δὲν τὸ πῶ, θὰ λυπήσω αὐτὸν ποὺ μὲ ἐρώτησε· καὶ πάλι φοβᾶμαι τὸν ὅρκο.

Ἀπόκριση

Αὐτὸς ποὺ σὲ ὁρκίζει, αὐτὸς θὰ βαστάξει τὴν ἁμαρτία· δὲν πρέπει λοιπὸν μὲ τὴν πρόφαση τοῦ ὅρκου νὰ φανερώσεις τὸ μυστικὸ τοῦ ἀδελφοῦ. Πές του· "Ἂν ἐσὺ μοῦ ἔλεγες ἕνα λόγο, θὰ εὐχαριστιόσουν νὰ τὸν ἀποκαλύψω σὲ ἄλλον; Ἂν λοιπὸν ἐσὺ δὲν θὰ εὐχαριστιόσουν, οὔτε νὰ μὲ ἐρωτήσεις γιὰ νὰ σοῦ πῶ τὰ πράγματα τοῦ ἀδελφοῦ· διότι ἔχει εἰπωθεῖ, «αὐτὸ ποὺ ἀπεύχεσαι νὰ γίνει σὲ σένα, νὰ μὴ τὸ κάνεις στὸν πλησίον σου»[20]· καὶ πάλι, «ὅ,τι θέλετε νὰ κάνουν σὲ σᾶς οἱ ἄνθρωποι, καὶ ἐσεῖς νὰ κάνετε τὸ ἴδιο σ' αὐτούς»[21]".

689

Ἐρώτηση

Πῶς πρέπει νὰ πιστεύω, ὅτι κάθε ἄνθρωπος εἶναι δίκαιος, ἢ ὅτι ἀπὸ ὅλους τοὺς ἀνθρώπους ἐγὼ εἶμαι ἁμαρτωλότερος; διότι ὁ λογισμὸς στενοχωριέται νὰ θεωρεῖ κάθε ἄνθρωπο δίκαιο.

Ἀπόκριση

Νὰ θεωρεῖς τὸν ἑαυτό σου ἁμαρτωλότερο καὶ ἐλαχιστότερο ὅλων, καὶ θὰ ἔχεις ἀνάπαυση.

---

21. Λουκᾶ 6,31.

ΧϞʹ

Ἐρώτησις

Ὅτε λαλῶ τινι περὶ τοῦ βίου τῶν πατέρων καὶ τῶν ἀποκρίσεων αὐτῶν, μεγάλα φρονεῖ ἡ καρδία μου. Εἰπὲ οὖν μοι, πῶς μετὰ ταπεινοφροσύνης λαλήσω; καὶ τίνι χρὴ λέγειν αὐτά; καὶ ποίῳ σκοπῷ;

Ἀπόκρισις

Ὅτε λαλεῖς περὶ βίου πατέρων καὶ τῶν ἀποκρίσεων αὐτῶν, ὀφείλεις σεαυτὸν κατακρίνειν, λέγων· Οὐαί μοι, πῶς λαλῶ τὰς ἀρετὰς τῶν πατέρων καὶ οὐδὲν ἐκτησάμην ἀπ' αὐτῶν οὐδὲ ἦλθον εἰς προκοπήν, καὶ κάθημαι λέγων ἄλλοις, ἵνα ὠφεληθῶσι, μήποτε εἰς ἐμὲ πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Ἀποστόλου, «ὁ διδάσκων ἕτερον, σευατὸν οὐ διδάσκεις;»' Καὶ ὅταν ταῦτα λέγῃς, καυτηριάζεται ἡ καρδία σου καὶ εὑρίσκῃ λαλῶν μετὰ ταπεινώσεως. Ὀφείλεις δὲ προσέχειν τίνι λαλεῖς. Εἰ οἶδας ὅτι θέλει ὠφεληθῆναι, τότε λάλησον, ἐὰν δὲ μή, οὐκ ἔστι χρεία τῆς ὁμιλίας, γέγραπται γὰρ «μακάριος ὁ λαλῶν εἰς ὦτα ἀκουόντων», μήποτε εὑρεθῇς παρέχων τὰ ἅγια τοῖς κυσὶ καὶ ῥίπτων τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων.

Ὁ Κύριος συνετίσοι σε, ἀδελφέ, μὴ πλανηθῆναι ἐκ τῆς ὁδοῦ τῆς ταπεινώσεως.

ΧϞΑʹ

Ἐρώτησις

Δύο φιλόχριστοι ἦσαν γνησίως ἀγαπῶντες ἀλλήλους ἐν Κυρίῳ καὶ ὑπὸ τῶν πατέρων εἰς ζωὴν ὁδηγούμενοι. Τού-

---

22. Ρωμ. 2,21.

690

Ἐρώτηση

Ὅταν μιλῶ σὲ κάποιον γιὰ τὸν βίο τῶν πατέρων καὶ γιὰ τὶς ἀπαντήσεις αὐτῶν, μεγαλοφρονεῖ ἡ καρδιά μου. Πές μου λοιπόν, πῶς θὰ μιλήσω μὲ ταπεινοφροσύνη; καὶ σὲ ποιόν πρέπει νὰ τὰ λέγω αὐτά, καὶ μὲ ποιό σκοπό;

Ἀπόκριση

Ὅταν μιλᾶς γιὰ τὸν βίο τῶν πατέρων καὶ γιὰ τὶς ἀπαντήσεις αὐτῶν, ὀφείλεις νὰ κατακρίνεις τὸν ἑαυτό σου λέγοντας· "Ἀλλοίμονο σὲ μένα, πῶς ἀναφέρω τὶς ἀρετὲς τῶν πατέρων καὶ τίποτε δὲν ἀπόκτησα ἀπὸ αὐτές, οὔτε ἔφθασα σὲ προκοπή. Καὶ κάθομαι καὶ διηγοῦμαι σὲ ἄλλους γιὰ νὰ ὠφεληθοῦν, μήπως κάποτε πραγματοποιηθεῖ σὲ μένα ἐκεῖνο ποὺ λέχθηκε ἀπὸ τὸν Ἀπόστολο· «ἐσὺ ποὺ διδάσκεις ἄλλον, δὲ διδάσκεις τὸν ἑαυτό σου;»[22]'. Ὅταν λὲς αὐτά, καυτηριάζεται ἡ καρδιά σου καὶ βρίσκεσαι νὰ μιλᾶς μὲ ταπείνωση. Πρέπει ὅμως νὰ προσέχεις σὲ ποιόν μιλᾶς. Ἂν γνωρίζεις ὅτι θέλει νὰ ὠφεληθεῖ, τότε μίλησε, ἂν ὄχι, δὲν ὑπάρχει ἀνάγκη τῆς ὁμιλίας (διότι ἔχει γραφεῖ, «μακάριος εἶναι ἐκεῖνος ποὺ μιλᾶ σ' αὐτιὰ ἀνθρώπων ποὺ ἀκούουν»[23]), μήπως ποτὲ βρεθεῖς νὰ παρέχεις τὰ ἅγια στοὺς σκύλους καὶ νὰ ρίχνεις τὰ μαργαριτάρια μπροστὰ στοὺς χοίρους.

Εἴθε ὁ Κύριος νὰ σὲ συνετίσει, ἀδελφέ, ὥστε νὰ μὴ πλανηθεῖς ἀπὸ τὸν δρόμο τῆς ταπεινώσεως.

691

Ἐρώτηση

Δύο φιλόχριστοι ἀγαποῦσαν γνήσια ὁ ἕνας τὸν ἄλλον στὸ ὄνομα τοῦ Κυρίου καὶ ὁδηγοῦνταν σὲ ζωὴ ἀπὸ τοὺς πατέ-

23. Πρβλ. Β' Βασ. 22,45. Ψαλμ. 17,24. Ματθ. 13,16.

των ὁ εἷς ἐν τῇ συντυχίᾳ εἶπε λόγον περὶ ἑτέρου τινός, ὁ δὲ ἄλλος κατὰ διαβόλου συναρπαγὴν ὑπονοήσας ὅτι πρὸς αὐτὸν εἶπεν, ἐταράχθη σφόδρα· κᾀκείνου πληροφοροῦντος αὐτὸν περὶ τούτου, οὐκ ἐδέχετο. Καὶ ἐντεῦθεν γενομένης αὐτοῖς μικρᾶς ἀντιλογίας, ἦλθον ἀμφότεροι πρὸς τοὺς πατέρας καὶ ἐδήλωσαν τῷ αὐτῷ γέροντι τὸ πρᾶγμα.

Ἀπόκρισις

Ὡς ὁμοψύχοις λέγω ὑμῖν πᾶσαν τὴν ἀλήθειαν ἐνώπιον τοῦ Θεοῦ. Οἱ δύο χρεωστεῖτε βαλεῖν μετάνοιαν τῷ Θεῷ, οὐκ ἀμελῶς, ἀλλ' ἐξ ὅλης καρδίας, ἵνα συγχωρήσῃ ὑμῖν εὐχαῖς τῶν πατέρων ὑμῶν. Σὺ μὲν ὅτι συκοφαντηθεὶς οὐκ ἐβάστασας τὴν μέμψιν λέγων, ὅτι "Ἐγὼ ἥμαρτον καὶ ὅλος ἁμαρτία εἰμί, ὅτι δι' ἐμὲ ἐταράχθη ὁ ἀδελφός μου"· οὗτος δὲ ὅτι οὐ διέκρινε πρὸ τοῦ λαλῆσαι τὸ ῥηθέν, ὅτι οὐ πρὸς αὐτὸν ἐρρέθη καὶ ὅτι τίποτε ἐναντίον οὐκ εἶχες εἰπεῖν ἕως θανάτου. Ἀλλὰ καὶ αὐτὸς κατὰ σὲ οὐχ εὑρέθη ἔχων ὑπομονήν. Πλὴν ὑμεῖς οὐκ ἔχετε πρᾶγμα, ἀλλ' ἡμεῖς ἐσμεν αἴτιοι τῶν κακῶν, ὅτι εὐχὰς οὐκ ἔχομεν· εἰ γὰρ εἴχομεν, σκεπασθῆναι εἴχετε ἀπὸ τοῦ πονηροῦ τοῦ σπείροντος ἀναμέσων ὑμῶν ζιζάνια, ὥστε πειράσαι ὑμᾶς· τοῦτο γὰρ εὐχόμεθα, τὸ ὑμᾶς σκεπασθῆναι.

Οὐ φοβεῖσθε τὸ κρῖμα τοῦ Θεοῦ, ἵνα μὴ σκανδαλισθῶσιν εἰς ὑμᾶς οἱ ἄνθρωποι λέγοντες, 'Ἴδε τὰ τέκνα τῶν πατέρων πῶς οὐκ ἔχουσιν ὑπομονήν, ἀλλὰ εἰς ἀλλήλους ἔρχονται;' Εἰ οὖν αἰσχύνεσθε ἀλλήλοις βαλεῖν μετάνοιαν ἀπὸ καρδίας, ἡμεῖς βάλλομεν ὑπὲρ ὑμῶν· ἡμῖν γὰρ πρέπει ἡ τοιαύτη αἰσχύνη.

Ὁ Κύριος συγχωρήσοι ὑμῖν καὶ φυλάξοι ὑμᾶς ἀπὸ τοῦ πονηροῦ, καὶ συντρίψοι αὐτὸν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει.

ρες. Ὁ ἕνας ἀπὸ αὐτοὺς σὲ κάποια συνάντησή τους εἶπε λόγο γιὰ κάποιον ἄλλο· ὁ ἄλλος τότε ἀπὸ συναρπαγὴ διαβόλου, ἐπειδὴ ὑποψιάσθηκε ὅτι τὸ εἶπε γι' αὐτόν, ταράχθηκε πάρα πολύ· καὶ ἐνῶ τὸν διαβεβαίωνε ἐκεῖνος γι' αὐτό, αὐτὸς δὲν τὸ δεχόταν. Ἔτσι, ἀφοῦ ἐξαιτίας αὐτοῦ ἔγινε ἀνάμεσά τους μικρὴ ἀντιλογία, πῆγαν καὶ οἱ δύο πρὸς τοὺς πατέρες καὶ ἀνέφεραν τὸ πρᾶγμα στὸν γέροντα.

Ἀπόκριση

Σὰν ὁμόψυχοι ποὺ εἶστε σᾶς λέγω ὅλη τὴν ἀλήθεια ἐνώπιον τοῦ Θεοῦ. Καὶ οἱ δύο χρωστᾶτε νὰ βάλετε μετάνοια στὸν Θεό, ὄχι ἐπιπόλαια, ἀλλὰ μὲ ὅλη τὴν καρδιά σας, γιὰ νὰ σᾶς συγχωρέσει μὲ τὶς προσευχὲς τῶν πατέρων σας. Ἐσὺ διότι, ὅταν συκοφαντήθηκες, δὲν βάσταξες τὴν κατάκριση λέγοντας, 'ἐγὼ ἁμάρτησα καὶ εἶμαι ὅλος ἁμαρτία, διότι ἐξαιτίας μου ταράχθηκε ὁ ἀδελφός μου', καὶ αὐτός, διότι δὲν διευκρίνισε, πρὶν πεῖ τὸ λόγο, ὅτι δὲν λέχθηκε γιὰ σένα, καὶ ὅτι δὲν εἶχε νὰ πεῖ τίποτε ἀντίθετο μέχρι θανάτου. Ἀλλὰ καὶ αὐτὸς δὲν βρέθηκε νὰ ἔχει ὑπομονὴ πρὸς ἐσένα. Πλὴν ὅμως ἐσεῖς δὲν ἔχετε εὐθύνη, ἀλλ' ἐμεῖς εἴμαστε αἴτιοι τῶν κακῶν, διότι δὲν ἔχομε προσευχές· διότι ἂν εἴχαμε, θὰ μπορούσατε νὰ προστατευθεῖτε ἀπὸ τὸν πονηρὸ ποὺ σπείρει ἀνάμεσά σας ζιζάνια γιὰ νὰ σᾶς πειράξει· καὶ αὐτὸ προσευχόμαστε, νὰ προστατευθεῖτε ἐσεῖς.

Δὲν φοβᾶσθε τὸ κρῖμα τοῦ Θεοῦ, γιὰ νὰ μὴ σκανδαλισθοῦν μὲ σᾶς οἱ ἄνθρωποι, λέγοντας· 'κοίταξε τὰ τέκνα τῶν πατέρων πῶς δὲν ἔχουν ὑπομονή, ἀλλὰ συγκρούονται'. Ἂν λοιπὸν ντρέπεσθε νὰ βάλετε μετάνοια ὁ ἕνας στὸν ἄλλο μὲ ὅλη σας τὴν καρδιά, ἐμεῖς θὰ βάλομε γιὰ σᾶς· διότι σὲ μᾶς ταιριάζει αὐτὴ ἡ ντροπή.

Εἴθε ὁ Κύριος νὰ σᾶς συγχωρήσει καὶ νὰ σᾶς φυλάξει ἀπὸ τὸν πονηρό, καὶ εἴθε νὰ τὸν συντρίψει κάτω ἀπὸ τὰ πόδια σας γρήγορα. Γίνετε ὁμόψυχοι στὸ ὄνομα τοῦ Κυρίου καὶ ὁμόδοξοι

Ὁμόψυχοι γίνεσθε ἐν Κυρίῳ καὶ ὁμόδοξοι καὶ ὁμόπιστοι· ὁ Κύριος στηρίξαι ὑμᾶς ἀσαλεύτους ἐν τῷ φόβῳ αὐτοῦ. Ἀμήν.

ΧΖΒ'

Ἐρώτησις

Ἄλλος φιλόχριστος, ξενοδοχῶν τοὺς πατέρας, ἔπεμψε διὰ γράμματος, ἐρωτῶν τὸν αὐτὸν γέροντα, εἰ συμφέρει αὐτῷ ἀποτάξασθαι τελείως τῷ κόσμῳ καὶ ἐλθεῖν εἰς τὸν μονήρη βίον. Καὶ γράψαντος αὐτῷ τοῦ γέροντος τελειοτέραν εἶναι τὴν ἀναχώρησιν, νομίσας κατ' ἐντολὴν αὐτῷ τὸν λόγον εἰρῆσθαι, ἐλυπήθη σφόδρα καὶ ἐλογίσατο μηκέτι τίποτε ἐρωτᾶν τοὺς πατέρας. Τοῦτο γνοὺς ὁ γέρων τῷ Πνεύματι, εἶπε γραφῆναι αὐτῷ ταῦτα.

Ἀπόκρισις

Πρὸ πάντων ἀσπαζόμεθα ἐν Κυρίῳ τὴν σὴν ἀγάπην καὶ παρακαλοῦμέν σε πάντα λογισμὸν λυπηρὸν ἀποθέσθαι καὶ μετὰ χαρᾶς καὶ φόβου Θεοῦ διελθεῖν καὶ νοῆσαι τὰ προγραφέντα σοι ἐν τῇ προτέρᾳ ἐπιστολῇ. Οὐδὲ γὰρ κατ' ἐντολὴν ἐγράψαμεν ὑμῖν τι, μαθόντες παρὰ τοῦ Ἀποστόλου λέγοντος, «οὐχ ἵνα βρόχον ὑμῖν ὑποβάλω», ἀλλὰ διακρίνοντες ὑμῖν ἓν ἕκαστον τῶν πραγμάτων ποίαν ἔχει διαφορὰν ὠφελείας, καθὼς πάντες ἠκούσαμεν τοῦ Σωτῆρος λέγοντος ἐν τοῖς Εὐαγγελίοις τὰ γεγραμμένα ἐν τῷ νόμῳ, τὸ «οὐ μοιχεύσεις», «οὐ φονεύσεις» καὶ τὰ λοιπά. Τοῦ δὲ ἐρωτήσαντος αὐτὸν εἰπόντος, «ταῦτα πάντα ἐφύλαξα, τί ἔτι ὑστερῶ;» ἔφησεν αὐτῷ περὶ τελειότητος· «εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα» καὶ τὰ λοιπά, ἅπερ οἶδας.

Ἀλλ' ὁ μισόκαλος ἀεὶ περιέρχεται ἐμποδίζων παντὶ ἔργῳ ἀγαθῷ. Βλέπων γὰρ τὴν γραφεῖσαν ὑμῖν ὠφέλειαν καὶ πρὸ τοῦ

24. Α' Κορ. 7,35.

καὶ ὁμόπιστοι, καὶ ἂς σᾶς στηρίξει ὁ Κύριος ἀσάλευτους μὲ τὸν φόβο πρὸς αὐτόν. Γένοιτο.

692

Ἐρώτηση

῞Αλλος φιλόχριστος ποὺ φιλοξενοῦσε τοὺς πατέρες, ἔστειλε γράμμα ἐρωτώντας τὸν ἴδιο γέροντα, ἂν συμφέρει σ' αὐτὸν ν' ἀπομακρυνθεῖ τελείως ἀπὸ τὸν κόσμο καὶ νὰ ἔρθει στὴ μοναχικὴ ζωή. Ἐπειδὴ ὁ γέροντας τοῦ ἔγραψε ὅτι εἶναι τελειότερη ἡ ἀναχώρηση, νομίζοντας ὅτι ὁ λόγος του λέχθηκε σὰν ἐντολή, λυπήθηκε πολύ, καὶ σκέφθηκε νὰ μὴ ἐρωτήσει πιὰ τίποτε στοὺς πατέρες. ῞Οταν ὁ γέροντας τὸ πληροφορήθηκε αὐτὸ ἀπὸ τὸ Πνεῦμα, εἶπε νὰ γραφοῦν σ' αὐτὸν αὐτά.

᾿Απόκριση

Πρὶν ἀπὸ ὅλα ἀσπαζόμαστε στὸ ὄνομα τοῦ Κυρίου τὴν ἀγάπη σου καὶ σὲ παρακαλοῦμε νὰ ἀπομακρύνεις κάθε λυπηρὸ λογισμό, καὶ μὲ χαρὰ καὶ φόβο Θεοῦ νὰ ἐξετάσεις καὶ νὰ κατανοήσεις ἐκεῖνα ποὺ σοῦ γράφτηκαν κατὰ τὴν προηγούμενη ἐπιστολή. Δὲν γράψαμε δηλαδὴ κάτι σὲ σᾶς ὡς ἐντολή, διότι μάθαμε ἀπὸ τὸν ᾿Απόστολο ποὺ λέγει, «ὄχι γιὰ νὰ σᾶς βάλω θηλειά»[24], ἀλλὰ διασαφηνίζοντάς σας τὸ καθένα ἀπὸ τὰ πράγματα, ποιά διαφορὰ ὠφέλειας ἔχει τὸ ἕνα ἀπὸ τὸ ἄλλο, καθὼς ὅλοι ἀκούσαμε τὸν Σωτήρα νὰ λέγει στὰ Εὐαγγέλια ἐκεῖνα ποὺ ἔχουν γραφεῖ στὸν νόμο, τὸ «οὐ μοιχεύσεις», «οὐ φονεύσεις» καὶ τὰ λοιπά. Σ' ἐκεῖνον ποὺ εἶπε, μετὰ τὴν ἐρώτηση ποὺ ἔκαμε, «ὅλα αὐτὰ τὰ τήρησα· σὲ τί ὑστερῶ ἀκόμα;», τοῦ μίλησε γιὰ τλειότητα· «ἂν θέλεις νὰ εἶσαι τέλειος, πούλησε τὰ ὑπάρχοντά σου»[25] καὶ τὰ ὑπόλοιπα ποὺ τὰ γνωρίζεις.

᾿Αλλὰ ὁ μισόκαλος διάβολος πάντα περιέρχεται ἐμποδίζοντας κάθε ἀγαθὸ ἔργο. Διότι, βλέποντας τὴν ὠφέλεια ποὺ γρά-

25. Ματθ. 19,21.

φηκε σὲ σᾶς καὶ πρὶν νὰ μάθετε ἐσεῖς τὴν ἔννοια αὐτῶν ποὺ γράφηκαν, σᾶς τάραξε λίγο τὸν λογισμό σας. Καὶ εἶναι νὰ θαυμάσει κανεὶς πῶς σκεπάζει τὸν νοῦ τοῦ ἀνθρώπου, ἁρπάζοντας τὸν λογισμό του, ὥστε νὰ μὴ ὠφεληθεῖ καθόλου· καὶ δὲν τὸν ἀφήνει νὰ ἐρωτήσει τὸν ἑαυτό του, γιατί ταράζεται, καὶ νὰ πεῖ στὸν ἑαυτό του, «γιατί εἶναι περίλυπη ἡ ψυχή μου», καὶ «γιατί μὲ συνταράσσεις;»[26]· «ἔλπισε στὸν Θεό, διότι θὰ ἐξομολογηθῶ σ' αὐτὸν»[27] καὶ τὰ ὑπόλοιπα. Καὶ αὐτὰ τὰ κάνει, γιὰ νὰ δείξει στὸν ἄνθρωπο, ὅτι, ἂν ἦταν ἀπὸ τοὺς ἁγίους αὐτὰ ποὺ γράφηκαν, θὰ παρεῖχαν βοήθεια, καὶ ὄχι ταραχὴ καὶ πειρασμό. Ἀλλὰ ὁ νηφάλιος κατανοεῖ καὶ τοὺς Ἀποστόλους ποὺ ταράχθηκαν μὲ τὴν ἀπιστία, ὅταν εἶδαν τὸν Δεσπότη τους καὶ Σωτήρα Χριστό· διότι τοὺς εἶπε· «γιατί εἶστε ταραγμένοι; καὶ γιατί ἀνεβαίνουν διαλογισμοὶ στὶς καρδιές σας;»[28]. Καὶ ἀμέσως τοὺς λόγους του ἀκολούθησε ἡ γαλήνη.

Ἔτσι καὶ ἐμεῖς, ἂν διαβάζαμε μὲ ἡσυχία αὐτὰ ποὺ γράφηκαν, θὰ βρίσκαμε ὅτι δὲν φθάνομε νὰ κάνομε, σύμφωνα μὲ ἐκεῖνα ποὺ ἔχουν γραφεῖ, ἀνὰ ἑκατό, καὶ ἀνὰ ἑξήντα· καὶ ἂν οὔτε τόσο, ἔστω καὶ τὸ ἕνα τρίτο, ἀνὰ τριάντα. Γιὰ νὰ μάθομε ὅμως ὅτι ἐκεῖνα ποὺ γράφηκαν ἔγιναν ὠφέλιμα σὲ ὅλους μας, κι ἂν ἀκόμη δὲν φθάνομε νὰ κάνομε τὸ τέλειο, ταλαιπωρούμαστε μὲ τὸ προκείμενο ἔργο τῆς φιλοξενίας, ὥστε νὰ μὴ ὑψηλοφρονοῦμε, ὅτι τάχα κάνομε κάτι τὸ μεγάλο, βρίσκοντας, ὅτι δὲν φθάσαμε νὰ κάνομε τὸ τέλειο. Δὲν σᾶς γράψαμε αὐτὰ ποὺ περιέχονται στὴ προηγούμενη ἐπιστολὴ μὲ σκοπὸ ν' ἀπορρίψομε αὐτὰ ποὺ γίνονται τώρα ἀπὸ σᾶς, ἀλλὰ γιὰ νὰ φθάσετε σὲ ἀνώτερο στάδιο ἤ, παραμένοντας σ' αὐτὰ ποὺ εἶσθε, νὰ κάνετε τὸ πρᾶγμα μὲ ταπεινὸ λογισμό.

Μὴ ἀπορήσετε γιὰ τοὺς πειρασμούς, διότι ἔχομε διαταχθεῖ, «νὰ χαίρεσθε, ὅταν περιπέσετε σὲ ποικίλους πειρασμούς»[29]. Κάποτε ἕνας ἀπὸ τοὺς ἁγίους πατέρες ἐρωτήθηκε

---

28. Λουκᾶ 24,38.
29. Ἰακ. 1,2.

μαθεῖν ὑμᾶς τὴν δύναμιν τῶν γραφέντων, μικροῦ ἐτάραξε τὸν λογισμὸν ὑμῶν· καὶ θαυμάσαι ἔνι πῶς σκεπάζει τὸν νοῦν τοῦ ἀνθρώπου, ἁρπάζων τὸν λογισμὸν αὐτοῦ, ὥστε παντελῶς μὴ ὠφεληθῆναι, καὶ οὐκ ἀφίησιν αὐτὸν ἐρωτῆσαι ἑαυτόν, διατί ταράττεται, καὶ εἰπεῖν ἑαυτῷ· «ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου; καὶ ἵνα τί συνταράσσεις με; ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ» καὶ τὰ λοιπά. Ταῦτα δὲ ποιεῖ, ὥστε δεῖξαι τῷ ἀνθρώπῳ, ὅτι, εἰ ἦσαν ἐξ ἁγίων τὰ γραφέντα, βοήθειαν παρεῖχον, ἢ γὰρ ταραχὴν καὶ πειρασμόν. Ἀλλ' ὁ νηφάλιος κατανοεῖ καὶ τοὺς Ἀποστόλους διὰ τῆς ἀπιστίας ταραχθέντας, ἑωρακότας τὸν Δεσπότην αὐτῶν καὶ Σωτῆρα Χριστόν· ἐσήμανε γὰρ αὐτοῖς λέγων· «ἵνα τί τεταραγμένοι ἐστέ; καὶ διατί διαλογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν;» καὶ εὐθὺς παρηκολούθησε τοῖς λόγοις αὐτοῦ ἡ γαλήνη.

Οὕτω καὶ ἡμεῖς, εἰ ἐν ἡσυχίᾳ καρδίας διήλθομεν τὰ γραφέντα, εὕρομεν ἂν ὅτι οὐ φθάνομεν ποιῆσαι κατὰ τὸ γεγραμμένον ἀνὰ ἑκατὸν καὶ ἀνὰ ἑξήκοντα· εἰμὴ οὕτω, κἂν τὸ τρίτον, ἀνὰ τριάκοντα. Ἵνα δὲ μάθωμεν, ὅτι ἐν πᾶσιν ὠφέλιμα ἡμῖν τὰ γραφέντα ἐγένοντο, κἂν μὴ φθάνωμεν ποιῆσαι τὸ τέλειον, κολαφιζόμεθα ἐν τῷ προκειμένῳ τῆς ξενοδοχίας ἔργῳ, ὥστε μὴ ὑψηλοφρονεῖν, ὅτι μέγα τίποτε ποιοῦμεν, εὑρίσκοντες, ὅτι τὸ τέλειον οὐκ ἐφθάσαμεν ποιῆσαι. Οὐχ οὕτως ἀποβάλλοντες τὰ νῦν παρ' ὑμῶν γινόμενα ἐγράψαμεν ὑμῖν τὰ περιεχόμενα τῇ προτέρᾳ ἐπιστολῇ, ἀλλ' ἵνα ἐπὶ τὸ μεῖζον ἔλθητε ἢ ἐπιμένοντες ἐν οἷς ἐστε, ταπεινῷ λογισμῷ χρῆσθε τῷ πράγματι.

Μὴ θαυμάσητε δὲ περὶ τῶν πειρασμῶν, παρηγγέλθημεν γάρ, ὅτι «χαίρετε, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις».

---

26. Ψαλμ. 41,5·11.
27. Ψαλμ. 41,5·11.

Ἠρωτήθη δέ τίς ποτε τῶν ἁγίων πατέρων παρά τινος ἀδελφοῦ,

Τί ἐστι τοῦτο, ἀββᾶ, ὅτι ὅτε μέλλω κοιμᾶσθαι καὶ κοπιῶ εὐχόμενος καὶ κατασφραγίζων ἐμαυτὸν ἐν ἐκείνῃ τῇ νυκτὶ ἐνυπνιάζομαι εἰς πορνείαν, ἐὰν δὲ μὴ ποιήσω εὐχὰς μηδὲ κατασφραγίσω, οὐκ ἐνυπνιάζομαι;

Καὶ ἀπεκρίθη αὐτῷ ὁ Γέρων, λέγων ὅτι,

Κατὰ πανουργίαν τοῦτο ποιοῦσιν οἱ δαίμονες, ὥστε ἀποστῆσαί σε τῆς εὐχῆς καὶ τῆς σφραγῖδος· οἴδασι γὰρ ἐκ τούτων βοήθειαν γίνεσθαι τῷ ἀνθρώπῳ.

Οὕτω καὶ σύ, ἐάν τι ἐρωτήσῃς πατέρας καὶ πρὸς ὥραν ταράξωσί σε οἱ δαίμονες διὰ τοὺς λόγους αὐτῶν, μηδέποτε ἀποστῇς τῆς αὐτῶν ἐρωτήσεως· οὐδὲν γὰρ βλαβερὸν ἢ βαρὺ ἐπιτάσσουσι. Μαθηταὶ γάρ εἰσι τοῦ εἰπόντος «ὁ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι», καὶ ὕστερον εὑρήσομεν τὸν καρπὸν τῆς ὠφελείας αὐτῶν, καὶ τότε συμβοήσωμεν τῷ ψαλμῳδῷ λέγοντι· «ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοὶ» καὶ τὰ λοιπά.

ΧΛΓ'

Ἐρώτησις

Συμβαίνει ἐν τῷ συντυγχάνειν μέ τινι ἐξαίφνης μετεωρισθῆναι, ὥστε δοκεῖν καὶ παρ' ἐμαυτὸν εἶναι, καὶ τοῦ προκειμένου ἐπιλανθάνεσθαι λόγου, οὐ μεταφερομένου τοῦ νοῦ εἰς ἕτερόν τι, ἀλλ' ἐξισταμένου ἑαυτοῦ. Τί οὖν ἐστι τοῦτο, πάτερ, καὶ τί με δεῖ ποιεῖν; πάνυ γὰρ θλίβομαι.

Ἀπόκρισις

Τοῦτο πόλεμός ἐστι διαβολικός, θέλων καταισχῦναι τὸν ἄνθρωπον ἐπὶ τῶν παρόντων· ἐὰν δὲ μετ' ἐλευθερίας φανερώσῃς αὐτοῖς τὸ πρᾶγμα, λέγων, 'Συγχωρήσατέ μοι, μετεώρισέ με ὁ διάβολος', καταισχύνεται καὶ παύεται ὁ πό-

30. Μὲ τὸ σημεῖο δηλαδὴ τοῦ σταυροῦ.
31. Ματθ. 11,30. 32. Ψαλμ. 29,12.

ἀπὸ κάποιον ἀδελφό.

Τί σημαίνει αὐτό, ἀββᾶ, τὸ ὅτι, ὅταν κοπιάζω προσευχόμενος καὶ κατασφραγίζοντας[30] τὸν ἑαυτό μου τὴν ὥρα ποὺ πρόκειται νὰ κοιμηθῶ, ἐκείνη τὴ νύχτα ὀνειρεύομαι νὰ κάμνω πορνεία, ἂν ὅμως δὲν κάνω προσευχὲς οὔτε κατασφραγισθῶ, δὲν ὀνειρεύομαι;

Καὶ ὁ γέροντας τοῦ ἀποκρίθηκε, λέγοντας.

Αὐτὸ τὸ κάνουν οἱ δαίμονες ἀπὸ πανουργία, ὥστε νὰ σὲ ἀπομακρύνουν ἀπὸ τὴν προσευχὴ καὶ τὴ σφραγίδα· διότι γνωρίζουν ὅτι δίνεται βοήθεια στὸν ἄνθρωπο ἀπὸ αὐτά.

Ἔτσι καὶ σύ, ἂν ἐρωτήσεις κάτι τοὺς πατέρες καὶ πρὸς στιγμὴ σὲ ταράξουν οἱ δαίμονες μὲ τοὺς λόγους τους, νὰ μὴ ἀπομακρυνθεῖς ποτὲ ἀπὸ τὴν ἐρώτησή τους· διότι δὲν σὲ διατάζουν τίποτε βλαβερὸ ἢ βαρύ. Διότι εἶναι μαθητὲς Ἐκείνου ποὺ εἶπε· «ὁ ζυγός μου εἶναι χρηστός, καὶ τὸ φορτίο μου εἶναι ἐλαφρύ»[31]. Ἀργότερα θὰ διαπιστώσομε τὸν καρπὸ τῆς ὠφέλειας αὐτῶν, καὶ τότε θὰ βοήσομε μαζὶ μὲ τὸν ψαλμωδὸ ποὺ λέγει· «μετέβαλες τὸν θρῆνο μου σὲ χαρά μου»[32] καὶ τὰ ὑπόλοιπα.

693

Ἐρώτηση

Συμβαίνει ὅταν συναντῶ κάποιον ξαφνικὰ νὰ κυριεύομαι ἀπὸ ψυχικὴ ταραχή, ὥστε νὰ νομίζω ὅτι εἶμαι καὶ ἐκτὸς ἑαυτοῦ καὶ νὰ ξεχνῶ τὸν προκείμενο λόγο, χωρὶς νὰ μεταφέρεται ὁ νοῦς σὲ τίποτε ἄλλο, ἀλλὰ νὰ κυριεύεται ἀπὸ ἔκσταση. Τί σημαίνει λοιπὸν αὐτό, πάτερ, καὶ τί πρέπει νὰ κάνω; διότι θλίβομαι πολύ.

Ἀπόκριση

Αὐτὸ εἶναι διαβολικὸς πόλεμος· ποὺ θέλει νὰ καταντροπιάσει τὸν ἄνθρωπο στοὺς παρόντες· ἂν ὅμως ἐλεύθερα τοὺς φανερώσεις τὸ πρᾶγμα, λέγοντας, ‘Συγχωρέστε με, μὲ τάραξε ὁ διάβολος’, καταντροπιάζεται καὶ σταματᾶ ὁ

λεμος καὶ λοιπὸν μετὰ νήψεως λαλεῖ. Νομίζεται δὲ μηδὲν εἶναι τοῦτο, τῷ δὲ μὴ νοοῦντι, πολλὴν αἰσχύνην ποιεῖ. Ἡ δὲ μνήμη τοῦ ὀνόματος τοῦ Θεοῦ πάντα τελείως τὰ πονηρὰ καταργεῖ καὶ ἐνδυναμοῖ τὴν ἀσθένειαν ἡμῶν. Ἀμήν.

ΧϞΔ'

Ἐρώτησις

Ἀνήρ τις φιλόχριστος, ἐγκρατὴς ὢν σφόδρα καὶ τῆς ἰδίας φροντίζων ψυχῆς, ἔπεμψεν ἐρωτῶν τὸν αὐτὸν γέροντα.

Τί συμφέρει τινὰ ποιεῖν, ἅπερ αὐτῷ φαίνεται ἀγαθόν, ἢ δι' ἐρωτήσεως πατέρων;

Ἀπόκρισις

Ε*άν τις ἀφ' ἑαυτοῦ ἐνθυμῆταί τι καλὸν ποιεῖν καὶ οὐ δι' ἐρωτήσεως πατέρων, οὗτος οὐκ ἔστιν εὔνομος καὶ εὐνόμως οὐδὲν ἐποίησεν· εἴ τις δὲ δι' ἐρωτήσεως ποιεῖ, οὗτος πληροῖ τὸν νόμον καὶ τοὺς προφήτας· ταπεινώσεως γὰρ σημεῖον τὸ ἐρωτᾶν καὶ Χριστοῦ τοῦ ταπεινώσαντος ἑαυτὸν μέχρι καὶ δούλου μιμητὴς ὁ τοιοῦτος. Ἀνὴρ γὰρ ἀσύμβουλος, ἑαυτοῦ πολέμιος· φησὶ γάρ, «μετὰ βουλῆς πάντα ποίει»· καὶ Ἰωάννης ὁ Κολοβὸς λέγει· "Ἐὰν ἴδῃς νεώτερον τῷ θελήματι αὐτοῦ ἀναβαίνοντα εἰς τὸν οὐρανόν, κράτησον αὐτοῦ τὸν πόδα καὶ ῥίψον κάτω'. Συμφέρον οὖν ἐστι ταπεινοτέρως ἐρωτᾶν, ἢ τῷ ἰδίῳ θελήματι ὁδεύειν· ὁ Θεὸς γάρ ἐστιν ὁ ἐμβάλλων εἰς τὸ στόμα τοῦ ἐρωτωμένου τί εἴπῃ, διὰ τὴν ταπείνωσιν τῆς καρδίας καὶ εὐθύτητα τοῦ ἐρωτῶντος.*

πόλεμος· στὴ συνέχεια μίλα μὲ νήψη. Αὐτὸ βέβαια θεωρεῖται ὅτι δὲν εἶναι τίποτε, ἀλλὰ σ' ἐκεῖνον ποὺ δὲν καταλαβαίνει, προξενεῖ πολλὴ ντροπή. Τέλος ἡ μνήμη τοῦ ὀνόματος τοῦ Θεοῦ καταργεῖ τελείως ὅλα τὰ πονηρὰ καὶ ἐνδυναμώνει τὴν ἀσθένειά μας. Γένοιτο.

694

Ἐρώτηση

Κάποιος φιλόχριστος ἄνδρας, ποὺ ἦταν πολὺ ἐγκρατὴς καὶ φρόντιζε τὴν ψυχή του, ἔστειλε καὶ ἐρώτησε τὸν ἴδιο γέροντα.

Τί συμφέρει νὰ κάνει κάποιος· ἐκεῖνα ποὺ τοῦ φαίνονται ὅτι εἶναι καλά, ἢ ἐρωτώντας τοὺς πατέρες;

Ἀπόκριση

Ὅποιος σκέπτεται ἀπὸ μόνος του νὰ κάνει κάτι καλὸ καὶ ὄχι μετὰ ἀπὸ ἐρώτηση στοὺς πατέρες, αὐτὸς δὲν εἶναι εὔνομος, καὶ τίποτε δὲν ἔκανε εὔνομα· ὅποιος ὅμως ἐνεργεῖ μετὰ ἀπὸ ἐρώτηση, αὐτὸς ἐκπληρώνει τὸν νόμο καὶ τοὺς προφῆτες· διότι τὸ νὰ ἐρωτᾶ εἶναι δεῖγμα ταπεινώσεως, καὶ ὁ τέτοιος εἶναι μιμητὴς τοῦ Χριστοῦ ποὺ ταπείνωσε τὸν ἑαυτό του γενόμενος μέχρι καὶ δοῦλος. Ὁ ἄνθρωπος ποὺ δὲν συμβουλεύεται εἶναι ἐχθρὸς τοῦ ἑαυτοῦ του· διότι λέγει· «νὰ κάνεις τὰ πάντα μὲ συμβουλή»[33]· καὶ ὁ Ἰωάννης ὁ Κολοβὸς λέγει, «ἂν δεῖς νεώτερο νὰ ἀνεβαίνει στὸν οὐρανὸ μὲ τὸ θέλημά του, κράτησέ τον ἀπὸ τὸ πόδι καὶ ρίξτον κάτω». Εἶναι λοιπὸν συμφέρον νὰ ἐρωτᾶ μὲ ταπείνωση, παρὰ νὰ βαδίζει μὲ τὸ δικό του θέλημα· διότι ὁ Θεὸς εἶναι ποὺ βάζει στὸ στόμα ἐκείνου ποὺ ἐρωτᾶται τί νὰ πεῖ, γιὰ τὴν ταπείνωση τῆς καρδιᾶς καὶ τὴν εὐθύτητα αὐτοῦ ποὺ ἐρωτᾶ.

---

33. Παρμ. 24,71.

ΧϞΕ'

Ἐρώτησις

Ἐὰν κάθημαι μετὰ πατέρων καὶ ἀντιβάλλωσι περὶ πίστεως πρός τινα τῶν οὐκ ὀρθῶς φρονούντων, ὀφείλω κἀγὼ ἀντιβάλλειν ἢ οὔ; Λέγει μοι γὰρ ὁ λογισμός, ὅτι 'ἐὰν σιωπᾷς, προδίδως τὴν πίστιν'· ἐὰν δὲ καὶ ψιλὴ ὁμιλία ᾖ πρὸς αὐτοὺς περὶ δογμάτων, λαλήσω ἃ οἶδα, ἢ σιωπήσω; Εἰ δὲ καὶ ἐρωτηθῶ, τί ποιήσω;

Ἀπόκρισις

Μηδέποτε ἀντιβάλλῃς περὶ πίστεως· οὐκ ἀπαιτεῖ γάρ σε ὁ Θεὸς τοῦτο, ἀλλ' ἢ τὸ πιστεύειν ὀρθῶς, καθὼς καὶ παρέλαβες ἐκ τῆς ἁγίας Ἐκκλησίας ἐν τῷ βαπτίσματι καὶ τὸ ποιεῖν τὰς ἐντολὰς αὐτοῦ. Ταῦτα οὖν φύλαξον καὶ σώζῃ. Καὶ τὸ λαλεῖν δὲ περὶ δογμάτων οὐ χρή, ὑπερβαίνει γάρ σε ταῦτα, ἀλλὰ προσεύχου τῷ Θεῷ περὶ τῶν σῶν ἁμαρτιῶν καὶ εἰς ταύτας ὁ νοῦς σου σχολαζέτω. Βλέπε δὲ μὴ κατακρίνῃς ἐν τῇ καρδίᾳ σου τοὺς ταῦτα λαλοῦντας· οὐκ οἶδας γὰρ εἰ ὀρθῶς ἐκεῖνοι λαλοῦσιν ἢ οὒ καὶ πῶς ὁ Θεὸς κρίνει τὸ πρᾶγμα. Ἐὰν δὲ ἐρωτηθῇς εἰπέ, ὅτι 'Ταῦτά με ὑπερβαίνει, συγχωρήσατέ μοι, πατέρες ἅγιοι'.

ΧϞΣΤ'

Ἐρώτησις

Ἐὰν δὲ ἀντιβάλλων ὁ αἱρετικὸς περιγράφῃ τῷ λόγῳ τὸν ὀρθόδοξον, ἆρα οὐκ ἔστι καλὸν συνηγορῆσαί με αὐτῷ καθότι δύναμαι, ἵνα μὴ ἡττηθεὶς βλαβῇ περὶ τὴν ὀρθὴν πίστιν;

695

Ἐρώτηση

Ἂν κάθομαι μὲ πατέρες καὶ φέρουν ἀντίρρηση περὶ πίστεως πρὸς κάποιον ἀπὸ αὐτοὺς ποὺ δὲν φρονοῦν ὀρθά, ὀφείλω νὰ ἀντείπω καὶ ἐγὼ ἢ ὄχι; διότι ὁ λογισμὸς μοῦ λέγει, '῞Αν σιωπᾶς, προδίδεις τὴν πίστη'. Ἂν ὅμως ὑπάρχει καὶ ἁπλὴ ὁμιλία πρὸς αὐτοὺς περὶ δογμάτων, νὰ πῶ αὐτὰ ποὺ γνωρίζω, ἢ νὰ σιωπήσω; καὶ ἂν ἐρωτηθῶ, τί νὰ κάνω;

Ἀπόκριση

Ποτὲ νὰ μὴ συζητήσεις γιὰ τὴν πίστη· διότι ὁ Θεὸς δὲν ἀπαιτεῖ αὐτὸ ἀπὸ σένα, ἀλλὰ νὰ πιστεύεις σωστά, ὅπως παρέλαβες αὐτὴν ἀπὸ τὴν ἅγια Ἐκκλησία μὲ τὸ βάπτισμα, καὶ νὰ ἐκτελεῖς τὶς ἐντολές του. Αὐτὰ λοιπὸν φύλαξε καὶ θὰ σωθεῖς. Καὶ δὲν πρέπει νὰ μιλᾶς γιὰ δόγματα, διότι αὐτὰ ὑπερβαίνουν τὶς δυνάμεις σου, ἀλλὰ νὰ προσεύχεσαι στὸν Θεὸ γιὰ τὶς ἁμαρτίες σου, καὶ γι' αὐτὲς ἂς φροντίζει ὁ νοῦς σου. Πρόσεχε νὰ μὴ κατακρίνεις μὲ τὴν καρδιά σου ἐκείνους ποὺ λέγουν αὐτά· διότι δὲν γνωρίζεις ἂν ἐκεῖνοι μιλοῦν σωστὰ ἢ ὄχι καὶ πῶς κρίνει ὁ Θεὸς τὸ πρᾶγμα· ἂν ὅμως ἐρωτηθεῖς, πές· 'Αὐτὰ εἶναι ἀνώτερα τῶν δυνάμεών μου· συγχωρέστε με, ἅγιοι πατέρες'.

696

Ἐρώτηση

Ἂν ὁ αἱρετικὸς ὑπερβάλλει μὲ τὸ λόγο ἀντικρούοντας τὸν ὀρθόδοξο, ἄραγε δὲν εἶναι καλὸ νὰ συνηγορήσω σ' αὐτὸν ὅσο μπορῶ, γιὰ νὰ μὴ συμβεῖ νικώμενος νὰ βλαβεῖ ὡς πρὸς τὴν ὀρθὴ πίστη;

Ἀπόκρισις

Ἐὰν βάλῃς σεαυτὸν λαλῆσαι, καὶ ἐνώπιον τοῦ Θεοῦ λαλεῖς καὶ τῶν ἀνθρώπων, καὶ εὑρίσκεται ὡς διδασκαλία, εἴ τις δὲ διδάσκει μὴ ἔχων δύναμιν, πληροφορητικὸς ὁ λόγος αὐτοῦ οὐ γίνεται, ἀλλ' ἄκαρπος. Ὅταν δὲ οὐδὲν ὠφελῇς, τίς χρεία καὶ τοῦ λαλεῖν; Εἰ δὲ ὅλως βοηθῆσαι θέλεις, λάλησον ἐν τῇ καρδίᾳ σου τῷ τὰ κρυπτὰ γινώσκοντι Θεῷ, τῷ καὶ δυναμένῳ ποιῆσαι ὑπὲρ ἃ αἰτοῦμεν αὐτόν, καὶ αὐτὸς κατὰ τὸ θέλημα αὐτοῦ ποιεῖ μετὰ τῶν ἀντιβαλλόντων, καὶ σὺ ταπείνωσιν εὑρίσκεις ἐν τῷ πράγματι. Ὥσπερ γὰρ ἐὰν βάλῃ τις εἰς τὴν φυλακήν τινα ἀδίκως δυναστείᾳ, ἄλλος δέ, θεωρῶν τὸ γινόμενον καὶ μὴ δυνάμενος ἀντειπεῖν ἢ ἀντιποιηθῆναι τοῦ ἀνθρώπου, ἀπελθὼν κρυφίως εἴπῃ τινὶ δυνατωτέρῳ, καὶ αὐτὸς πέμψας τῇ ἰδίᾳ ἐξουσίᾳ ἐκβάλλει αὐτόν, τοῦ βαλόντος ταραττομένου, μὴ γινώσκοντος δὲ τίς ὁ ἀναγγείλας. Οὕτω καὶ ἐνταῦθα, προσέλθωμεν τῷ Θεῷ ὑπὲρ τῆς πίστεως καὶ ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν ἐν τῇ δεήσει τῆς καρδίας, καὶ αὐτὸς ὁ εἰς ἑαυτὸν ὀμόσας, ὅτι «πάντας ἀνθρώπους θέλει σωθῆναι καὶ ἐλθεῖν εἰς ἐπίγνωσιν ζωῆς», ποιεῖ καὶ μετ' αὐτῶν κατὰ τὸ θέλημα αὐτοῦ».

ΧϞΖ'

Ἐρώτησις

Ἆρα ὀφείλω ζητεῖν κἂν τὰ κρινόμενα, ἵνα ἀκριβῶς αὐτὰ εἰδῶ καὶ μὴ ἀντιβάλλω;

Ἀπόκρισις

Μηδὲν ζήτει ὧν ὁ Θεὸς οὐκ ἀπαιτεῖ παρὰ σοῦ· μηδὲ ἐνέγκῃς ἐπικίνδυνα λόγια, ἀλλ' ἀρκέσθητι, ὡς εἶπον, τῇ ὁμολογίᾳ τῆς ὀρθῆς πίστεως, καὶ μηδὲν τούτου πλέον περιεργάζου.

---

34. Α' Τιμ. 2,4.

Ἀπόκριση

Ἂν βάλεις τὸν ἑαυτό σου νὰ μιλήσει, μιλᾶς καὶ ἐνώπιον τοῦ Θεοῦ καὶ ἐνώπιον τῶν ἀνθρώπων, καὶ ὅ,τι πεῖς εἶναι σὰν διδασκαλία, ἂν ὅμως διδάσκει κάποιος ποὺ δὲν ἔχει δύναμη, ὁ λόγος του δὲν γίνεται βεβαιωτικός, ἀλλ' ἄκαρπος. Ὅταν δὲν ὠφελεῖς καθόλου, ποιά ἀνάγκη ὑπάρχει νὰ μιλήσεις· ἂν ὅμως θέλεις ὁπωσδήποτε νὰ βοηθήσεις, μίλησε στὴν καρδιά σου μὲ τὸν Θεὸ ποὺ γνωρίζει τὰ κρυφὰ καὶ μπορεῖ νὰ κάνει παραπάνω ἀπὸ ὅσα τοῦ ζητοῦμε, καὶ αὐτὸς θὰ ἐνεργήσει κατὰ τὸ θέλημά του πρὸς ἐκείνους ποὺ προβάλλουν τὶς ἀντιρρήσεις, ἐνῶ ἐσὺ θὰ βρεῖς ταπείνωση στὸ πρᾶγμα. Ὅπως ἀκριβῶς δηλαδὴ ἂν κάποιος ἀπὸ θέσεως ἐξουσίας βάλει στὴ φυλακὴ κάποιον ἄδικα, ἄλλος ὅμως βλέποντας τὸ γενόμενο καὶ μὴ μπορώντας νὰ φέρει ἀντίρρηση ἢ νὰ ἀντιδράσει στὸν ἄνθρωπο, ἀπομακρυνόμενος τὸ πεῖ κρυφὰ σὲ κάποιον δυνατότερο καὶ αὐτὸς στέλλοντας ἀνθρώπους τὸν βγάζει μὲ τὴν ἐξουσία του, καὶ τότε ταράσσεται ἐκεῖνος ποὺ τὸν ἔβαλε, διότι δὲ γνωρίζει ποιός εἶναι ἐκεῖνος ποὺ τὸ διέταξε. Ἔτσι καὶ ἐδῶ, νὰ προσφύγομε στὸ Θεὸ ὑπὲρ τῆς πίστεως καὶ ὑπὲρ τῶν ἀδελφῶν μας μὲ τὴν δέηση τῆς καρδιᾶς· καὶ αὐτὸς ποὺ ὁρκίσθηκε στὸν ἑαυτό του ὅτι «θέλει νὰ σωθοῦν ὅλοι οἱ ἄνθρωποι καὶ νὰ ἔρθουν σὲ ἐπίγνωση ζωῆς»[34], θὰ ἐνεργήσει καὶ μ' αὐτοὺς σύμφωνα μὲ τὸ θέλημά του.

697

Ἐρώτηση

Ἄραγε πρέπει νὰ ζητῶ τὰ κρινόμενα γιὰ νὰ τὰ γνωρίσω ἀκριβῶς καὶ νὰ μὴ ἀντιγνωμήσω;

Ἀπόκριση

Νὰ μὴ ζητᾶς τίποτε ἀπὸ ὅσα ὁ Θεὸς δὲν ἀπαιτεῖ ἀπὸ σένα· οὔτε νὰ πεῖς ἐπικίνδυνα λόγια, ἀλλὰ νὰ ἀρκεσθεῖς, ὅπως εἶπα, στὴν ὁμολογία τῆς ὀρθῆς πίστεως, καὶ νὰ μὴ περιεργάζεσαι τίποτα περισσότερο ἀπὸ αὐτό.

ΧϞΗ'

Ἐρώτησις

Ἐὰν οὖν ἀπὸ Γραφῶν ᾖ ἡ συντυχία, σιωπήσω ἢ λαλήσω; Εἰ δὲ καὶ συμβῇ αὐτοὺς ἀμφιβάλλειν περί τινος, οὗπερ οἶδα, ἆρα καλόν ἐστιν ἵνα εἴπω, ἢ οὔ;

Ἀπόκρισις

Ἡ σιωπὴ καλλίων ἐστί· ἐὰν δὲ ἀμφιβάλλωσι καὶ οἶδας αὐτό, διὰ τὸ λυθῆναι τὴν ἀμφιβολίαν, εἰπὲ μετὰ ταπεινώσεως ὃ οἶδας· εἰ δὲ οὐκ οἶδας, μηδὲν εἴπῃς ὡς ἀπὸ ἰδίου λογισμοῦ, ἀφροσύνη γάρ ἐστιν.

ΧϞΘ'

Ἐρώτησις

Ἐὰν περὶ πραγμάτων ᾖ ἡ συντυχία, μὴ ἐχόντων βλάβην ψυχῆς, σιωπήσω ἢ λαλήσω;

Ἀπόκρισις

Πρὸ τοῦ ἐρωτηθῆναι οὐκ ἔστι καλὸν λαλῆσαι· ἐὰν δὲ καὶ ἐρωτηθῇς εἰπεῖν, εἰπὲ ὃ οἶδας, ἐν ταπεινώσει καὶ φόβῳ Θεοῦ· μήτε ἐπαιρόμενος ἐὰν δεχθῇ ὁ λόγος σου, μήτε λυπούμενος ἐὰν μὴ δεχθῇ· αὕτη γάρ ἐστιν ἡ ὁδὸς τοῦ Θεοῦ. Ἵνα δὲ μὴ νομισθῇς εἶναι σιωπηρός, εἰπὲ ἀπὸ σαυτοῦ τινα ἐν γνώσει καὶ συντόμευσον καὶ ἀπαλλάττῃ πολυλογίας καὶ ἀκαίρου δόξης.

Ψ'

Ἐρώτησις

Ἐάν τις εἴπῃ μοι ἀναθεματίσαι Νεστόριον καὶ τοὺς κατ'

698

Ἐρώτηση

Ἂν ἡ συνάντηση εἶναι γιὰ μελέτη τῶν Γραφῶν, νὰ σιωπήσω, ἢ νὰ μιλήσω; Καὶ ἂν συμβεῖ σ' αὐτοὺς ν' ἀμφιβάλλουν γιὰ κάτι, ποὺ ἐγὼ τὸ γνωρίζω, ἄραγε εἶναι καλὸ νὰ μιλήσω ἢ ὄχι;

Ἀπόκριση

Η σιωπὴ εἶναι καλύτερη· ἂν ὅμως ἀμφιβάλλουν καὶ σὺ τὸ γνωρίζεις, γιὰ νὰ λυθεῖ ἡ ἀμφιβολία, πὲς μὲ ταπείνωση ἐκεῖνο ποὺ γνωρίζεις· ἂν ὅμως δὲν γνωρίζεις, νὰ μὴ πεῖς τίποτε, σὰν ἀπὸ δικό σου λογισμό, διότι εἶναι ἀφροσύνη.

699

Ἐρώτηση

Ἐὰν ἡ συνάντηση εἶναι γιὰ πράγματα ποὺ δὲν ἔχουν βλάβη ψυχῆς, νὰ σιωπήσω ἢ νὰ μιλήσω;

Ἀπόκριση

Πρὶν ἐρωτηθεῖς, δὲν εἶναι καλὸ νὰ μιλήσεις· ἂν ὅμως ἐρωτηθεῖς νὰ πεῖς, πὲς ἐκεῖνο ποὺ γνωρίζεις μὲ ταπείνωση καὶ φόβο Θεοῦ, χωρὶς νὰ ὑπερηφανευθεῖς ἂν γίνει δεκτὸς ὁ λόγος σου, οὔτε νὰ λυπηθεῖς ἂν δὲν γίνει δεκτός· διότι αὐτὸς εἶναι ὁ δρόμος τοῦ Θεοῦ. Γιὰ νὰ μὴ θεωρηθεῖς ὅμως ὅτι εἶσαι σιωπηλός, πὲς ἀπὸ μόνος σου μερικὰ ποὺ τὰ γνωρίζεις καὶ μὲ συντομία καὶ ἀπαλλάσσεσαι ἔτσι ἀπὸ τὴν πολυλογία καὶ τὴν ἄκαιρη δόξα.

700

Ἐρώτηση

Ἂν κανεὶς μοῦ πεῖ ν' ἀναθεματίσω τὸν Νεστόριο καὶ

αὐτὸν αἱρετικούς, ἀναθεματίσω ἢ οὔ;

Ἀπόκρισις

Οτι μὲν Νεστόριος καὶ οἱ κατ' αὐτὸν αἱρετικοὶ ὑπὸ τὸ ἀνάθεμά εἰσι, δῆλον· μὴ τρέχε δὲ σὺ εἰς ἀναθεματισμόν τινος ὅλως· ὁ γὰρ ἔχων ἑαυτὸν ἁμαρτωλόν, πενθεῖν ὀφείλει τὰς ἁμαρτίας αὐτοῦ, καὶ οὐδὲν ἄλλο· ἀλλ' οὔτε κρίνειν δεῖ τοὺς ἀναθεματίζοντάς τινα· ἕκαστος γὰρ ἑαυτὸν δοκιμάζει.

ΨΑ'

Ἐρώτησις

Ἐὰν δέ τις ἐκ τούτου νομίζῃ ὅτι κἀγὼ τὰ ἐκείνου φρονῶ, τί εἴπω αὐτῷ;

Ἀπόκρισις

Είπὲ αὐτῷ· 'Εἰ καὶ φανερόν ἐστιν ὅτι ἐκεῖνοι ἄξιοί εἰσι τοῦ ἀναθεματισμοῦ, ἀλλ' ἐγὼ ἁμαρτωλότερος ὑπάρχω παντὸς ἀνθρώπου καὶ φοβοῦμαι μήπως, ἄλλον κρίνων, ἐμαυτὸν κατακρίνω. Καὶ γὰρ καὶ αὐτὸν τὸν σατανᾶν ἐὰν ἀναθεματίσω, ἐφ' ὅσον ποιῶ αὐτοῦ τὰ ἔργα ἐμαυτὸν ἀναθεματίζω. Ὁ γὰρ Κύριος εἶπεν· «ἐὰν ἀγαπᾶτέ με τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε». Καὶ ὁ Ἀπόστολος λέγει· «εἴ τις οὐ φιλεῖ τὸν Κύριον, ἀνάθεμα ἔστω». Οὐκοῦν ὁ μὴ ποιῶν τὰς ἐντολὰς αὐτοῦ οὐκ ἀγαπᾷ αὐτόν, καὶ ὁ μὴ ἀγαπῶν αὐτὸν ὑπὸ τὸ ἀνάθεμά ἐστι, καὶ πῶς ὁ τοιοῦτος ἄλλοις δύναται;'

Ταῦτα εἰπὲ αὐτῷ, καὶ ἐὰν ἐπιμείνῃ τοῖς αὐτοῖς, διὰ τὴν αὐτοῦ συνείδησιν ἀναθεμάτισον τὸν αἱρετικόν.

τοὺς ὁμοίους μὲ αὐτὸν αἱρετικούς, νὰ τοὺς ἀναθεματίσω ἢ ὄχι;

᾿Απόκριση

Εἶναι φανερὸ ὅτι ὁ Νεστόριος καὶ οἱ γύρω ἀπὸ αὐτὸν αἱρετικοὶ εἶναι ὑπὸ ἀνάθεμα· ἐσὺ ὅμως γενικὰ νὰ μὴ σπεύδεις σὲ ἀναθεματισμὸ κάποιου· διότι αὐτὸς ποὺ θεωρεῖ ἁμαρτωλὸ τὸν ἑαυτό του, ὀφείλει νὰ πενθεῖ τὶς ἁμαρτίες του καὶ τίποτε ἄλλο· ἀλλὰ δὲν πρέπει οὔτε νὰ κρίνει αὐτοὺς ποὺ ἀναθεματίζουν κάποιον· διότι ὁ καθένας δοκιμάζει τὸν ἑαυτό του.

701

Ἐρώτηση

῎Αν ὅμως ἀπὸ αὐτὸ νομίσει κάποιος ὅτι καὶ ἐγὼ φρονῶ τὰ ἴδια μ' ἐκεῖνον, τί νὰ τοῦ πῶ;

᾿Απόκριση

Πές του· '῎Αν καὶ εἶναι φανερὸ ὅτι ἐκεῖνοι εἶναι ἄξιοι τοῦ ἀναθεματισμοῦ, ἀλλὰ ἐγὼ εἶμαι ἁμαρτωλότερος ἀπὸ κάθε ἄνθρωπο καὶ φοβᾶμαι μήπως, κρίνοντας ἄλλον, κατακρίνω τὸν ἑαυτό μου. Διότι καὶ τὸν ἴδιο τὸν σατανᾶ ἂν ἀναθεματίσω, ἐφ' ὅσον κάνω τὰ ἔργα του, ἀναθεματίζω τὸν ἑαυτό μου. Διότι ὁ Κύριος εἶπε· «ἂν μὲ ἀγαπᾶτε, τηρῆστε τὶς ἐντολές μου»[35]. Καὶ ὁ ᾿Απόστολος λέγει· «ὅποιος δὲν ἀγαπᾶ τὸν Κύριο, ἂς εἶναι ἀνάθεμα»[36]. Λοιπὸν αὐτὸς ποὺ δὲν τηρεῖ τὶς ἐντολές του, δὲν τὸν ἀγαπᾶ, καὶ αὐτὸς ποὺ δὲν τὸν ἀγαπᾶ, εἶναι ὑπὸ ἀνάθεμα· πῶς λοιπὸν ἕνας τέτοιος ἄνθρωπος μπορεῖ ν' ἀναθεματίσει ἄλλους;'

Αὐτὰ πές του, καὶ ἂν ἐπιμείνει στὰ ἴδια, χάριν τῆς συνειδήσεώς του, ἀναθεμάτισε τὸν αἱρετικό.

35. ᾿Ιω. 14,15. 36. Α΄ Κορ. 16,22.

ΨΒ΄

Ἐρώτησις

Ἐὰν δὲ ἀγνοῶ ὅτι ἐστὶν αἱρετικός, ὃν λέγει μοι ἀναθεματίσαι, τί ποιήσω;

Ἀπόκρισις

Εἰπὲ αὐτῷ· ''Ἀδελφέ, ἐγὼ πῶς φρονεῖ περὶ οὗ λέγεις μοι οὐκ οἶδα. Τὸ ἀναθεματίσαι οὖν ὃν μὴ οἶδα φαίνεταί μοι εἰς κατάκριμα. Τοῦτο δὲ λέγω σοι· ὅτι πλὴν τῆς πίστεως τῶν ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ πατέρων ἄλλην οὐ γινώσκω. Καὶ ὁ παρὰ ταύτην φρονῶν ἔρριψεν ἑαυτὸν εἰς τὸ ἀνάθεμα'.

ΨΓ΄

Ἐρώτησις

Ἐὰν γένηται διωγμός, τί ποιήσω; μείνω ἢ ἀναχωρήσω;

Ἀπόκρισις

Ἐρώτησον τοὺς πνευματικοὺς πατέρας, καὶ ὡς λέγουσι ποίησον· καὶ μὴ ἀκολουθήσῃς τῇ ἰδίᾳ κρίσει, ἵνα μὴ ἐν ἀγνωσίᾳ κινδυνεύσῃς.

ΨΔ΄

Ἐρώτησις

Καὶ ἐὰν μὴ εὑρίσκω πατέρας ἐν τῇ ὥρᾳ τῆς ἀνάγκης, εἰς οὓς ἔχω πληροφορίαν, ἵνα ἐρωτήσω αὐτοὺς περὶ τούτου, τί ποιήσω; μείνω ἵνα μὴ δόξω προδιδόναι τὴν πίστιν, ἢ ἀναχωρήσω εὐλαβούμενος τὴν ἧτταν;

702

Ἐρώτηση

Ἂν ἀγνοῶ ὅτι εἶναι αἱρετικὸς αὐτὸς τὸν ὁποῖο μοῦ λέγει νὰ ἀναθεματίσω, τί νὰ κάνω;

Ἀπόκριση

Πές του· "Ἀδελφέ, δὲν γνωρίζω ἐγὼ πῶς φρονεῖ αὐτὸς γιὰ τὸν ὁποῖο μοῦ λέγεις. Τὸ νὰ ἀναθεματίσω λοιπὸν αὐτὸν ποὺ δὲν γνωρίζω μοῦ φαίνεται ἀξιοκατάκριτο. Τοῦτο σοῦ λέγω· ὅτι ἐκτὸς ἀπὸ τὴν πίστη τῶν τριακοσίων δεκαοχτὼ ἁγίων Πατέρων δὲ γνωρίζω ἄλλη. Καὶ αὐτὸς ποὺ φρονεῖ ἀντίθετα μ' αὐτήν, ἔρριξε τὸν ἑαυτό του σὲ ἀνάθεμα".

703

Ἐρώτηση

Ἂν γίνει διωγμός, τί νὰ κάνω; νὰ μείνω ἢ νὰ φύγω;

Ἀπόκριση

Ερώτησε τοὺς πνευματικοὺς πατέρες, καὶ κάνε ὅ,τι σοῦ ποῦν· μὴ ἀκολουθήσεις ὅμως τὴν κρίση σου, γιὰ νὰ μὴ κινδυνέψεις ἀπὸ ἀγνωσία.

704

Ἐρώτηση

Καὶ ἂν δὲν βρίσκω πατέρες κατὰ τὴν ὥρα τῆς ἀνάγκης, στοὺς ὁποίους ἔχω ἐμπιστοσύνη, γιὰ νὰ τοὺς ἐρωτήσω γι' αὐτό, τί νὰ κάνω; Νὰ μείνω γιὰ νὰ μὴ φανῶ ὅτι προδίδω τὴν πίστη, ἢ νὰ φύγω φοβούμενος τὴν ἧττα;

Ἀπόκρισις

Στῆθι εἰς προσευχὴν καὶ δεήθητι ἐν ὅλῃ καρδίᾳ τοῦ φιλανθρώπου Θεοῦ λέγων· 'Δέσποτα, ἐλέησόν με διὰ τὴν ἀγαθότητά σου, καὶ μὴ συγχωρήσῃς με πλανηθῆναι τοῦ θελήματός σου, μηδὲ παραδῴης με τῷ προκειμένῳ πειρασμῷ εἰς ἀπώλειαν'. Καὶ τοῦτο ποίησον ἕως τρίτου, κατὰ τὸν Σωτῆρα ἐν τῇ ὥρᾳ τῆς παραδόσεως. Καὶ μετὰ ταῦτα, ἐὰν ἴδῃς σεαυτὸν ἔχοντα προθυμίαν ἀδίστακτον μεῖναι καὶ πάντα ὑπενεγκεῖν τῇ τοῦ Θεοῦ χάριτι τὰ ἐπερχόμενα δεινὰ μέχρι καὶ αὐτοῦ τοῦ θανάτου, τότε μεῖνον, εἰ δὲ ἴδῃς δειλίαν ἐν τῇ καρδίᾳ σου, ἀναχώρησον. Καὶ μὴ νομίσῃς ἐν τούτῳ προδιδόναι τὴν πίστιν· οὐ γὰρ ἀπαιτεῖ ὁ Θεὸς τὰ ὑπὲρ δύναμιν. Ἐὰν γὰρ ἔχων τὴν δειλίαν μείνῃς, συμβαίνει μὴ φέροντα τὰς ἐπαγομένας θλίψεις τε καὶ βασάνους προδιδόναι τὴν ἀλήθειαν καὶ σεαυτῷ προσλαβεῖν αἰώνιον κόλασιν.

ΨΕ'

Ἐὰν δὲ ἄκων ἐμπέσω εἰς τὸν πειρασμόν, τί ποιήσω;

Ἀπόκρισις

Ἐπίρριψον ὅλην σου τὴν μέριμναν ἐπὶ τὸν φιλάνθρωπον Θεόν, λέγων· 'Δέσποτα, διὰ τὴν ἀγαθότητά σου καὶ διὰ τὰς εὐχὰς πάντων τῶν ἁγίων σου, οὐχ ὡς δυνάμενος ἔστησα ἐμαυτὸν εἰς τοῦτο, ἀλλὰ μὴ θέλων ἀπήντησα· μὴ οὖν ἐάσῃς με προδοῦναι τὴν ἁγίαν πίστιν'.

ΨS'

Ἐρώτησις

Πῶς ὀφείλω αἰτεῖν τοὺς πατέρας περὶ τῆς συγχωρήσεως

Ἀπόκριση

Στάσου σὲ προσευχὴ καὶ παρακάλεσε μὲ ὅλη τὴν καρδιά σου τὸν φιλάνθρωπο Θεό, λέγοντας· 'Δέσποτα, ἐλέησέ με ἐξαιτίας τῆς ἀγαθότητάς σου, καὶ μὴ ἀφήσεις νὰ πλανηθῶ ἀπὸ τὸ θέλημά σου, οὔτε νὰ μὲ παραδώσεις στὸν προκείμενο πειρασμὸ πρὸς ἀπώλεια'. Αὐτὸ κάνε το μέχρι τρεῖς φορές, σύμφωνα μὲ τὸν Σωτήρα κατὰ τὴν ὥρα τῆς παραδόσεως. Καὶ μετὰ ἀπὸ αὐτά, ἂν δεῖς ὅτι ἔχεις ἀδίστακτη προθυμία νὰ μείνεις καὶ νὰ ὑποφέρεις μὲ τὴ χάρη τοῦ Θεοῦ ὅλα τὰ ἐπερχόμενα δεινὰ μέχρι καὶ αὐτοῦ τοῦ θανάτου, τότε μεῖνε. Ἂν ὅμως διαπιστώσεις δειλία στὴν καρδιά σου, φύγε. Καὶ μὴ νομίσεις ὅτι μ' αὐτὸ προδίδεις τὴν πίστη, διότι ὁ Θεὸς δὲν ἀπαιτεῖ τὰ πάνω ἀπὸ τὴ δύναμη. Ἂν ὅμως μείνεις, ἐνῶ νιώθεις δειλία, ἐφ' ὅσον δὲν ὑποφέρεις τὶς προκαλούμενες θλίψεις καὶ τὰ βασανιστήρια, θὰ συμβεῖ νὰ προδώσεις τὴν ἀλήθεια καὶ νὰ λάβεις αἰώνια κόλαση.

705

Ἐρώτηση

Ἂν πέσω σὲ πειρασμὸ ἄθελα, τί νὰ κάνω;

Ἀπόκριση

Ἀνάθεσε ὅλη τὴ μέριμνά σου στὸν φιλάνθρωπο Θεό, λέγοντας· 'Δέσποτα, ἐξαιτίας τῆς ἀγαθότητάς σου καὶ τῶν προσευχῶν ὅλων τῶν ἁγίων, ἐπειδὴ δὲν ἔφτασα μόνος μου σ' αὐτὴ τὴν κατάσταση, ἀλλὰ μπλέχθηκα χωρὶς νὰ τὸ θέλω, μὴ μὲ ἀφήσεις τώρα νὰ προδώσω τὴν ἅγια πίστη.

706

Ἐρώτηση

Πῶς πρέπει νὰ παρακαλῶ τοὺς πατέρες γιὰ τὴ συγχώρη-

τῶν ἁμαρτιῶν μου; ὅτι 'συγχωρήσατέ μοι' ἢ ὅτι 'αἰτήσατέ μοι συγχώρησιν'; Ὅτε δὲ αὐτὸν τὸν Δεσπότην παρακαλῶ πῶς ὀφείλω λέγειν;

Ἀπόκρισις

Ἵνα λέγῃς· "Ἐλέησόν με, Δέσποτα, διὰ τοὺς ἁγίους σου μάρτυρας καὶ διὰ τοὺς ἁγίους πατέρας καὶ συγχώρησόν μοι ταῖς αὐτῶν πρεσβείαις τὰ ἁμαρτήματά μου'. Καὶ γὰρ ὁ προφήτης ἔλεγε «διὰ Ἀβραὰμ τὸν δοῦλόν σου», καὶ αὐτὸς ὁ Κύριος, «ὑπερασπιῶ τῆς πόλεως ταύτης, δι' ἐμὲ καὶ διὰ Δαβὶδ τὸν δοῦλον μου».

ΨΖ'

Ἐρώτησις

Ἐὰν κάθημαι μετὰ κοσμικῶν καὶ ἔλθῃ ἀργολογία, μείνω ἢ ἀναχωρήσω;

Ἀπόκρισις

Ἐὰν μὴ ἔχῃς ἀνάγκην, ἀναχώρησον, ἐὰν δὲ ᾖ ἀνάγκη, μετένεγκε τὸν νοῦν σου εἰς τὴν προσευχήν σου, μὴ κατακρίνων ἐκείνους, ἀλλὰ τὴν ἰδίαν ἀσθένειαν ἐπιγινώσκων.

ΨΗ'

Ἐρώτησις

Ἐὰν δὲ ἀγαπητοί μου ὦσι, κελεύεις μετενέγκω τὴν τοιαύτην ὁμιλίαν εἰς ἄλλην χρησιμωτέραν;

Ἀπόκρισις

Ἐὰν οἶδας ὅτι δέχονται ἡδέως τὸν λόγον τοῦ Θεοῦ, λάλησον ἀπὸ βίου πατέρων καὶ μετένεγκε τὴν ὁμιλίαν εἰς σωτηρίαν ψυχῆς.

37. Ψαλμ. 104,42. 38. Πρβλ. Γ' Βασ. 11,13. Ψαλμ. 131,10.

ση τῶν ἁμαρτιῶν μου; λέγοντας 'συγχωρέστε με', ἢ 'ζητῆστε συγχώρηση γιὰ μένα'; Ὅταν πάλι παρακαλῶ τὸν ἴδιο τὸν Δεσπότη, πῶς πρέπει νὰ τὸν παρακαλῶ;

Ἀπόκριση

Νὰ λές, 'Ἐλέησέ με, Δέσποτα, χάριν τῶν ἁγίων σου μαρτύρων καὶ χάριν τῶν ἁγίων πατέρων καὶ συγχώρεσέ μου τὶς ἁμαρτίες μου μὲ τὶς πρεσβεῖες αὐτῶν'. Διότι καὶ ὁ προφήτης ἔλεγε, «χάριν τοῦ Ἀβραὰμ τοῦ δούλου σου»[37]· καὶ ὁ ἴδιος ὁ Κύριος λέγει, «θὰ ὑπερασπισθῶ αὐτὴν τὴν πόλη γιὰ χάρη μου καὶ γιὰ χάρη τοῦ δούλου μου Δαβίδ»[38].

707

Ἐρώτηση

Ἐὰν κάθομαι μὲ κοσμικοὺς καὶ ἔρθει ἀργολογία, νὰ μείνω ἢ νὰ φύγω;

Ἀπόκριση

Ἂν δὲν ὑπάρχει ἀνάγκη, φύγε, ἂν ὅμως ὑπάρχει ἀνάγκη, μετάφερε τὸν νοῦ σου στὴν προσευχή σου, χωρὶς νὰ κατακρίνεις ἐκείνους, ἀλλὰ ἀναγνωρίζοντας τὴ δική σου ἀσθένεια.

708

Ἐρώτηση

Ἂν εἶναι ἀγαπητοί μου, διατάζεις νὰ μεταστρέψω τὴν ὁμιλία αὐτὴ σὲ ἄλλη χρησιμότερη;

Ἀπόκριση

Ἂν γνωρίζεις ὅτι δέχονται εὐχάριστα τὸν λόγο τοῦ Θεοῦ, μίλησε ἀπὸ τὸν βίο πατέρων καὶ μετάφερε τὴν ὁμιλία γιὰ σωτηρία ψυχῆς.

ΨΘ΄

Ἐρώτησις

Ἆρα καλόν ἐστι ἐν τῷ συντυγχάνειν τινὶ ἐπικαλεῖσθαι τὸ ὄνομα τοῦ Θεοῦ;

Ἀπόκρισις

Καὶ ἐν τῷ συντυγχάνειν καὶ πρὸ τῆς συντυχίας καὶ μετὰ τὴν συντυχίαν καὶ ἐν παντὶ καιρῷ καὶ ἐν παντὶ τόπῳ χρὴ ἐπικαλεῖσθαι τὸ ὄνομα τοῦ Θεοῦ· γέγραπται γὰρ «ἀδιαλείπτως προσεύχεσθε». Οὕτω γὰρ καταργεῖται πᾶς πειρασμός.

ΨΙ΄

Ἐρώτησις

Καὶ πῶς δύναταί τις ἀδιαλείπτως προσεύχεσθαι;

Ἀπόκρισις

Ὅτε τις καθ' ἑαυτόν ἐστιν, ὀφείλει ψάλλειν καὶ ἐν τῷ στόματι καὶ τῇ καρδίᾳ προσεύχεσθαι· ἐὰν δέ τις ἐν ἀγορᾷ ᾖ μετά τινων, οὐ χρεία τῷ στόματι ψάλλειν, ἀλλὰ μόνῃ τῇ διανοίᾳ· χρὴ δὲ τοὺς ὀφθαλμοὺς τηρεῖν, διὰ τὸν ρεμβασμὸν καὶ τὰς παγίδας τοῦ ἐχθροῦ.

ΨΙΑ΄

Ἐρώτησις

Ὅτε εὔχομαι ἢ ψάλλω καὶ οὐκ αἰσθάνομαι τῆς δυνάμεως τῶν λεγομένων, διὰ τὴν σκληρότητα τῆς καρδίας μου, τί ὠφελοῦμαι;

709

Ἐρώτηση

Ἄραγε εἶναι καλὸ κατὰ τὴ συνάντηση μὲ κάποιον νὰ ἐπικαλοῦμαι τὸ ὄνομα τοῦ Θεοῦ;

Ἀπόκριση

Καὶ κατὰ τὴ συνάντηση καὶ πρὶν ἀπὸ τὴ συνάντηση καὶ σὲ κάθε καιρὸ καὶ σὲ κάθε τόπο πρέπει νὰ ἐπικαλεῖσαι τὸ ὄνομα τοῦ Θεοῦ· διότι ἔχει γραφεῖ· «προσεύχεσθε ἀδιάλειπτα»[39]. Διότι ἔτσι καταργεῖται κάθε πειρασμός.

710

Ἐρώτηση

Πῶς μπορεῖ κανεὶς νὰ προσεύχεται ἀδιάλειπτα;

Ἀπόκριση

Ὅταν κανεὶς εἶναι μόνος του, πρέπει νὰ ψάλλει καὶ νὰ προσεύχεται μὲ τὸ στόμα καὶ τὴν καρδιά· ἂν ὅμως κανεὶς βρίσκεται στὴν ἀγορὰ μὲ κάποιους, δὲν εἶναι ἀνάγκη νὰ ψάλλει μὲ τὸ στόμα, ἀλλὰ μόνο μὲ τὸ νοῦ· πρέπει ὅμως νὰ προσέχει τὰ μάτια, πρὸς ἀποφυγὴ τοῦ ρεμβασμοῦ καὶ τῶν παγίδων τοῦ ἐχθροῦ.

711

Ἐρώτηση

Ὅταν προσεύχομαι ἢ ψάλλω καὶ δὲν αἰσθάνομαι τὸ νόημα τῶν λεγομένων, ἐξαιτίας τῆς σκληρότητας τῆς καρδιᾶς μου, τί ὠφελοῦμαι;

---

39. Α΄ Θεσ. 5,17.

Ἀπόκρισις

Ἐὰν σὺ οὐκ αἰσθάνῃ, ἀλλ' οἱ δαίμονες αἰσθάνονται καὶ ἀκούουσι καὶ τρέμουσι. Μὴ οὖν παύσῃ ψάλλων καὶ προσευχόμενος, καὶ κατὰ μικρὸν διὰ τοῦ Θεοῦ ἁπαλύνεται ἡ σκληρότης.

ΨΙΒ'

Ἐρώτησις

Κἂν πλησίον ὦ ἐκκλησίας καὶ λέγηται τὸ τρισάγιον καὶ καθέζομαι μετὰ πατέρων ἢ κοσμικῶν, ἀναστῶ καὶ εἴπω, ἐκείνων καθεζομένων, ἢ οὔ;

Ἀπόκρισις

Ἐὰν ὦσι πατέρες, εἴ τι ποιοῦσι, καὶ σὺ ποίησον· ἐὰν δὲ κοσμικοὶ μείζονές σου καὶ οἶδας ὅτι σκανδαλίζονται, καλόν ἐστι τὸ φυλάξαι αὐτῶν τὴν συνείδησιν καὶ ποιῆσαι ὡς ποιοῦσι. Δύνασαι δὲ καὶ ἐν τῷ καθέζεσθαι μετ' αὐτῶν εἰπεῖν αὐτὸ ἐν τῇ καρδίᾳ σου. Ἐὰν δέ τί σοι ἐμποδίζῃ, ἀρκεῖ αὕτη ἡ μνήμη τὸ ἱκανὸν ποιῆσαι. Εἰ δὲ οὔκ εἰσι μείζονές σου, ἀνάστα καὶ εἰπέ, καὶ εἰ προτρέψεις αὐτοὺς ἀναστῆναι, οὐκ ἄτοπον, καὶ αὐτοὶ δὲ ὡς θέλουσι ποιήσουσι.

ΨΙΓ'

Ἐρώτησις

Ἐὰν ὦ κατὰ μόνας καὶ ὦσί μοί τινα μετὰ χεῖρας ἐμποδίζοντα ἀναστῆναι, τί ποιήσω;

Ἀπόκρισις

Ἐὰν μὴ δύνῃ, μὴ θλίψῃ σε τὸ μὴ ἀναστῆναι, πάντα γὰρ λογισμῷ γίνεται καὶ διακρίσει.

Ἀπόκριση

Ἂν ἐσὺ δὲν τὸ αἰσθάνεσαι, ὅμως οἱ δαίμονες τὸ αἰσθάνονται καὶ ἀκούουν καὶ τρέμουν. Μὴ σταματήσεις λοιπὸν νὰ ψάλλεις καὶ νὰ προσεύχεσαι, καὶ σύντομα μὲ τὴ βοήθεια τοῦ Θεοῦ ἀπαλύνεται ἡ σκληρότητα.

712

Ἐρώτηση

Κι ἂν εἶμαι κοντὰ σὲ ἐκκλησία καὶ λέγεται τὸ τρισάγιο καὶ κάθομαι μὲ πατέρες ἢ κοσμικούς, νὰ σηκωθῶ καὶ νὰ τὸ ἀπαγγείλω καὶ ἐγὼ ἐνῶ ἐκεῖνοι κάθονται ἢ ὄχι;

Ἀπόκριση

Ἂν ὑπάρχουν πατέρες, κάνε καὶ σὺ ὅ,τι κάνουν αὐτοί· ἂν πάλι ὑπάρχουν κοσμικοὶ μεγαλύτεροί σου καὶ γνωρίζεις ὅτι σκανδαλίζονται, εἶναι καλὸ τὸ νὰ φυλάξεις τὴ συνείδησή τους καὶ νὰ κάνεις ὅ,τι κάνουν αὐτοί. Μπορεῖς, καὶ ἐνῶ κάθεσαι μ' αὐτούς, νὰ τὸ πεῖς μὲ τὴν καρδιά σου. Ἂν κάτι σὲ ἐμποδίζει, ἀρκεῖ αὐτὴ ἡ ἐνθύμηση νὰ κάνει τὸ ἱκανό. Ἂν ὅμως δὲν εἶναι μεγαλύτεροί σου, σήκω καὶ πές το, ἀλλὰ καὶ ἂν τοὺς προτρέψεις νὰ σηκωθοῦν καὶ αὐτοὶ δὲν εἶναι ἄτοπο· αὐτοὶ ἂς κάνουν ὅπως θέλουν.

713

Ἐρώτηση

Ἂν εἶμαι μόνος καὶ ὑπάρχουν στὰ χέρια μου μερικὰ πράγματα ποὺ μὲ ἐμποδίζουν νὰ σηκωθῶ, τί νὰ κάνω;

Ἀπόκριση

Ἂν δὲν μπορεῖς νὰ μὴ σὲ στενοχωρήσει τὸ ὅτι δὲν θὰ σηκωθεῖς, διότι ὅλα γίνονται μὲ λογισμὸ καὶ διάκριση.

ΨΙΔʹ

Ἐρώτησις

Ἐὰν ἀπέρχωμαι πρὸς πατέρας καὶ φιλονεικῶσι κρατῆσαί με, καὶ ἔχω ἀναγκαίαν χρείαν, τί ποιήσω;

Ἀπόκρισις

Εὰν μὲ ὦσιν ἱκανοὶ κατὰ Θεὸν διακρῖναι τὰ πράγματα, λέγε αὐτοῖς μετὰ ταπεινώσεως· 'Συγχωρήσατέ μοι, ὅτι χρεία μοι ἀναγκαία ἐπίκειται', καὶ ὡς ἀκούεις παρ' αὐτῶν ποίησον ἀκόπως, πιστεύων ὅτι πάντως πρὸς τὸ συμφέρον ἐστίν. Ἐὰν δὲ μὴ ὦσι τοιοῦτοι καὶ ᾖ χρεία σου ἀναγκαία, κόψον τὴν φιλονεικίαν καὶ βάλε μετάνοιαν ὥστε ἀπελθεῖν· κᾂν μετὰ τὴν μετάνοιαν ἐπιμείνωσι τῇ φιλονεικίᾳ, εἰπὲ αὐτοῖς· 'Συγχωρήσατέ μοι· οὐκ ἔστι γὰρ δυνατὸν ἵνα μείνω'.

ΨΙΕʹ

Ἐρώτησις

Ἐὰν συναριστῶ τισι τῶν πατέρων καὶ εὐλογήσῃ τις αὐτῶν τὴν προκειμένην τροφήν, ἆρα ὀφείλω μέλλων μεταλαμβάνειν λέγειν αὐτῷ, 'εὐλόγησον', καὶ ἀναμένειν ἕως οὗ πάλιν εὐλογήσῃ μοι, ἢ ἀρκεσθῶ τῇ πρώτῃ εὐλογίᾳ; Ἐπειδὴ συμβαίνει ὅτι ἀλλαχοῦ ἔχει τὸν νοῦν καὶ βραδύνει ἀποκρίνασθαι καὶ ἀεὶ θλίβομαι. Ἆρα δὲ καλόν ἐστιν, ἵνα ὅταν βάλω χεῖρα εἰς τὴν τροφὴν κατασφραγίζω αὐτήν;

Ἀπόκρισις

Απαξ εὐλόγησε, καὶ ἐκ περισσοῦ ἐστι τοῦτο· ἕνεκεν δὲ τοῦ κατασφραγίσαι, οὐδὲ τούτου χρεία· ἡ γὰρ εὐλογία σφραγίς ἐστιν. Καὶ πάλιν, ἵνα δώσῃς λογισμὸν τῷ εὐλογήσαντι ἢ ἄλλῳ τινί, ὡς μὴ πιστεύων εἰς τὴν αὐτοῦ εὐλογιάν, καὶ ἔστιν εἰς σκάνδαλον.

714

Ἐρώτηση

Ἂν πηγαίνω σὲ πατέρες καὶ φεύγοντας ἐπιμένουν νὰ μὲ κρατήσουν, καὶ ἔχω ἐπείγουσα ἀνάγκη, τί νὰ κάνω;

Ἀπόκριση

Ἂν εἶναι ἱκανοὶ νὰ διακρίνουν τὰ πράγματα κατὰ Θεόν, λέγε σ' αὐτοὺς μὲ ταπείνωση· 'Συγχωρέστε με, διότι ἔχω ἐπείγουσα ἀνάγκη'· ὅ,τι ἀκούσεις τότε ἀπὸ αὐτούς, κάμε το ἀκόπως, πιστεύοντας ὅτι ὁπωσδήποτε εἶναι πρὸς τὸ συμφέρον. Ἂν ὅμως δὲν εἶναι τέτοιοι καὶ ὑπάρχει ἐπείγουσα ἀνάγκη, σταμάτησε τὴ φιλονεικία καὶ βάλε μετάνοια γιὰ νὰ φύγεις· καὶ ἂν μετὰ τὴ μετάνοια ἐπιμείνουν στὴν φιλονεικία, πές τους· 'Συγχωρέστε με, διότι δὲν εἶναι δυνατὸ νὰ μείνω'.

715

Ἐρώτηση

Ἂν τρώγω μαζὶ μὲ μερικοὺς ἀπὸ τοὺς πατέρες καὶ εὐλογήσει κάποιος ἀπὸ αὐτοὺς τὴν τροφὴ ποὺ βρίσκεται μπροστά μας, ἄραγε πρέπει τὴν ὥρα ποὺ πρόκειται νὰ φάγω νὰ τοῦ πῶ, 'εὐλόγησον', καὶ νὰ περιμένω ὥς ποὺ νὰ μὲ εὐλογήσει πάλι; ἢ νὰ ἀρκεσθῶ στὴν πρώτη εὐλογία; Διότι συμβαίνει κάποτε νὰ ἔχει ἀλλοῦ τὸν νοῦ καὶ ἀργεῖ ν' ἀποκριθεῖ, καὶ πάντα θλίβομαι. Ἄραγε εἶναι καλό, ὅταν βάζω τὸ χέρι στὴν τροφή, νὰ τὴν κατασφραγίζω;

Ἀπόκριση

Μία φορὰ εὐλόγησε, καὶ φθάνει αὐτό. Ὅσο γιὰ κατασφράγιση, δὲν ὑπάρχει ἀνάγκη αὐτῆς· διότι ἡ εὐλογία εἶναι σφραγίδα. Ἂν τὴ σφραγίσεις ἐσὺ θὰ δώσεις λογισμὸ σ' ἐκεῖνον ποὺ εὐλόγησε ἢ σὲ κάποιον ἄλλον, σὰν νὰ μὴ πιστεύεις στὴν εὐλογία του, καὶ αὐτὸ προκαλεῖ σκάνδαλο.

ΨΙS΄

Ἐρώτησις

Ἐὰν ἀπαιτῶσί με οἱ πατέρες, πρὸς οὓς ἀπέρχομαι, εὐλογῆσαι τὴν προκειμένην τροφήν, ἀνάσχωμαι αὐτῶν;

Ἀπόκρισις

Μὴ ἀνάσχῃ, λέγων, 'Οὔτε κληρικός εἰμι οὔτε σχῆμα ἔχω, ἀλλ᾽ ἄνθρωπος κοσμικός εἰμι καὶ ἁμαρτωλὸς καὶ ὑπερβαίνει με τοῦτο· ἀλλὰ συγχωρήσατέ μοι διὰ τὸν Κύριον'.

ΨΙΖ΄

Ἐρώτησις

Ἐὰν κοσμικοὶ ὦμεν πάντες οἱ ἐν τῇ τραπέζῃ, τί ποιήσωμεν ὅτι οὐκ ἔχομεν τὸν εὐλογοῦντα;

Ἀπόκρισις

Καλόν ἐστι καὶ τὸ τοὺς κοσμικοὺς μεταλαμβάνοντας τῆς τροφῆς εὐλογεῖν τὸν Θεόν, διὰ γὰρ τῆς μνήμης τοῦ Θεοῦ ἡ τροφὴ ἁγιάζεται. Αὕτη δὲ ἡ εὐλογία οὐκ ἔστι κατὰ τὴν εὐλογίαν τῶν κληρικῶν, ἀλλὰ δοξολογία ἐστὶ καὶ μνήμη Θεοῦ· πᾶσι γὰρ ἁρμόζει τὸ μνημονεύειν Θεὸν καὶ δοξολογεῖν αὐτόν. Καλὸν οὖν ἐστι καὶ τοὺς κοσμικοὺς τοῦτο ποιεῖν, ὅταν οὐκ ἔχουσι τὸν δυνάμενον εὐλογεῖν.

ΨΙΗ΄

Ἐρώτησις

Ἐὰν οὖν ἀμφιβάλωσι τίς πρῶτον εὐλογήσῃ ἑκάστου παραχωροῦντος τῷ ἄλλῳ, τί δεῖ ποιῆσαι;

716

Ἐρώτηση

῍Αν οἱ πατέρες, πρὸς τοὺς ὁποίους πηγαίνω, ἀπαιτήσουν νὰ εὐλογήσω τὴν προκείμενη τροφή, νὰ τὸ δεχθῶ;

Ἀπόκριση

Νὰ μὴ τὸ δεχθεῖς, λέγοντας· 'Οὔτε κληρικὸς εἶμαι οὔτε σχῆμα ἔχω, ἀλλ' εἶμαι ἄνθρωπος κοσμικὸς καὶ ἁμαρτωλὸς καὶ αὐτὸ εἶναι πάνω ἀπὸ τὴ δύναμή μου· ἀλλὰ συγχωρέστε με στὸ ὄνομα τοῦ Κυρίου'.

717

Ἐρώτηση

῍Αν ὅλοι ὅσοι βρισκόμαστε στὸ τραπέζι εἴμαστε κοσμικοί, τί νὰ κάνομε ἀφοῦ δὲν ἔχομε κάποιον νὰ εὐλογήσει;

Ἀπόκριση

Εἶναι καλὸ καὶ οἱ κοσμικοὶ ὅταν μεταλαμβάνουν τὴν τροφὴ νὰ εὐλογοῦν τὸν Θεό, διότι μὲ τὴν ἐνθύμηση τοῦ Θεοῦ ἁγιάζεται ἡ τροφή. Αὐτὴ ὅμως ἡ εὐλογία δὲν εἶναι ὅμοια μὲ τὴν εὐλογία τῶν κληρικῶν, ἀλλ' εἶναι δοξολογία καὶ ἐνθύμηση τοῦ Θεοῦ· διότι ὅλοι πρέπει νὰ ἐνθυμοῦνται τὸν Θεὸ καὶ νὰ τὸν δοξολογοῦν. Εἶναι καλὸ λοιπὸν νὰ τὸ κάνουν αὐτὸ καὶ οἱ κοσμικοί, ὅταν δὲν ἔχουν ἐκεῖνον ποὺ μπορεῖ νὰ εὐλογεῖ.

718

Ἐρώτηση

Ἐὰν ὅμως ἀμφιβάλλουν ποιός νὰ εὐλογήσει πρῶτα, καὶ ὁ καθένας τὴν παραχωρεῖ στὸν ἄλλο, τί πρέπει νὰ κάνομε;

Ἀπόκρισις

Ο τούτους προτρεψάμενος, ὀφείλει παρακαλεῖν ὃν βούλεται εὐλογοῦντα εὐλογῆσαι· ὅταν δὲ μηδεὶς ἀνάσχηται, ἵνα μὴ γένηται φιλονεικία, ὀφείλει αὐτὸς καταδέξασθαι καὶ εἰπεῖν, 'Εὐχαῖς τῶν ἁγίων πατέρων, ὁ Κύριος ποιήσοι μεθ' ἡμῶν. Ἀμήν'.

ΨΙΘ'

Ἐρώτησις

Ἐπειδὴ εἴπατε καλὸν εἶναι καὶ τοὺς κοσμικοὺς μνημονεύειν ἐν τῇ τροφῇ τοῦ Θεοῦ, ἵνα διὰ τῆς αὐτοῦ μνήμης ἡ τροφὴ ἁγιασθῇ, ἆρα καλόν ἐστι, μήπω τιθέντος τοῦ ἄρτου ἐν τῇ τραπέζῃ, τὸν προλεγόμενον στίχον λέγειν καὶ τὴν εὐχήν;

Ἀπόκρισις

Δυνατὸν μὲν αὐτὰ εἰπεῖν, ἀλλ' ἐπειδὴ ἐν τῇ εὐχῇ λέγει τις, 'εὐλόγησον τὰ προκείμενα', καλόν ἐστι καὶ ἀκόλουθον προκειμένων τῶν ἄρτων λέγειν τὴν εὐχήν.

ΨΚ'

Ἐρώτησις

Ἐὰν λέγωσί μοι οἱ πατέρες δικάσαι ἐν πράγματι καὶ οὐ πάνυ θαρρῶ ἐμαυτόν, τί ὀφείλω ποιῆσαι; παραιτεῖσθαι ἢ καταδέξασθαι; καὶ τὸ φαινόμενόν μοι εἰπεῖν ἢ ἐρωτῆσαι τοὺς βέλτιον εἰδότας, καὶ οὕτω κρίνειν;

Ἀπόκριση

Ἐκεῖνος ποὺ τοὺς προσκάλεσε ὀφείλει νὰ παρακαλεῖ ὅποιον θέλει νὰ εὐλογήσει· ἂν ὅμως δὲν θέλει κανείς, γιὰ νὰ μὴ γίνει φιλονεικία, ὀφείλει νὰ δεχθεῖ ὁ ἴδιος καὶ νὰ πεῖ· 'Εἴθε ὁ Κύριος νὰ μᾶς εὐλογήσει μὲ τὶς προσευχὲς τῶν ἁγίων πατέρων'. Γένοιτο.

719

Ἐρώτηση

Ἐπειδὴ εἴπατε ὅτι εἶναι καλὸ καὶ οἱ κοσμικοὶ κατὰ τὴν τροφὴ νὰ ἐνθυμοῦνται τὸν Θεό, γιὰ νὰ ἁγιασθεῖ ἡ τροφὴ μὲ τὴν ἐνθύμηση αὐτοῦ, ἄραγε εἶναι καλὸ χωρὶς νὰ τοποθετηθεῖ στὸ τραπέζι ὁ ἄρτος νὰ λέγει τὸν προλεγόμενο στίχο καὶ τὴν εὐχή;

Ἀπόκριση

Εἶναι δυνατὸ βέβαια νὰ τὰ πεῖ αὐτά, ἀλλ' ἐπειδὴ στὴν προσευχὴ λέγει κανείς, 'Εὐλόγησε τὰ προκείμενα', εἶναι καλὸ καὶ λογικὸ νὰ λέγει τὴν προσευχὴ ὅταν ἔχουν τοποθετηθεῖ οἱ ἄρτοι.

720

Ἐρώτηση

Ἂν οἱ πατέρες μοῦ λένε νὰ δικάσω μιὰ ὑπόθεση καὶ δὲν ἔχω πολλὴ ἐμπιστοσύνη στὸν ἑαυτό μου, τί πρέπει νὰ κάνω; νὰ παραιτηθῶ ἢ νὰ δεχθῶ; Νὰ πῶ ὅ,τι μοῦ φαίνεται σωστὸ ἢ νὰ ἐρωτήσω ἐκείνους ποὺ γνωρίζουν καλύτερα καὶ τότε νὰ κρίνω;

Ἀπόκρισις

Διὰ τὴν κέλευσιν τῶν πατέρων κατάδεξαι καὶ εἰπὲ τοῖς δικαζομένοις ὅτι κατὰ τὸ φαινόμενόν μοι δίκαιον ἔχω δικάσαι. Καὶ βλέπε, ὥστε ὀρθὸν ἔχειν τὸν λογισμόν, καὶ μὴ κλίνῃς τὴν καρδίαν σου πρός τινα κατὰ πάθος, μήτε πρὸς χάριν, καὶ τὸ φαινόμενόν σοι δίκαιον εἰπέ· τὴν γὰρ προαίρεσιν κρίνει ὁ Θεός, ὁ μόνος τὸ ἀληθινὸν εἰδώς. Ἐὰν δὲ καὶ δυνηθῇς ἐρωτῆσαι τὸν ἀκριβέστερόν σου εἰδότα, οὐκ ἄτοπον.

ΨΚΑ'

Ἐρώτησις

Ἐὰν ἀπαιτῇ τὸ πρᾶγμα ὅρκον, ὁρίσαι αὐτοῖς ἢ οὔ;

Ἀπόκρισις

Μηδέποτε ὁρίσῃς ὅρκον παρά τινος δοθῆναι, ὁ γὰρ Θεὸς ἀπηγόρευσε τὸ ὀμόσαι τινά, ἀλλὰ λέγε, ὅτι 'Τὸ πρᾶγμα ὅρκον ἀπαιτεῖ· εἰ οὖν θέλετε ὀμόσαι, ἐν ὑμῖν ἐστιν'. Ἐὰν δὲ ἐπιτραπῇς ὑπὸ μείζονος ἐξουσίας δικάσαι, ἀνάγκασαι ὁρίσαι τὸν ὅρκον, ἤγουν τὰ συμφέροντα πρῶτον ἀκριβῶς δοκιμάσας, καὶ τότε ὁρίσαι, μηδὲν διακρινόμενος.

ΨΚΒ'

Ἐρώτησις

Ἐὰν παρακάθημαι ἀνθρώπῳ γέροντι ἢ μεγάλῳ προσώπῳ ἀναγινώσκοντι καὶ πταίῃ περὶ τόνον ἢ λέξιν, καὶ οἶδα ἐγὼ αὐτὸ ὀρθώτερον, εἴπω αὐτῷ ἢ οὔ;

᾿Απόκριση

Νὰ δεχθεῖς ἐξαιτίας τῆς διαταγῆς τῶν πατέρων καὶ πὲς στοὺς δικαζόμενους· ‘Θὰ δικάσω σύμφωνα μ’ αὐτὸ ποὺ φαίνεται δίκαιο σὲ μένα’. Πρόσεχε ὅμως, ὥστε νὰ ἔχεις ὀρθὸ τὸν λογισμό, καὶ νὰ μὴ κλίνεις τὴν καρδιά σου πρὸς κάποιον ἀπὸ πάθος, οὔτε ἀπὸ χάρη, καὶ πὲς ἐκεῖνο ποὺ σοῦ φαίνεται δίκαιο· διότι τὴν προαίρεση κρίνει ὁ Θεός, ὁ μόνος ποὺ γνωρίζει τὴν ἀλήθεια. Ἂν ὅμως μπορέσεις νὰ ἐρωτήσεις κάποιον ποὺ γνωρίζει καλύτερα ἀπὸ σένα, δὲν εἶναι ἄτοπο.

721

Ἐρώτηση

Ἂν τὸ πρᾶγμα ἀπαιτεῖ ὅρκο, νὰ τοὺς ὁρίσω νὰ τὸ κάνουν ἢ ὄχι;

᾿Απόκριση

Ποτὲ νὰ μὴ ὁρίσεις νὰ δοθεῖ ὅρκος ἀπὸ κάποιον, διότι ὁ Θεὸς ἀπαγόρευσε τὸ νὰ ὁρκισθεῖ κάποιος· ἀλλὰ λέγε· ‘Τὸ πρᾶγμα ἀπαιτεῖ ὅρκο. Ἂν λοιπὸν θέλετε νὰ ὁρκισθεῖτε, στὸ χέρι σας εἶναι’. Ἂν πάλι σοῦ ἀνατεθεῖ ἀπὸ μεγαλύτερη ἐξουσία νὰ δικάσεις, ἀνάγκασε νὰ δώσουν τὸν ὅρκο, δηλαδὴ ἀφοῦ ἐξετάσεις πρῶτα ἀκριβῶς τὰ συμφέροντα, καὶ τότε νὰ ὁρίσεις νὰ τὸν κάνουν, χωρὶς νὰ κάνεις καθόλου διάκριση.

722

Ἐρώτηση

Ἂν κάθομαι κοντὰ σὲ γέροντα ἄνθρωπο ἢ μεγάλο πρόσωπο ποὺ διαβάζει καὶ σφάλλει σὲ τόνο ἢ λέξη καὶ ἐγὼ τὸ γνωρίζω αὐτὸ καλύτερα, νὰ τοῦ τὸ πῶ ἢ ὄχι;

Ἀπόκρισις

Εἰ οἶδας ὅτι ἡδέως ἀκούει, εἰπέ, ἐὰν δὲ μή, μηδὲν αὐτῷ εἴπῃς. Πρόσεχε σεαυτῷ, μὴ κενοδοξήσῃς ἐν τῷ λογισμῷ· συμφέρει γάρ σοι σιωπῆσαι, ἢ μετὰ κενοδοξίας εἰπεῖν τι.

ΨΚΓ'

Ἐρώτησις

Ἄλλος φιλόχριστος ἠρώτησε τὸν αὐτὸν γέροντα.

Ἐὰν μοναχὸς αἰτῇ με συνελθεῖν αὐτῷ εἰς πρᾶγμα καὶ οὐ φαίνεταί μοι εἶναι κατὰ Θεόν, τί ποιήσω;

Ἀπόκρισις

Εἰ οὐκ ἔστι κατὰ Θεόν, μὴ συνέλθῃς, ἀλλ' ἀπόστα τοῦ πράγματος, λέγων αὐτῷ τὴν ἀλήθειαν, ὅτι 'καθὼς φαίνεταί μοι οὐκ αἰτοῦμαι δίκαια'. Εἰ δὲ κατὰ Θεόν ἐστι καὶ οὐ φέρει σοί τινα βλάβην ψυχῆς, σύνελθε αὐτῷ κατὰ δύναμιν, ἔστι γὰρ μισθός· ἐὰν δὲ ᾖ σοι βλάβη, μὴ βάλῃς σεαυτὸν εἰς τὸ πρᾶγμα· οὐκ ἀπαιτεῖ σε· γὰρ ὁ Θεὸς ποιῆσαι τὸ βλάπτον τὴν ψυχήν σου.

ΨΚΔ'

Ἐρώτησις

Ὅταν βλέπω τινὰ ὑβρίζοντα μοναχὸν ἢ ἀδικοῦντα ταράσσομαι πρὸς αὐτόν, ἆρα καλῶς ποιῶ ἢ οὔ;

Ἀπόκρισις

Οὐδὲν μετὰ ταραχῆς γινόμενον ἔστι καλόν, ἀλλ' ἐκ τῆς ἐνεργείας τοῦ διαβόλου· μετὰ δικαιώματος. Ἐὰν οὖν ταράσσῃ, μηδὲν εἴπῃς, ἐπεὶ κἀκεῖνον πλεῖον ταράσ-

Ἀπόκριση

Ἂν γνωρίζεις ὅτι θὰ τὸ ἀκούσει μὲ εὐχαρίστηση, πές το· ἂν ὄχι, νὰ μὴ τοῦ πεῖς τίποτε. Πρόσεχε τὸν ἑαυτό σου· μὴ φθάσεις σὲ κενοδοξία μὲ τὸν λογισμό· διότι σὲ συμφέρει νὰ σιωπήσεις, παρὰ νὰ πεῖς κάτι μὲ κενοδοξία.

723

Ἐρώτηση

Ἄλλος φιλόχριστος ἐρώτησε τὸν ἴδιο γέροντα.

Ἂν κάποιος μοναχὸς μοῦ ζητήσει νὰ τὸν βοηθήσω σὲ κάτι, καὶ δὲν μοῦ φαίνεται ὅτι εἶναι κατὰ Θεόν, τί νὰ κάνω;

Ἀπόκριση

Ἂν δὲν εἶναι κατὰ Θεόν, νὰ μὴ βοηθήσεις, ἀλλ' ἀπομακρύνσου ἀπὸ τὸ πρᾶγμα, λέγοντάς του τὴν ἀλήθεια· '῞Οπως μοῦ φαίνεται δὲ μοῦ ζητᾶς σωστὸ πρᾶγμα'. Ἂν ὅμως εἶναι κατὰ Θεὸν καὶ δὲν σοῦ φέρει κάποια βλάβη ψυχῆς, βοήθησέ τον κατὰ δύναμη, διότι εἶναι μισθός. Ἂν σοῦ εἶναι βλαβερό, νὰ μὴ βάλεις τὸν ἑαυτό σου στὴν ὑπόθεση· διότι ὁ Θεὸς δὲν ἀπαιτεῖ ἀπὸ σένα νὰ κάνεις αὐτὸ ποὺ βλάπτει τὴν ψυχή σου.

724

Ἐρώτηση

Ὅταν βλέπω κάποιον μοναχὸ νὰ βρίζει ἢ νὰ ἀδικεῖ, ταράζομαι πρὸς αὐτόν· ἄραγε κάνω καλὰ ἢ ὄχι;

Ἀπόκριση

Τίποτε δὲν εἶναι καλὸ ἂν γίνεται μὲ ταραχή, ἀλλὰ προέρχεται ἀπὸ τὴν ἐνέργεια τοῦ διαβόλου καὶ μὲ ἔγκριση δική μας. Ἂν λοιπὸν ταράζεσαι, νὰ μὴ πεῖς τίποτε,

σεις, κακία γὰρ κακίαν οὐκ ἀναιρεῖ. Ἐὰν δὲ οὐ ταράσσῃ, εἰπὲ αὐτῷ ἐν πρᾳΰτητι· 'Οὐ φοβῇ τὴν ἁμαρτίαν, ἀδίκως ὑβρίζων τὸν ἀββᾶν; οὐκ οἶδας ὅτι τὸ σχῆμα ὃ φορεῖ τοῦ Θεοῦ ἐστι καὶ παροργίζεται ὁ Θεός;' Καὶ οὕτω λαλῶν, εὑρίσκῃ κατὰ Θεὸν λαλῶν· δυνατὸς δέ ἐστιν ὁ Θεὸς ὡς θέλει ἐκεῖνον πραῦναι.

ΨΚΕ'

Ἐρώτησις

Ἄλλος φιλόχριστος ἠρώτησε τὸν αὐτὸν γέροντα.

Ἔχω δίκην πρός τινα περὶ πράγματος, πῶς κελεύεις ποιήσω; ἀκριβεύσομαι πρὸς αὐτὸν ἢ καταφρονήσω τὴν ἀκρίβειαν καὶ συντομώτερον ἀπαλλαγῶ;

Ἀπόκρισις

Σπούδασον ὅσον δύνῃ ταχέως ἀπαλλαγῆναι· τῶν τελείων γὰρ ἀνδρῶν ἐστι τὸ μὴ ταραχθῆναι ἐπερχομένων πειρασμῶν. Ὁ δὲ ἀσθενής, ἐὰν ὑπέρθηται ἀπαλλαγῆναι, ἔρχεται μετὰ ταῦτα καὶ μετανοεῖ, καὶ ὀφείλων ἑαυτὸν ἐγκαλεῖν, τρέπεται εἰς βλασφημίαν τοῦ Θεοῦ, καὶ ἀπόλλυσι τὴν ἑαυτοῦ ψυχήν, καὶ πληροῦται ἐν αὐτῷ· «τί γὰρ ὠφελήσει ἄνθρωπον, ἐὰν ὅλον τὸν κόσμον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ;».

ΨΚS'

Ἐρώτησις

Ἐπειδὴ χρεωστεῖ μοί τις, καὶ ἐὰν μὴ καταφρονήσω μικρόν, οὐκ ἐρχόμεθα εἰς εἰρήνην, τί κελεύεις ποιήσω;

διότι θὰ ταράξεις περισσότερο ἐκεῖνον, ἀφοῦ ἡ κακία δὲν ἀναιρεῖ τὴν κακία. Ἂν ὅμως δὲν ταράζεσαι, πές του μὲ πραότητα· 'Δὲν φοβᾶσαι τὴν ἁμαρτία βρίζοντας ἄδικα τὸν ἀββᾶ; Δὲν γνωρίζεις ὅτι τὸ σχῆμα ποὺ φέρει εἶναι τοῦ Θεοῦ, καὶ παροργίζεται ὁ Θεός'. Μιλώντας ἔτσι βρίσκεσαι νὰ μιλᾶς κατὰ Θεόν. Ὁ Θεὸς εἶναι δυνατὸς νὰ τὸν καταπραΰνει ὅπως θέλει ἐκεῖνος.

725

Ἐρώτηση

Ἄλλος φιλόχριστος ἐρώτησε τὸν ἴδιο γέροντα.

Ἔχω δίκη μὲ κάποιον γιὰ κάτι. Τί προστάζεις νὰ κάνω; Νὰ διαπραγματευτῶ μ' αὐτὸν μὲ ἀκρίβεια, ἢ νὰ περιφρονήσω τὴν ἀκρίβεια καὶ νὰ ἀπαλλαγῶ συντομότερα;

Ἀπόκριση

Φρόντισε νὰ ἀπαλλαγεῖς ὅσο μπορεῖς γρήγορα· διότι γνώρισμα τῶν τελείων ἀνθρώπων εἶναι τὸ νὰ μὴ ταράζονται ἀπὸ τοὺς ἐπερχόμενους πειρασμούς. Ὁ ἀσθενὴς ὅμως ἂν ἀναβάλει νὰ ἀπαλλαγεῖ, μετὰ ἀπὸ αὐτὰ ἔρχεται καὶ ἀλλάζει γνώμη καὶ ἐνῶ ὀφείλει νὰ κατηγορεῖ τὸν ἑαυτό του, τρέπεται σὲ βλασφημία τοῦ Θεοῦ καὶ χάνει τὴν ψυχή του, καὶ ἔτσι πραγματοποιεῖται σ' αὐτὸν ὁ λόγος· «τί θὰ ὠφελήσει τὸν ἄνθρωπο, ἂν κερδίσει ὅλον τὸν κόσμο, χάσει ὅμως τὴν ψυχή του;»[40].

726

Ἐρώτηση

Ἐπειδὴ μοῦ χρωστᾶ κάποιος καὶ ἂν δὲν παραβλέψω λίγο ἀπὸ τὸ χρέος, δὲν ἐρχόμαστε σὲ εἰρήνη. Τί προστάζεις νὰ κάνω;

40. Μάρκ. 8,36.

Ἀπόκρισις

Ὁ ζητῶν εἰρήνην, οὐκ ἀποστερεῖται ἀπὸ τῆς τοῦ Θεοῦ εἰρήνης· «ὁ πιστὸς οὖν ἐν ὀλίγῳ, καὶ ἐν πολλῷ πιστός ἐστι· καὶ κατακαυχᾶται ἔλεος κρίσεως». Ὥστε οὖν, ἐὰν μὴ ἄνθρωπος καταφρονήσῃ τῆς χρείας τοῦ κόσμου, οὐ φθάνει εἰς τὴν εἰρήνην τοῦ Χριστοῦ· «ὁ δὲ ἐναρξάμενος ἐν ὑμῖν ἔργου ἀγαθοῦ, αὐτὸς καὶ τελειώσει, ἄχρι τῆς ἡμέρας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἡ γὰρ εὐχὴ ἡμῶν αὕτη ἐστίν, ἵνα δώσῃ ἡμῖν ὁ Θεὸς τὴν εἰρήνην, ἵνα τελειώσωμεν τὸ ἔργον τοῦ Θεοῦ, ὥσπερ ἐμαρτυρήθη παρὰ τοῦ ξενοδόχου τοῦ ἁγιωτάτου πάσης τῆς Ἐκκλησίας.

ΨΚΖ'

Ἐρώτησις

Ἆρα τὸν οἱονδήτινα μοναχὸν ξένον ἐρχόμενον πρός με ὀφείλω δεξιοῦσθαι, μὴ ἀνακρίνων τὰ κατ' αὐτόν; ἐὰν δὲ φθάσω αὐτὸν δέξασθαι, πότε δεῖ αὐτὸν ἀπολῦσαι, καὶ εἰ χρή τι παρέχειν αὐτῷ ἐξερχομένῳ· εἰσὶ γάρ τινες καὶ τοῦτο ἀπαιτοῦντες.

Ἀπόκρισις

Γέγραπται ἐν τῷ Παροιμιαστῇ· «μὴ πάντα ἄνθρωπον εἴσαγε εἰς τὸν οἶκόν σου». Ὅταν οὖν ἔρχηται ξένος πρὸς σέ, δεήθητι πρῶτον τοῦ Θεοῦ, καὶ οὕτως ἀνάκρινον τὰ κατ' αὐτόν, καὶ πόθεν ἐστί, καὶ ποῦ ὑπάγει· καὶ ἂν φαίνηταί σοι ὅτι ὀφείλεις αὐτὸν δέξασθαι, δέξαι, καὶ ἀπόλυσον μετὰ τὴν τροφήν, μηδὲν αὐτῷ παρέχων· ἐὰν γὰρ θελήσῃς ὑπὲρ τὰ μέτρα σου χρήσασθαι πράγματι, οὐ στήκει μετὰ σοῦ.

---

41. Λουκᾶ 16,10.
42. Ἰακ. 2,13.
43. Φιλιπ. 1,6.

Ἀπόκριση

Αὐτὸς ποὺ ζητᾶ εἰρήνη δὲν στερεῖται ἀπὸ τὴν εἰρήνη τοῦ Θεοῦ· «ὁ πιστὸς λοιπὸν σὲ λίγο, εἶναι πιστὸς σὲ πολύ»[41]· «καὶ θριαμβεύει ἡ εὐσπλαχνία ἔναντι τῆς κρίσεως»[42]. Ὥστε λοιπόν, ἂν ὁ ἄνθρωπος δὲν περιφρονήσει τὴν ἀνάγκη τοῦ κόσμου, δὲν φθάνει στὴν εἰρήνη τοῦ Χριστοῦ. «Αὐτὸς ποὺ ἄρχισε ἀνάμεσά σας ἀγαθὸ ἔργο, αὐτὸς καὶ θὰ τὸ τελείωσει μέχρι τὴν ἡμέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ»[43]. Διότι αὐτὴ εἶναι ἡ εὐχή μας, νὰ μᾶς δώσει ὁ Θεὸς τὴν εἰρήνη γιὰ νὰ ὁλοκληρώσομε τὸ ἔργο τοῦ Θεοῦ, ὅπως ἐπιβεβαιώθηκε ἀπὸ τὸν ἅγιο ξενοδόχο ὅλης τῆς Ἐκκλησίας[44].

727

Ἐρώτηση

Ἄραγε ὀφείλω νὰ φιλοξενῶ ὁποιοδήποτε ξένο μοναχὸ ποὺ ἔρχεται σὲ μένα, χωρὶς νὰ ἐρωτήσω τὰ σχετικὰ μ' αὐτόν; καὶ ἂν τὸν δεχθῶ, πότε πρέπει νὰ τὸν ἀπολύσω, καὶ ἂν πρέπει νὰ τοῦ δώσω κάτι ὅταν φεύγει· διότι ὑπάρχουν μερικοὶ ποὺ ἀπαιτοῦν καὶ αὐτό.

Ἀπόκριση

Ἔχει γραφεῖ στὸν Παροιμιαστή· «νὰ μὴ βάζεις στὸ σπίτι σου κάθε ἄνθρωπο»[45]. Ὅταν λοιπὸν ἔρχεται ξένος σὲ σένα, παρακάλεσε πρῶτα τὸν Θεό, καὶ μετὰ ἐξέτασε τὰ σχετικὰ μ' αὐτόν, καὶ ἀπὸ ποῦ εἶναι, καὶ ποῦ πηγαίνει· καὶ ἂν σοῦ φανεῖ ὅτι πρέπει νὰ τὸν δεχθεῖς, δέξου τον καὶ ἄφησέ τον νὰ φύγει μετὰ τὴν τροφή, χωρὶς νὰ τοῦ δώσεις τίποτε· διότι, ἂν θελήσεις νὰ κάνεις κάτι πάνω ἀπὸ τὰ μέτρα σου, δὲν στέκει σὲ σένα.

---

44. Ἐδῶ ὁ γέρων ἀναφέρεται ἴσως στὸν Κύριο Ἰησοῦ Χριστό.
45. Σοφ. Σειρὰχ 11,29.

ΨΚΗʹ

Ἐρώτησις

Τί οὖν, ὅτι, ἔχων εἰς αὐτὸν πληροφορίαν, καὶ ἐκράτησα αὐτὸν ὀλίγας ἡμέρας καὶ θέλω πούποτε ἀπελθεῖν καὶ αἰσχύνομαι εἰπεῖν αὐτῷ ἀναχωρῆσαι, ἵνα μὴ σκανδαλισθῇ, ἢ καὶ δίχα αἰτίας θέλω αὐτὸν ἀπολῦσαι· πῶς ποιήσω;

Ἀπόκρισις

Εἰπὲ αὐτῷ ἐν ἱλαρότητι· "Ἀββᾶ, προῄρησαι νῦν πούποτε ἀπελθεῖν;' Κἂν εἴπῃ, 'ναί', εἰπὲ αὐτῷ· 'Κἀγὼ χρείαν ἔχω καὶ θέλω δι' αὐτὴν ἀπελθεῖν'. Εἰ δὲ καὶ εἴπῃ, ὅτι 'οὔ', εἰπέ· 'Καὶ πῶς κελεύεις; ὅτι ἐγὼ χρείαν ἔχω πούποτε ἀπελθεῖν, καὶ οὐκ ἔστιν ὧδε ὁ δυνάμενός σε θεραπεῦσαι'· καὶ οὕτω καὶ αὐτὸς ἀπέρχεται μετὰ εἰρήνης.

ΨΚΘʹ

Ἐρώτησις

Ἆρα καλόν ἐστι συστέλλειν τὰ πράγματα τοῦ κελλίου, ἵνα μήτι ἀπόληται, ἢ ἀφεῖναι τὸ πρᾶγμα τῷ Θεῷ;

Ἀπόκρισις

Καλόν ἐστι τὸ συστέλλειν αὐτά, οὐ μόνον τὰ ἀνήκοντα τῇ ξενοδοχίᾳ, ἀλλὰ καὶ αὐτὰ τὰ τῆς ὑπηρεσίας, μετὰ τὸ ποιῆσαι τὴν χρείαν· οὐ δεῖ γὰρ δοῦναι πρόφασιν τῷ διαβόλῳ. Ἐὰν συμβῇ δὲ ἐκ λήθης ἢ ῥᾳθυμίας τί ποτε ἀπολέσθαι, μὴ θλιβῇς, ἀλλὰ μέμψαι σεαυτὸν ἐπὶ τῇ ῥᾳθυμίᾳ, καὶ αἴτησαι παρὰ τοῦ Θεοῦ συγχώρησιν. Καὶ μὴ ἀποστρέφῃ σε τούτου τοῦ καλοῦ τῆς ξενοδοχίας ἔργου, ἀλλ' ἐπίμεινον κατὰ δύναμιν,

728

Ἐρώτηση

Τί λοιπόν· σὲ περίπτωση ποὺ ἔχω γι' αὐτὸν πληροφορία καὶ τὸν κράτησα λίγες μέρες, καὶ θέλω κάποτε νὰ φύγει ἀλλὰ ντρέπομαι νὰ τοῦ πῶ ν' ἀναχωρήσει, γιὰ νὰ μὴ σκανδαλισθεῖ, ἢ καὶ θέλω, χωρὶς αἰτία, νὰ τὸν διώξω, πῶς νὰ ἐνεργήσω;

Ἀπόκριση

Πές του μὲ ἱλαρότητα· "Ἀββᾶ, σκέπτεσαι κάποτε νὰ φύγεις;' Καὶ ἂν πεῖ, 'ναί', πές του· 'Καὶ ἐγὼ ἔχω κάποια ἀνάγκη καὶ θέλω ἐξαιτίας αὐτῆς νὰ φύγω'. Ἂν ὅμως πεῖ 'ὄχι', πές του· 'Καὶ τί διατάζεις νὰ γίνει; διότι ἐγὼ ἔχω ἀνάγκη νὰ φύγω κάποτε καὶ δὲν ὑπάρχει ἐδῶ κάποιος ποὺ μπορεῖ νὰ σὲ περιποιηθεῖ'. Ἔτσι καὶ αὐτὸς θὰ φύγει μὲ εἰρήνη.

729

Ἐρώτηση

Ἄραγε εἶναι καλὸ νὰ συμμαζεύω τὰ πράγματα τοῦ κελιοῦ, γιὰ νὰ μὴ χαθεῖ κάτι; ἢ νὰ ἀφήσω τὸ πρᾶγμα στὸν Θεό;

Ἀπόκριση

Καλὸ εἶναι νὰ τὰ συμμαζεύεις, ὄχι μόνο ἐκεῖνα ποὺ ἀνήκουν στὴ φιλοξενία, ἀλλὰ καὶ αὐτὰ τῆς ὑπηρεσίας, ἀφοῦ κάνεις τὴν ἀνάγκη· διότι δὲν πρέπει νὰ δίνεις πρόφαση στὸν διάβολο. Ἐὰν πάλι συμβεῖ νὰ χάσεις κάτι ἀπὸ λησμοσύνη ἢ ἀδιαφορία, μὴ στενοχωρεθεῖς, ἀλλὰ κατάκρινε τὸν ἑαυτό σου γιὰ τὴν ἀδιαφορία, καὶ ζήτησε ἀπὸ τὸν Θεὸ συγχώρηση. Καὶ νὰ μὴ ἀποφεύγεις αὐτὸ τὸ καλὸ ἔργο τῆς φιλοξενίας, ἀλλὰ συνέχισε κατὰ δύναμη καὶ ὄχι πάνω ἀπὸ τὴ δύναμη,

καὶ μὴ ὑπὲρ δύναμιν, ἐν διακρίσει τοῦτο ποιῶν, καὶ φροντίζων τοῦ λοιποῦ εἰς τὸ μὴ δοῦναι χώραν τῷ πειρασμῷ.

ΨΛ΄

Ἐρώτησις

Ἐπειδὴ ὁ Κύριος εἶπε, «μακάριοι οἱ πενθοῦντες», καὶ ὁ Ἀπόστολος λέγει, «φαιδρὸν εἶναι καὶ εὐπρόσιτον», τί ποιῶν τις δοκεῖ πενθεῖν ἢ φαιδρὸς εἶναι; καὶ πῶς δυνατὸν τὰ δύο κατ᾽ αὐτὸ εἶναι τὸ πένθος καὶ τὴν φαιδρότητα;

Ἀπόκρισις

Πένθος ἐστὶν ἡ κατὰ Θεὸν λύπη, ἣν τίκτει ἡ μετάνοια, τὰ δὲ τῆς μετανοίας γνωρίσματα νηστεία, ψαλμῳδία, προσευχή, μελέτη τῶν τοῦ Θεοῦ λογίων· ἡ δὲ φαιδρότης ἐστὶν ἡ κατὰ Θεὸν ἱλαρότης, ἥτις καὶ λόγῳ καὶ προσώπῳ μετὰ σεμνότητος δείκνυται τοῖς ἐντυγχάνουσιν. Ἐχέτω οὖν ἡ καρδία τὸ πένθος, τὸ δὲ πρόσωπον καὶ ὁ λόγος τὴν σεμνὴν ἱλαρότητα, καὶ οὕτως ἀμφότερα δύνανται κατ᾽ αὐτὸ εἶναι.

ΨΛΑ΄

Ἐρώτησις

Ἐὰν φίλος αἰτῇ με ἐγγυήσασθαι αὐτόν, ἐγγυήσωμαι ἢ οὔ;

Ἀπόκρισις

Η ἐγγύη πειρασμὸν φέρει. Εἰ οὖν φεύγειν θέλεις τὸν πειρασμόν, μὴ βάλῃς σεαυτὸν εἰς ἐγγύην, ἀλλὰ μετὰ παρρησίας λάλησον αὐτῷ τὴν ἀλήθειαν, λέγων ὅτι· Τὴν

46. Ματθ. 5,4.

κάνοντάς το μὲ διάκριση, καὶ φροντίζοντας στὸ ἑξῆς νὰ μὴ δώσεις τόπο στὸν πειρασμό.

730

Ἐρώτηση

Ἐπειδὴ ὁ Κύριος εἶπε, «μακάριοι εἶναι ἐκεῖνοι ποὺ πενθοῦν»[46], καὶ ὁ Ἀπόστολος λέγει, «νὰ εἶναι κανεὶς φαιδρὸς καὶ εὐπρόσιτος»[46α], τί κάνοντας κανεὶς φαίνεται ὅτι πενθεῖ ἢ ὅτι εἶναι φαιδρός; καὶ πῶς εἶναι δυνατὸ τὸ πένθος καὶ ἡ φαιδρότητα νὰ συνυπάρχουν τὰ δύο;

Ἀπόκριση

Πένθος εἶναι ἡ κατὰ Θεὸν λύπη, τὴν ὁποία γεννᾶ ἡ μετάνοια· τὰ γνωρίσματα τῆς μετανοίας εἶναι, νηστεία, ψαλμωδία, προσευχὴ καὶ μελέτη τῶν λόγων τοῦ Θεοῦ· ἡ φαιδρότητα εἶναι ἡ κατὰ Θεὸν ἱλαρότητα, ἡ ὁποία δείχνεται μὲ σεμνότητα καὶ μὲ τὸν λόγο καὶ μὲ τὸ πρόσωπο σ' ἐκείνους ποὺ συναντᾶ κανείς. Ἂς ἔχει λοιπὸν ἡ καρδιὰ τὸ πένθος, ἐνῶ τὸ πρόσωπο καὶ ὁ λόγος τὴ σεμνὴ ἱλαρότητα· καὶ ἔτσι καὶ τὰ δύο μποροῦν νὰ συνυπάρχουν.

731

Ἐρώτηση

Ἂν φίλος μοῦ ζητήσει νὰ τοῦ ἐγγυηθῶ, νὰ ἐγγυηθῶ ἢ ὄχι;

Ἀπόκριση

Ἡ ἐγγύηση φέρει πειρασμό· ἂν λοιπὸν θέλεις ν' ἀποφύγεις τὸν πειρασμό, μὴ βάλεις τὸν ἑαυτό σου ἐγγυητή, ἀλλὰ μὲ παρρησία νὰ τοῦ πεῖς τὴν ἀλήθεια λέγοντας·

46α. Α' Κορ. 7,35.

ἀγάπην ἣν ἔχω πρὸς σὲ γνωρίζεις, ἐντολὴν δὲ ἔχω πατέρων μὴ ἐγγυήσασθαί τινα, εἰδότων τὴν ἐμὴν ἀσθένειαν, μᾶλλον γὰρ αὐτοὶ προεῖδον ἐμοῦ. Τὸ οὖν παραβῆναι τὴν ἐντολὴν καὶ ἁμαρτεῖν εἰς τὸν Θεόν, φοβοῦμαι'. Ταῦτα εἰπέ, κἂν λυπηθῇ μὴ φροντίσῃς. Διὰ δὲ προφάσεως εὐλόγου ἐὰν δύνασαι εὐλυτῶσαι, καλόν ἐστιν· ἔστι γὰρ ὅτε συμβαίνει ἐκεῖνον μὴ καταδέχεσθαι λαβεῖν σε ἐγγυητήν, εἴτε κατὰ τιμήν, εἴτε ὡς δήποτε, καὶ οὐχ εὑρίσκεται παρὰ σὲ ἡ αἰτία, καὶ οὐ λαμβάνει χώραν ἡ λύπη. Ἐὰν δὲ συναρπαγῇς ἐγγυῆσαι, μὴ βάλῃς σεαυτὸν εἰς ῥᾳθυμίαν περισσοτέραν, ἀλλ' εἰπὲ τῷ λογισμῷ, 'Εἴ τι γέγονε γέγονεν, ἀλλ' ὁ Κύριος ἐκλυτρώσοι με καὶ σκεπάσοι εἰς τὰ μετὰ ταῦτα'. Καὶ μὴ παύσῃ δεόμενος περὶ τούτου τοῦ Θεοῦ, καὶ αὐτὸς δυνατός ἐστι ποιῆσαι κατὰ τὸ μέγα ἔλεος αὐτοῦ.

ΨΛΒ'

Ἐρώτησις

Ἀγαπητὸν ἔχω καὶ κινδυνεύει εἰς τὴν σωτηρίαν τῆς ψυχῆς αὐτοῦ ἢ εἰς ἀπώλειαν τῶν πραγμάτων αὐτοῦ· κελεύεις συνέλθω αὐτῷ;

Ἀπόκρισις

Ἐὰν ᾖ ἀγαπητός σου κατὰ Θεὸν καὶ κινδυνεύῃ εἰς τὴν σωτηρίαν τῆς ψυχῆς αὐτοῦ ἢ εἰς ἀπώλειαν τῶν πραγμάτων αὐτοῦ, σπούδασον συνελθεῖν αὐτῷ κατὰ τὴν δύναμίν σου, ἐφ' ὅσον οὐχ εὑρίσκεις βλάβος ψυχῆς. Ἐὰν δὲ πρόκειται βλάβος ψυχῆς ἀπόστα καὶ μὴ βάλῃς σεαυτόν, ἀφεὶς τῷ Θεῷ τὸ πρᾶγμα, καὶ εὐχόμενος αὐτῷ περὶ τῆς βοηθείας τοῦ πλησίον. Καὶ αὐτὸς δυνατός ἐστι κατὰ τὸ συμφέρον αὐτῷ ποιῆσαι, ὡς ἡμῖν δέοι.

'Γνωρίζεις τὴν ἀγάπη ποὺ ἔχω πρὸς ἐσένα, ἔχω ὅμως ἐντολὴ ἀπὸ τοὺς πατέρες νὰ μὴ ἐγγυηθῶ σὲ κάποιον, ἐπειδὴ γνωρίζουν τὴν ἀσθένειά μου, τὴν ὁποία προεῖδαν περισσότερο ἀπὸ ἐμένα. Τὸ νὰ παραβῶ λοιπὸν τὴν ἐντολὴ καὶ νὰ ἁμαρτήσω στὸν Θεό, τὸ φοβᾶμαι'. Πὲς αὐτά, κι ἂν λυπηθεῖ, μὴ φροντίσεις. Καλὸ εἶναι ἂν μπορεῖς νὰ τὸ ἀποφύγεις μὲ εὔλογη πρόφαση. Συμβαίνει μερικὲς φορὲς ἐκεῖνος νὰ μὴ καταδέχεται νὰ σὲ πάρει ἐγγυητή, εἴτε ἀπὸ τιμή, εἴτε ἀπ' ὁτιδήποτε ἄλλο, καὶ δὲν βρίσκεται σὲ σένα ἡ αἰτία, ὁπότε δὲν ἔχει θέση ἡ λύπη. Ἂν ὅμως παρασυρθεῖς νὰ ἐγγυηθεῖς, νὰ μὴ βάλεις τὸν ἑαυτό σου σὲ περισσότερη ραθυμία, ἀλλὰ πὲς στὸν λογισμό· '"Ο,τι ἔγινε ἔγινε, ἀλλὰ ὁ Κύριος εἴθε νὰ μὲ λυτρώσει καὶ νὰ μὲ προστατέψει στὴ συνέχεια'. Καὶ μὴ σταματήσεις νὰ παρακαλᾶς τὸν Θεὸ γι' αὐτὸ καὶ αὐτὸς εἶναι δυνατὸ νὰ κάνει σύμφωνα μὲ τὸ μεγάλο ἔλεός του.

732

Ἐρώτηση

Ἔχω ἀγαπητὸ καὶ κινδυνεύει ὡς πρὸς τὴ σωτηρία τῆς ψυχῆς του ἢ σὲ ἀπώλεια τῶν πραγμάτων του· διατάζεις νὰ τὸν βοηθήσω;

Ἀπόκριση

Ἂν εἶναι ἀγαπητός σου κατὰ Θεὸν καὶ κινδυνεύει ὡς πρὸς τὴ σωτηρία τῆς ψυχῆς του ἢ σὲ ἀπώλεια τῶν πραγμάτων του, φρόντισε νὰ τὸν βοηθήσεις σύμφωνα μὲ τὴ δύναμή σου, ἐφόσον δὲν βρίσκεις βλάβη ψυχῆς. Ἂν ὅμως ἡ ἐπέμβαση ἐνέχει βλάβη ψυχῆς, ἀπομακρύνσου καὶ μὴ βάλεις τὸν ἑαυτό σου στὸν κίνδυνο, ἀφήνοντας τὸ πρᾶγμα στὸ Θεὸ καὶ προσευχόμενος σ' αὐτὸν γιὰ τὴ βοήθεια τοῦ πλησίον. Καὶ αὐτὸς εἶναι δυνατὸς νὰ ἐνεργήσει ὅπως συμφέρει σ' αὐτόν, ὅπως χρειαζόμαστε ἐμεῖς.

ΨΛΓ'

Ἐρώτησις

Ἀγαπητὸν ἔχω καὶ εὑρέθη αἱρετικός· νουθετήσω αὐτὸν περὶ τοῦ ὀρθοῦ φρονήματος;

Ἀπόκρισις

Νουθέτησον αὐτὸν τὴν ὀρθὴν ἐπιγνῶναι πίστιν, μὴ ἀντιβάλῃς δὲ αὐτῷ μηδὲ θελήσῃς γνῶναι τί φρονεῖ, ἵνα μὴ ἐμβάλῃς εἰς σὲ τὸν ἰὸν αὐτοῦ, ἀλλ' ἐὰν θελήσῃ ὅλως ὠφεληθῆναι καὶ ἀκοῦσαι τὴν ἀλήθειαν τῆς πίστεως τοῦ Θεοῦ, λάβε αὐτὸν πρὸς ἁγίους πατέρας τοὺς δυναμένους ἐν Χριστῷ αὐτὸν ὠφελῆσαι, καὶ οὕτως εὑρίσκῃ ἀβλαβῶς κατὰ Θεὸν αὐτῷ συνερχόμενος. Ἐὰν δὲ μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν μὴ προσδέξηται τὴν διόρθωσιν, τὸν τοιοῦτον, κατὰ τὸν Ἀπόστολον, παραιτοῦ. Οὐ γὰρ θέλει ὁ Θεὸς ποιεῖν τινα ὑπὲρ δύναμιν αὐτοῦ, καθὼς λέγουσιν οἱ πατέρες· ἐὰν γὰρ ἴδῃς, φησί, τινὰ πνιγόμενον ἐπὶ τοῦ ποταμοῦ, μὴ δώσῃς αὐτῷ τὴν χεῖρά σου, ἵνα μὴ συνελκύσῃ σε καὶ συναποθάνῃς αὐτῷ· ἀλλὰ δὸς αὐτῷ τὴν ῥάβδον σου, καὶ εἰ μὲν δυνηθῇς ἑλκῦσαι αὐτόν, ἰδοὺ καλῶς, εἰ δὲ μή, ἀφήσεις αὐτῷ τὴν ῥάβδον σου καὶ σὺ σωθήσῃ.

ΨΛΔ'

Ἐρώτησις

Τίς ποτε τῶν πατέρων ἔχων ἀγαπητὸν ἐν Κυρίῳ καὶ νομιζόμενος εἶναι ὀρθόδοξος, εὑρέθη αἱρετικὸς τῷ φρονήματι καὶ οἱ ὄντες ἀγαπητοὶ αὐτοῦ ἀπέστησαν ἀπ' αὐτοῦ. Μετὰ ταῦτα ἀκούσαντες, ὅτι βούλεται φανερῶς ἀποστῆναι τῆς Ἐκκλησίας ἐλογίσαντο ἀπελθεῖν καὶ ποιῆσαι αὐτῷ μετάνοιαν, μήποτε κατὰ λύπην τοῦτο ποιῇ καὶ ἐπι-

---

47. Τίτ. 3,10.

733

Ἐρώτηση

Ἔχω ἀγαπητὸν ποὺ βρέθηκε αἱρετικός· νὰ τὸν συμβουλέψω γιὰ τὸ ὀρθὸ φρόνημα;

Ἀπόκριση

Συμβούλεψέ τον νὰ γνωρίσει τὴν ὀρθὴ πίστη, νὰ μὴ συζητήσεις ὅμως μ' αὐτόν, οὔτε νὰ θελήσεις νὰ γνωρίσεις τί φρονεῖ, γιὰ νὰ μὴ βάλεις μέσα σου τὸ δηλητήριό του, ἀλλά, ἂν θελήσει ὁπωσδήποτε νὰ ὠφεληθεῖ καὶ νὰ ἀκούσει τὴν ἀλήθεια τῆς πίστεως τοῦ Θεοῦ, πάρε τον καὶ πήγαινέ τον πρὸς τοὺς ἅγιους πατέρες ποὺ μποροῦν νὰ τὸν ὠφελήσουν μὲ τὴ βοήθεια τοῦ Χριστοῦ, καὶ ἔτσι θὰ βρεθεῖς νὰ τὸν βοηθᾶς κατὰ Θεὸν χωρὶς βλάβη. Ἂν ὅμως μετὰ τὴν πρώτη καὶ τὴ δεύτερη νουθεσία δὲν δεχθεῖ τὴ διόρθωση, ἄφησέ τον, σύμφωνα μὲ τὸν Ἀπόστολο[47]. Διότι ὁ Θεός, ὅπως λένε οἱ πατέρες, δὲν θέλει νὰ κάνει κάποιος παραπάνω ἀπὸ τὴ δύναμή του. Ἂν δεῖς, λέγει, κάποιος νὰ πνίγεται στὸ ποτάμι, νὰ μὴ τοῦ δώσεις τὸ χέρι σου, μήπως σὲ τραβήξει καὶ σένα καὶ πεθάνεις μαζὶ μ' αὐτόν, ἀλλὰ δός του τὸ ραβδί σου· καὶ ἂν μπορέσεις νὰ τὸν τραβήξεις, ἔχει καλῶς, ἂν ὄχι, νὰ τοῦ ἀφήσεις τὸ ραβδί σου καὶ θὰ σωθεῖς ἐσύ.

734

Ἐρώτηση

Κάποτε κάποιος ἀπὸ τοὺς πατέρες εἶχε ἀγαπητὸν ἐν Κυρίῳ ὁ ὁποῖος θεωροῦνταν ὅτι εἶναι ὀρθόδοξος, ἀλλὰ βρέθηκε αἱρετικὸς στὸ φρόνημα, καὶ ἐκεῖνοι ποὺ ἦταν ἀγαπητοί του ἀπομακρύνθηκαν ἀπὸ αὐτόν. Ὅταν μετὰ ἀπὸ αὐτὰ ἄκουσαν ὅτι θέλει ν' ἀπομακρυνθεῖ φανερὰ ἀπὸ τὴν Ἐκκλησία σκέφθηκαν νὰ μεταβοῦν καὶ νὰ κάνουν μετάνοια σ' αὐτόν, μήπως τὸ κάνει αὐτὸ ἀπὸ λύπη καὶ ἐπι-

γραφῇ αὐτοῖς τὸ κρῖμα, καὶ ἐλθόντες ἠρώτησαν τὸν γέροντα περὶ τούτου.

Ἀπόκρισις

Τὸ πάθος, πάθος ἐστί· μὴ οὖν ποιήσητε σχήματα, οὐ γὰρ ὡς ἁμαρτήσαντες εἰς αὐτὸν μετανοεῖτε αὐτῷ, ἀλλ' ἵνα μὴ ἀποστῇ τῆς Ἐκκλησίας.

ΨΛΕ'

Ἐρώτησις

Οἱ αὐτοὶ πάλιν ἠρώτησαν αὐτόν.

Ἐὰν οὖν τοῦτο ποιήσῃ καὶ περιτύχωμεν αὐτῷ, ἀσπασώμεθα αὐτὸν ἢ οὔ;

Ἀπόκρισις

Καθὼς διάκεισθε πρὸς πάντας τοὺς τοιούτους, οὕτω πρὸς αὐτὸν γίνεσθε, ἐν τῇ αὐτῇ τάξει ἔχοντες καὶ τοῦτον.

ΨΚS'

Ἐρώτησις

Ἐάν τις εἰσέλθῃ εἰς τὴν ἐκκλησίαν τῷ καιρῷ τῆς συνάξεως καὶ πρὸ τῆς ἀπολύσεως ἐξέλθῃ, μὴ ἁμαρτία ἐστίν;

Ἀπόκρισις

Τὸ τέλειον καὶ ἀρέσκον Θεῷ ἐστιν, ἵνα ὁ εἰσερχόμενος εἰς τὴν ἐκκλησίαν ἀκούῃ τῶν Γραφῶν καὶ μένῃ τὴν σύναξιν καὶ τὴν τελείαν ἀπόλυσιν· χωρὶς γὰρ αἰτίας εὐ-

γραφεῖ σ' αὐτοὺς τὸ κρῖμα· ἦρθαν λοιπὸν καὶ ἐρώτησαν τὸν γέροντα γι' αὐτό.

Ἀπόκριση

Τὸ πάθος, εἶναι πάθος· μὴ κάνετε λοιπὸν προσχήματα, διότι δὲν μετανοεῖτε σ' αὐτὸν σὰν νὰ ἁμαρτήσατε πρὸς αὐτόν, ἀλλὰ γιὰ νὰ μὴ ἀπομακρυνθεῖ ἀπὸ τὴν Ἐκκλησία.

735

Ἐρώτηση

Οἱ ἴδιοι πάλι τὸν ἐρώτησαν.

Ἂν λοιπὸν τὸ κάνει αὐτὸ καὶ τὸν συναντήσομε, νὰ τὸν ἀσπασθοῦμε ἢ ὄχι;

Ἀπόκριση

Ὅπως συμπεριφέρεστε πρὸς ὅλους τοὺς ὅμοιους, ἔτσι νὰ συμπεριφέρεστε καὶ πρὸς αὐτόν, ἔχοντας καὶ αὐτὸν στὴν ἴδια τάξη.

736

Ἐρώτηση

Ἂν κάποιος μπεῖ στὴν ἐκκλησία κατὰ τὸν καιρὸ τῆς συνάξεως καὶ βγεῖ πρὶν ἀπὸ τὴν ἀπόλυση, μήπως εἶναι ἁμαρτία;

Ἀπόκριση

Τὸ τέλειο καὶ ἀρεστὸ στὸν Θεὸ εἶναι αὐτὸς ποὺ μπαίνει στὴν ἐκκλησία νὰ ἀκούει τὶς Γραφὲς καὶ νὰ μένει στὴ σύναξη ὣς τὴν ἀπόλυση· διότι δὲν πρέπει χωρὶς εὐλο-

λόγου οὐ δεῖ πρὸ τῆς ἀπολύσεως ἀναχωρεῖν· ἐπεὶ καταφρόνησίς ἐστιν. Ἀνάγκης δὲ προκειμένης συγγνώμης ἔχει, πλὴν οὐδ' οὕτως ὀφείλει δικαιῶσαι ἑαυτόν, ἀλλ' αἰτεῖν συγχώρησιν παρὰ τοῦ Θεοῦ, λέγων· 'Δέσποτα, συγχώρησόν μοι, ὅτι οὐκ ἠδυνήθην φυλάξαι'.

ΨΛΖ'

Ἐρώτησις

Ὀφείλει τις λαλεῖν ἐν τῇ ἐκκλησίᾳ;

Ἀπόκρισις

Οὐ χρεία ὅλως ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, τῆς ἁγίας λειτουργίας προκειμένης, τινὰ λαλεῖν, ἀλλὰ σχολάζειν τῇ προσευχῇ καὶ ἀκροᾶσθαι σπουδαίως τῶν θείων Γραφῶν, λαλοῦσι γὰρ τὰ πρὸς σωτηρίαν τῶν ἡμετέρων ψυχῶν. Ἐὰν δὲ γένηται ἀνάγκη τοῦ λαλῆσαι, χρὴ συντομεῦσαι διὰ τὴν τιμὴν καὶ τὸν φόβον τῆς προκειμένης ὥρας, καὶ οὕτως ἔχειν ὡς κατάκρισιν τὸ πρᾶγμα.

ΨΛΗ'

Ἐρώτησις

Ἐὰν μὲν ἐγὼ οὐ θέλω λαλῆσαι, τινὲς δὲ τῶν πατέρων ἄρξωνται τῆς πρὸς ἐμὲ ὁμιλίας, τί ποιήσω , ἵνα μὴ σκανδαλισθῶσιν ἐπὶ τῇ ἐμῇ σιωπῇ, νομίζοντες εἶναι τὸ πρᾶγμα ἐν καταφρονήσει;

Ἀπόκρισις

Ἐὰν αὐτοὶ ἄρξωνται, ἀποκρίθητι μετὰ συντομίαν, ἔχων καὶ οὕτως ὡς κατάκρισιν τὸ πρᾶγμα.

γη αἰτία ν' ἀναχωρεῖ πρὶν ἀπὸ τὴν ἀπόλυση· διότι εἶναι περιφρόνηση. Ὅταν ὅμως ὑπάρχει ἀνάγκη, ἔχει συγχώρηση· πλὴν ὅμως οὔτε ἔτσι δὲν πρέπει νὰ δικαιώσει τὸν ἑαυτό του, ἀλλὰ νὰ ζητᾶ συγχώρηση ἀπὸ τὸν Θεὸ λέγοντας· 'Δέσποτα, συγχώρεσέ με, διότι δὲν μπόρεσα νὰ φυλάξω'.

737

Ἐρώτηση

Πρέπει κανεὶς νὰ μιλάει μέσα στὴν ἐκκλησία;

Ἀπόκριση

Δὲν πρέπει καθόλου νὰ μιλᾶ κανεὶς μέσα στὸν οἶκο τοῦ Θεοῦ ὅταν γίνεται ἡ θεία λειτουργία, ἀλλὰ νὰ ἀσχολεῖται μὲ τὴν προσευχὴ καὶ νὰ ἀκούει προσεκτικὰ τὶς θεῖες Γραφές, διότι αὐτὲς περιέχουν τὰ σχετικὰ μὲ τὴ σωτηρία τῶν ψυχῶν μας. Ἂν παραστεῖ ἀνάγκη νὰ μιλήσει, πρέπει νὰ συντομεύει ἀπὸ σεβασμὸ καὶ φόβο τῆς προκείμενης ὥρας, καὶ νὰ τὸ θεωρεῖ τὸ πρᾶγμα ἔτσι, σὰν κατάκριση.

738

Ἐρώτηση

Ἂν βέβαια ἐγὼ δὲν θέλω νὰ μιλήσω, μερικοὶ ὅμως ἀπὸ τοὺς πατέρες ἀρχίσουν τὴν ὁμιλία πρὸς ἐμένα, τί νὰ κάνω γιὰ νὰ μὴ σκανδαλισθοῦν μὲ τὴ σιωπή μου, νομίζοντας ὅτι ἡ στάση μου σημαίνει περιφρόνηση;

Ἀπόκριση

Ἂν ἀρχίσουν αὐτοί, ἀπάντησε μὲ συντομία, θεωρώντας ὅμως καὶ ἔτσι τὸ πρᾶγμα σὰν κατάκριση.

ΨΛΘ´

Ἐρώτησις

Ἐπειδὴ λέγει μοι ὁ λογισμὸς μὴ συνεχῶς προϊέναι ἐκ τοῦ οἴκου, ἔστι δὲ ὅτε γίνονται πολλαὶ συνάξεις τὴν ἑβδομάδα, ὀφείλω κατιέναι εἰς αὐτάς, ἢ μᾶλλον σχολάζειν ἐν τῷ οἴκῳ;

Ἀπόκρισις

Εἰ οἶδας ὅτι ἐκ τοῦ προελθεῖν βλάπτουσί σε αἱ συντυχίαι, συμφέρει τὸ μὴ συνεχῶς προϊέναι, μηδὲ προφάσει τῆς συνάξεως κατιέναι, ἀλλ᾽ ἅπαξ ἅπαξ· πολλῶν γὰρ ἀπαλλάττει κακῶν ἡ ἡσυχία.

ΨΜ´

Ἐρώτησις

Ἐὰν δὲ γένηταί μοι ἀνάγκη τοῦ προελθεῖν διὰ χρείαν ἐμὴν ἢ πατέρων, μὴ βάρος ἐστὶ τὸ μὴ ἀπελθεῖν εἰς τὴν σύναξιν;

Ἀπόκρισις

Ἐὰν ἀναγκαία χρεία ᾖ ἢ κέλευσις πατέρων, σπούδασον κατὰ φόβον Θεοῦ ποιῆσαι τὸ πρᾶγμα καὶ μὴ διακριθῇς μὴ ἀπερχόμενος εἰς τὴν σύναξιν, ἀλλ᾽ ἀνάλυσον εἰς τὸν οἶκόν σου, κἀκεῖ μιμνήσκου τῶν ἁμαρτιῶν σου. Ἐὰν δὲ κατὰ ῥᾳθυμίαν καὶ μετεωρισμόν, συμφέρει τότε μᾶλλον ἀπελθεῖν εἰς τὴν σύναξιν, καὶ μὴ ῥέμβεσθαι, ἀλλὰ προσέχειν.

ΨΜΑ´

Ἐρώτησις

Ἆρα καλόν ἐστιν ἵνα κατέρχωμαι εἰς τὴν ἐκκλησίαν τὴν νύκτα, ἢ ἐν τῷ οἴκῳ μου ποιήσω κατὰ δύναμιν τὴν ἀγρυπνίαν;

739

Ἐρώτηση

Ἐπειδὴ ὁ λογισμός μοῦ λέγει νὰ μὴ βγαίνω συνέχεια ἀπὸ τὸ σπίτι, συμβαίνει ὅμως νὰ γίνονται πολλὲς συνάξεις τὴν ἑβδομάδα, ὀφείλω νὰ κατεβαίνω σ' αὐτές, ἢ μᾶλλον νὰ ἡσυχάζω μέσα στὸ σπίτι;

Ἀπόκριση

Ἂν γνωρίζεις ὅτι μὲ τὴν ἔξοδό σου σὲ βλάπτουν οἱ συναντήσεις, συμφέρει νὰ μὴ βγαίνεις συνεχῶς, οὔτε νὰ κατεβαίνεις μὲ τὴν πρόφαση τῆς συνάξεως, ἀλλὰ πότε πότε· διότι ἡ ἡσυχία ἀπαλλάσσει ἀπὸ πολλὰ κακά.

740

Ἐρώτηση

Ἂν μοῦ παρουσιασθεῖ ἀνάγκη νὰ βγῶ γιὰ ὑπόθεση δική μου ἢ τῶν πατέρων, μήπως εἶναι βάρος τὸ νὰ μὴ πάω στὴ σύναξη;

Ἀπόκριση

Ἐὰν εἶναι ἐπείγουσα ἀνάγκη ἢ διαταγὴ τῶν πατέρων, φρόντισε νὰ κάνεις τὸ πρᾶγμα κατὰ φόβον Θεοῦ καὶ νὰ μὴ τὸ θεωρήσεις ὡς κατάκριση ἂν δὲν πᾶς στὴ σύναξη, ἀλλὰ μεῖνε στὸν οἶκο σου καὶ ἐκεῖ μελέτα τὶς ἁμαρτίες σου. Ἂν ὅμως ἀποφεύγεις νὰ πᾶς ἀπὸ ραθυμία καὶ μετεωρισμό, τότε μᾶλλον συμφέρει νὰ πᾶς στὴ σύναξη, καὶ νὰ μὴ ρεμβάζεις ἀλλὰ νὰ προσέχεις.

741

Ἐρώτηση

Ἄραγε καλὸ εἶναι νὰ κατεβαίνω στὴν ἐκκλησία τὴ νύχτα ἢ νὰ κάνω στὸ σπίτι μου κατὰ δύναμη τὴν ἀγρυπνία;

Ἀπόκρισις

Καλόν ἐστιν ἐν τῷ οἴκῳ σου ἀγρυπνεῖν· ἐν γὰρ τῇ ἐκκλησίᾳ πολλάκις ὁμιλίαι γίνονται.

ΨΜΒʹ

Ἐρώτησις

Ἐὰν θέλω ἐν μαρτυρίῳ ἢ ἐν ἐκκλησίᾳ εἰσελθεῖν, εἰσέλθω προσκυνήσω τὸ θυσιαστήριον ἢ τὰ ἅγια λείψανα ἢ καὶ ἐκεῖ κοινωνῆσαι; μὴ βάρος ἐστί;

Ἀπόκρισις

Τὸ εἰσελθεῖν καὶ προσκυνῆσαι οὐκ ἔστι βάρος· κοινωνεῖν δὲ χρὴ μετὰ παντὸς τοῦ λαοῦ, φύλαξον δὲ σεαυτὸν τοῦ μὴ κατὰ τιμὴν εἰσελθεῖν κοινωνῆσαι ἐν τῷ θυσιαστηρίῳ· ἐὰν δὲ κατὰ κέλευσιν τοῦ ἱερέως κληθῇς, παρακάλεσον καὶ ἅπαξ καὶ δίς· καὶ ἐὰν ἐπιμείνῃ, ποίησον ὑπακοήν· αὐτὸς γὰρ οἶδε τί ποιεῖ, καὶ βάρος ἐὰν ᾖ, αὐτῷ ἐπιγράφεται. Πρόσεχε δὲ σεαυτῷ, μήποτε ἐκ τούτου ἀναφυῇ σοι κενοδοξία, ἀλλ' εἰσέρχου κατακρίνων σεαυτὸν ὡς ἀνάξιον· οὕτω γὰρ ἔχει τὸ πρᾶγμα.

ΨΜΓʹ

Ἐρώτησις

Τίς ποτε βουλόμενος κοινωνῆσαί τινι ἐν πράγματι, ἠρώτησε τὸν γέροντα, εἰ καλόν ἐστιν;

Ἀπόκρισις

Τὸ πρᾶγμα τοῦτο οὐκ ἔχει ὄφελος, οὔτε ψυχῇ οὔτε σώματι, ἀλλὰ μᾶλλον θλίψεις καὶ ἀκαιρίας. Καὶ ἐπειδὴ ἄφρων εἰμὶ καὶ τὴν γραφὴν οὐκ οἶδα, κοσμικὴν λέγω παροιμίαν. Κοινωνὸν ἔχεις, Κύριον ἔχεις· λοιπὸν ὡς θέ-

Ἀπόκριση

Καλὸ εἶναι νὰ κάνεις τὴν ἀγρυπνία στὸ σπίτι σου· διότι μέσα στὴν ἐκκλησία πολλὲς φορὲς γίνονται συνομιλίες.

742

Ἐρώτηση

Ἂν θέλω νὰ μπῶ σὲ μαρτύριο ἢ σὲ ἐκκκλησία, καὶ μπῶ γιὰ νὰ προσκυνήσω τὸ θυσιαστήριο ἢ τὰ ἅγια λείψανα ἢ καὶ νὰ κοινωνήσω ἐκεῖ, μήπως εἶναι βάρος;

Ἀπόκριση

Τὸ νὰ μπεῖς καὶ νὰ προσκυνήσεις δὲν εἶναι βάρος, πρέπει ὅμως νὰ κοινωνεῖς μὲ ὅλο τὸν λαὸ καὶ φυλάξου νὰ μὴ εἰσέλθεις τιμητικὰ νὰ κοινωνήσεις μέσα στὸ θυσιαστήριο· ἂν πάλι κληθεῖς μὲ διαταγὴ τοῦ ἱερέα, παρακάλεσε καὶ μία καὶ δύο φορὲς νὰ μὴ γίνει αὐτό, καὶ ἂν ἐπιμείνει ὑπάκουσε· διότι αὐτὸς γνωρίζει τί κάνει, καὶ ἂν εἶναι βάρος, ἐπιγράφεται σ' αὐτόν. Πρόσεχε ὅμως τὸν ἑαυτό σου, μήπως ἀπὸ αὐτὸ σοῦ γεννηθεῖ κενοδοξία, ἀλλὰ νὰ εἰσέλθεις κατακρίνοντας τὸν ἑαυτό σου σὰν ἀνάξιο· διότι αὐτὴ εἶναι ἡ πραγματικότητα.

743

Ἐρώτηση

Κάποιος κάποτε ποὺ ἤθελε νὰ μοιρασθεῖ μὲ κάποιον ἕνα πρᾶγμα, ἐρώτησε τὸν γέροντα, ἂν εἶναι καλό.

Ἀπόκριση

Αὐτὸ τὸ πρᾶγμα δὲν ἔχει ὄφελος οὔτε στὴν ψυχὴ οὔτε στὸ σῶμα, ἀλλὰ μᾶλλον θλίψεις καὶ δυσκολίες. Καὶ ἐπειδὴ εἶμαι ἄφρονας καὶ δὲν γνωρίζω τὴν Γραφή, σοῦ λέγω κοσμικὴ παροιμία. Ἔχεις συγκοινωνό, ἔχεις Κύριο. Λοι-

λεις ποίησον· ἐντολὴν γάρ τινι οὐ διδόαμεν, ἵνα μὴ θλίψωμέν τινα. Αὐτὸς λοιπὸν δοκίμασον σεαυτὸν εἰ ἡδέως ἔχεις τὴν θλῖψιν ἢ οὔ.

Ὁ Κύριὸς μεθ' ὑμῶν. Ἀμήν.

ΨΜΔ'

Ἐρώτησις

Ἐπειδὴ ὁ λογισμὸς ὑπογράφει μοι στένωσιν τῶν χρειῶν καὶ ὅτι οὐ δύναμαι τραφῆναι μετὰ τῶν ἐμῶν οἰκετῶν, καὶ ἐκ τούτου γίνομαι ἐν λύπῃ, τί ἐστι τοῦτο;

Ἀπόκρισις

Ἀνθρωπίνη ἐστὶν ἡ λύπη αὕτη· εἰ γὰρ εἴχομεν εἰς τὸν Θεὸν τὴν ἐλπίδα, αὐτὸς ᾠκονόμει ἡμᾶς ὡς θέλει. Ἐπίρριψον οὖν ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ ἱκανός ἐστι φροντίσαι σοῦ τε καὶ τῶν σῶν, ἄνευ λύπης καὶ θλίψεως, καὶ εἰπὲ αὐτῷ, 'Γενηθήτω τὸ θέλημά σου', καὶ οὐκ ἀφίησι λυπηθῆναι ἢ θλιβῆναί σε.

Ὁ Κύριος ἐλεήσοι καὶ σκεπάσοι σε ἐν τῇ δεξιᾷ αὐτοῦ. Ἀμήν.

ΨΜΕ'

Ἐρώτησις

Σχολαστικῷ τινι φιλοχρίστῳ ἀγαπητῷ τοῦ κοινοβίου τῶν πατέρων εἶπεν ὁ ἀββᾶς ποιῆσαι ἀναγκαῖον καὶ ἐπειγόμενον πρᾶγμα· ἔθος γὰρ εἶχε διὰ τὸν Θεὸν προθύμως ποιεῖν τὰς αὐτῶν αἰτήσεις. Καὶ κατὰ διαβόλου ἐνέργειαν συνέβη αὐτὸν ῥαθυμῆσαι ἐν τῷ πράγματι, καὶ θλιβόμενος ὁ ἀββᾶς ἠρώτησε τὸν αὐτὸν Γέροντα, τί ὀφείλει γράψαι αὐτῷ. Καί φησι· γράψον αὐτῷ ταῦτα.

πὸν κάνε ὅπως θέλεις· διότι δὲν δίνομε ἐντολὴ σὲ κανένα, γιὰ νὰ μὴ θλίψομε κανένα. Ὁ ἴδιος λοιπὸν ἐξέτασε τὸν ἑαυτό σου, ἂν ὑποφέρεις μὲ εὐχαρίστηση τὴ θλίψη ἢ ὄχι.

Ὁ Κύριος μαζί σας. Γένοιτο.

744

Ἐρώτηση

Ἐπειδὴ ὁ λογισμός μοῦ ὑπαγορεύει στενότητα ἐφοδίων καὶ ὅτι δὲν μπορῶ νὰ τραφῶ μὲ τοὺς ὑπηρέτες μου καὶ αὐτὸ μὲ κάνει νὰ λυπᾶμαι, τί εἶναι αὐτὴ ἡ λύπη;

Ἀπόκριση

Η λύπη αὐτὴ εἶναι ἀνθρώπινη· διότι ἂν εἴχαμε τὴν ἐλπίδα στὸν Θεό, αὐτὸς θὰ μᾶς οἰκονομοῦσε ὅπως θέλει. Ἀπόθεσε λοιπὸν τὴ μέριμνά σου στὸν Κύριο, καὶ αὐτὸς εἶναι ἱκανὸς νὰ φροντίσει ἐσένα καὶ τοὺς ὑπηρέτες σου χωρὶς λύπη καὶ θλίψη, καὶ πές του, 'ἂς γίνει τὸ θέλημά σου', καὶ δὲν θὰ σ' ἀφήσει νὰ λυπηθεῖς ἢ νὰ θλιβεῖς.

Εἴθε ὁ Κύριος νὰ σὲ ἐλεήσει καὶ νὰ σὲ προστατέψει μὲ τὴ δεξιά του. Γένοιτο.

745

Ἐρώτηση

Ὁ ἀββᾶς εἶπε σὲ κάποιον φιλόχριστο σχολαστικό, ἀγαπητὸ ἀπὸ τὸ κοινόβιο τῶν πατέρων, νὰ κάνει κάτι ἀναγκαῖο καὶ ἐπεῖγον· διότι συνήθιζε στὸ ὄνομα τοῦ Θεοῦ νὰ κάμνει πρόθυμα τὰ αἰτήματά τους. Ἀπὸ ἐνέργεια ὅμως τοῦ διαβόλου συνέβηκε νὰ ραθυμήσει αὐτὸς ὡς πρὸς τὸ αἴτημα αὐτὸ καὶ ἐπειδὴ στενοχωρήθηκε ὁ ἀββᾶς, ἐρώτησε τὸν ἴδιο γέροντα, τί πρέπει νὰ τοῦ γράψει· καὶ τοῦ λέγει, γράψε του αὐτὰ ἐδῶ.

Ἀπόκρισις

Οἴδαμεν ὅτι θλῖψίς ἐσμεν καὶ ὀχλοῦμέν σοι περὶ πράγματος καὶ θλίβομέν σε καὶ ῥᾳθυμεῖς, καὶ θλίβεις ἡμᾶς μηδὲν ποιῶν. Μετὰ ἐλευθερίας οὖν εἰπὲ ἡμῖν, εἰ βαροῦμέν σε, καὶ οὐκ ἔτι βαροῦμεν. Εἰ μὴ γὰρ διὰ σοῦ, οὐ δύναται ὁ Θεὸς καὶ δι᾽ ἄλλου ποιῆσαι τὴν χρείαν ἡμῶν; Ἢ οὖν σπούδασον ἢ δήλωσον ἡμῖν, καὶ ὁ Θεὸς φροντίζει, καὶ εὖξαι ὑπὲρ ἡμῶν.

Ταῦτα ἀκούσας ἐκεῖνος, ὡς πῦρ ἔσχεν ἐν τῇ καρδίᾳ αὐτοῦ, καὶ γνησίως ἠγρύπνησεν ἐν τῷ πράγματι διὰ τῶν εὐχῶν αὐτῶν, καὶ ταχέως προέβη καὶ ἐγένετο ἡ χρεία καὶ ἐλθὼν ἔβαλε μετάνοιαν καὶ ᾔτησε συγχώρησιν. Οὕτως ἰσχύει ὁ λόγος τοῦ δυνατοῦ ἐκ Πνεύματος ἁγίου προερχόμενος καὶ πάντα συντόμως ἐνεργεῖ· «λόγοι», γάρ φησι, «σοφῶν ὡς τὰ βούκεντρα». Ἰδοὺ γὰρ τὸ πρᾶγμα ἐνηργήθη καὶ ἡ ψυχὴ αὐτοῦ διωρθώθη ἐκ τῆς μητρὸς τῶν κακῶν ῥᾳθυμίας.

ΨΜS'

Ἐρώτησις

Ἀδελφὸς ἠρώτησε τὸν αὐτὸν γέροντα.

Ὁ καταφρονῶν πράγματος Θεοῦ, ἵνα ἢ βλαβῇ ἢ ἀπόληται, ποίᾳ καταδίκῃ ὑπόκειται;

Ἀπόκρισις

Ὁ τοιοῦτος ἔοικε τῷ κλέψαντι ἢ κακῶς κεχρημένῳ τῷ πράγματι παρὰ τὸ θέλημα τοῦ Θεοῦ, καὶ τὴν αὐτὴν ὑπομένει κατάκρισιν.

'Απόκριση

Γνωρίζομε ὅτι εἴμαστε θλίψη, καὶ σὲ ἐνοχλοῦμε γιὰ πρᾶγμα καὶ σὲ στενοχωροῦμε καὶ ραθυμεῖς, καὶ μᾶς στενοχωρεῖς μὴ κάμνοντας τίποτε. Πές μας ἐλεύθερα, ἂν σὲ βαραίνομε, καὶ δὲν θὰ σὲ βαρύνομε πιά· διότι ἂν δὲν κάνομε τὴν ἀνάγκη μας μὲ σένα, δὲν μπορεῖ ὁ Θεὸς νὰ τὴν κάνει μὲ ἄλλον; Ἢ λοιπὸν φρόντισε νὰ τὴν κάνεις, ἢ δήλωσέ μας τὴν ἄρνηση, καὶ ὁ Θεὸς θὰ φροντίσει. Προσευχήσου γιὰ μᾶς.

Ὅταν ἐκεῖνος τὰ ἄκουσε αὐτά, ἦταν σὰν νὰ ἄναψε φωτιὰ στὴν καρδιά του. Καὶ πράγματι ἀγρύπνησε τότε γιὰ τὸ θέμα μὲ τὶς προσευχές τους καὶ ἔτσι προχώρησε γρήγορα καὶ ἔγινε ἡ ἀνάγκη καὶ ἀφοῦ ἦρθε ἔβαλε μετάνοια καὶ ζήτησε συγχώρηση. Τόση δύναμη ἔχει ὁ λόγος τοῦ δυνατοῦ ποὺ προέρχεται ἀπὸ τὸ ἅγιο Πνεῦμα, καὶ ὅλα τὰ ἐνεργεῖ σύντομα· διότι λέγει, «οἱ λόγοι τῶν σοφῶν εἶναι σὰν τὰ βούκεντρα»[48]. Πράγματι νά, καὶ ἡ ἀνάγκη ἔγινε καὶ ἡ ψυχή του διορθώθηκε ἀπὸ τὴ ραθυμία, τὴ μητέρα τῶν κακῶν.

746

Ἐρώτηση

'Αδελφὸς ἐρώτησε τὸν ἴδιο γέροντα.

Ἐκεῖνος ποὺ περιφρονεῖ ἕνα πρᾶγμα τοῦ Θεοῦ, ὥστε ἢ νὰ βλαβεῖ ἢ νὰ χαθεῖ, σὲ ποιά καταδίκη ὑπόκειται;

'Απόκριση

Ὁ ἄνθρωπος αὐτὸς μοιάζει μὲ ἐκεῖνον ποὺ ἔκλεψε ἢ ἔκανε τὸ πρᾶγμα κακῶς παρὰ τὸ θέλημα τοῦ Θεοῦ, καὶ ὑπομένει τὴν ἴδια κατάκριση.

48. Ἐκκλ. 12,11.

ΨΜΖ'

Ἐρώτησις

Ἐάν τις σπουδάζῃ μὴ καταφρονῆσαι καὶ ἀπόληται πρᾶγμα μὴ θέλοντος αὐτοῦ, ἆρα κατακρίνεται;

Ἀπόκρισις

Ὀφείλει μέμψασθαι ἑαυτὸν καὶ αἰτῆσαι παρὰ τοῦ Θεοῦ συγγνώμην ὡς ἀμελήσας.

ΨΜΗ'

Ἐρώτησις

Ἐάν τις περὶ πράγματος Θεοῦ ἀμφιβάλλῃ πρός τινα καὶ οὐ λαμβάνει λύσιν, ἕως πότε ὀφείλει ἐπιμεῖναι;

Ἀπόκρισις

Ἐὰν γεννᾷ βλάβην ψυχῆς ἡ ἀμφιβολία οὐ χρεία ὅλως ἐπιμεῖναι αὐτῇ, ἐὰν δὲ μὴ ἔχῃ βλάβην, οὐκ ὀφείλει ἐκκακῆσαι οὐδὲ ἀμεριμνῆσαι, ἐπεὶ ὡς ῥάθυμος κατακρίνεται· «ἐπικατάρατος», γάρ φησι, «ὁ ποιῶν τὰ ἔργα Κυρίου ἀμελῶς»· ὀφείλει δὲ παρακαλεῖν τὸν Θεὸν συνεργῆσαι τῇ ἀπαλλαγῇ κατὰ τὸ συμφέρον.

ΨΜΘ'

Ἐρώτησις

Ὅταν ποιῶ λογάριον μετά τινος, ὑποβάλλει μοι ὁ λογισμὸς προσπαθῆσαι εὐτελεῖ πράγματι καὶ γριπίσαι ἐκεῖνον· τί οὖν ποιήσω;

48α. Ἱερ. 31,10.

747

Ἐρώτηση

Ἂν κανεὶς φροντίζει νὰ μὴ περιφρονήσει καὶ χάνει πρᾶγμα χωρὶς νὰ θέλει, ἄραγε κατακρίνεται;

Ἀπόκριση

Ὀφείλει νὰ κατακρίνει τὸν ἑαυτό του καὶ νὰ ζητήσει συγχώρηση ἀπὸ τὸν Θεό, διότι ἀμέλησε.

748

Ἐρώτηση

Ἂν κανεὶς φιλονεικεῖ γιὰ πρᾶγμα τοῦ Θεοῦ μὲ κάποιον καὶ δὲν πετυχαίνει λύση, μέχρι πότε πρέπει νὰ ἐπιμείνει;

Ἀπόκριση

Ἂν ἡ φιλονεικία γεννᾶ βλάβη ψυχῆς, δὲν εἶναι ὁπωσδήποτε ἀνάγκη νὰ ἐπιμείνει σ' αὐτήν· ἂν ὅμως δὲν ἔχει βλάβη, δὲν πρέπει νὰ λιποψυχήσει οὔτε νὰ ἀμεριμνήσει, διότι ἀλλιῶς θὰ κατακριθεῖ σὰν ράθυμος· διότι λέγει «ἐκεῖνος ποὺ κάνει ἀμελῶς τὰ ἔργα τοῦ Κυρίου εἶναι ἐπικατάρατος»[48α]. Πρέπει ὅμως νὰ παρακαλεῖ τὸν Θεὸ νὰ συνεργήσει στὴν ἀπαλλαγὴ σύμφωνα μὲ τὸ συμφέρον.

749

Ἐρώτηση

Ὅταν κάνω λογαριασμὸ μὲ κάποιον, ὁ λογισμός μοῦ ὑποβάλλει νὰ προσκολληθῶ σὲ ἕνα εὐτελὲς πρᾶγμα, καὶ νὰ κερδίσω ἀπὸ ἐκεῖνον· τί νὰ κάνω λοιπόν;

Ἀπόκρισις

Σπούδασον ἐκ τοῦ ἐναντίου μικρόν τι περισσὸν δοῦναι αὐτῷ, σὲ μὴ βαροῦν, λόγου χάριν ἓν νουμίον, ἵνα φύγῃς τὴν πονηρὰν πλεονεξίαν· ὁ γὰρ σπουδάζων δοῦναι μικρόν τι περισσὸν μακρύνει ἑαυτὸν τοῦ κακῶς πλέον λαμβάνειν. Ἀπὸ γὰρ τῶν ἐλαχίστων προκόπτει τις ἐπὶ τὰ μείζονα, καὶ ἐκ τῶν μικρῶν παθῶν γίνονται μεγάλα πάθη. Ὁ Κύριος συνετίσοι σε ἐν τῷ φόβῳ αὐτοῦ.

ΨΝʹ

Ἐρώτησις

Ἐὰν ποιήσας τὸν λόγον μετὰ ταῦτα εὕρω, ὅτι μὴ θέλων ἐγρίπισα αὐτόν, τί ποιήσω;

Ἀπόκρισις

Ἐὰν ᾖ πολὺ τὸ πρᾶγμα, ἀνάδος αὐτῷ, εἰ ἐκ τοῦ ἐναντίου σοι ἰσογριπίσθη, εἰ ἔμελλες λαμβάνειν παρ' αὐτοῦ· καὶ εἰ εὑρήσει οὕτως, ἀνάδος καὶ σὺ αὐτό, εἰ δὲ οὐκ εἶχες λαβεῖν, μήτε σὺ δῷς, εἰ μή τι πάνυ πτωχὸς ᾖ· αὐτὸ γὰρ τὸ μικρὸν ποιεῖ αὐτῷ αἴσθησιν. Τότε γὰρ ὀφείλεις ἀναδοῦναι αὐτῷ κατὰ τὸ δίκαιον.

ΨΝΑʹ

Ἐρώτησις

Ἆρα τὸ ἐργάζεσθαι ἐν Κυριακῇ ἁμαρτία ἐστί;

Ἀπόκριση

Αντίθετα φρόντισε νὰ τοῦ δώσεις λίγο παραπάνω, ποὺ δὲν σὲ ἐπιβαρύνει, λόγου χάρη ἕνα νουμίο, γιὰ ν' ἀποφύγεις τὴν πονηρὴ πλεονεξία· διότι αὐτὸς ποὺ φροντίζει νὰ δώσει λίγο παραπάνω ἀπομακρύνει τὸν ἑαυτό του ἀπὸ τὸ νὰ παίρνει κακῶς περισσότερα. Διότι ἀπὸ τὰ ἐλάχιστα προκόβει κανεὶς στὰ μεγαλύτερα, καὶ ἀπὸ τὰ μικρὰ πάθη γίνονται τὰ μεγάλα πάθη. Ὁ Κύριος εἴθε νὰ σὲ συνετίσει μὲ τὸν φόβο πρὸς αὐτόν.

750

Ἐρώτηση

Ἄν, ἀφοῦ κάνω τὸν λογαριασμό, βρῶ στὴ συνέχεια ὅτι χωρὶς νὰ τὸ θέλω κέρδισα ἀπὸ αὐτόν, τί νὰ κάνω;

Ἀπόκριση

Αν τὸ πρᾶγμα εἶναι πολύ, νὰ τοῦ τὸ δώσεις πίσω, ἂν ἀντίθετα ἀπὸ ὅ,τι ἔπρεπε πῆρες κέρδος παραπάνω ἀπὸ ἐκεῖνο ποὺ ἐπρόκειτο νὰ πάρεις· ἂν βρεῖς νὰ ἔχει ἔτσι τὸ πρᾶγμα νὰ τοῦ τὸ δώσεις· ἂν ὅμως δὲν εἶχες πάρει ἀπ' αὐτόν, νὰ μὴ τοῦ δώσεις, ἐκτὸς καὶ ἂν εἶναι πολὺ φτωχός· διότι αὐτὸ τὸ μικρὸ δημιουργεῖ σ' αὐτὸν κάποια ὑπόνοια. Τότε ὀφείλεις νὰ τοῦ δώσεις σύμφωνα μὲ τὸ δίκαιο.

751

Ἐρώτηση

Ἄραγε τὸ νὰ ἐργάζεται κανεὶς τὴν Κυριακὴ εἶναι ἁμαρτία;

Ἀπόκρισις

Τοῖς κατὰ Θεὸν ἐργαζομένοις ἁμαρτία οὐκ ἔστιν· ὁ γὰρ Ἀπόστολος εἶπε· «νυχθήμερον ἐργαζόμενοι, πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα»· τοῖς δὲ ἐν καταφρονήσει καὶ πλεονεξίᾳ καὶ αἰσχροκερδείᾳ ἁμαρτίᾳ ἐστί· ὅμως καλόν ἐστι τῇ ἀναστασίμῳ ἡμέρα καὶ ταῖς δεσποτικαῖς ἑορταῖς καὶ μνήμαις τῶν Ἀποστόλων σχολάζειν τῶν ἔργων καὶ ταῖς ἐκκλησίαις προσέρχεσθαι, παράδοσις γάρ ἐστι τῶν ἁγίων Ἀποστόλων.

ΨΝΒ'

Ἐρώτησις

Ἆρα καλόν ἐστι διδόναι εὐλογίαν πατέρων ἀλλοεθνεῖ ἀνθρώπῳ ἢ πτωχῷ;

Ἀπόκρισις

Μὴ διακριθῇς τὴν εὐλογίαν παρασχεῖν τῷ πτωχῷ, ἔλεος γάρ ἐστι· μήτε δὲ ἀλλοεθνεῖ· ἡ γὰρ εὐλογία οὐδὲν ἐκ τοῦ ἀλλοεθνοῦς βλάπτεται, εὐλογεῖ δὲ αὐτὸν μᾶλλον, καὶ συμβαίνει διὰ τῆς εὐλογίας τῆς ἐχούσης Θεοῦ δύναμιν κἀκεῖνον εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Φιλήμων γάρ τις χοραύλης, μέλλων ἀντὶ τοῦ ἁγίου Ἀπολλωνίου τοῦ μάρτυρος θύειν καὶ θέλων λαθεῖν τοὺς ὁρῶντας, ἐνεδύσατο αὐτοῦ ἔνδυμα καὶ διὰ τῆς αὐτοῦ δυνάμεως μετεβλήθη καὶ μάρτυς ἐγένετο.

ΨΝΓ'

Ἐρώτησις

Τὸ ἄλογόν μου ἐπειδὴ ἀσθενεῖ, μὴ ἄτοπόν ἐστι τὸ ποιῆσαί τινα ἐπιλαλῆσαι αὐτῷ;

---

49. Α'. Θεσ. 2,9. Β'. Θεσ. 3,8.

Ἀπόκριση

Δὲν εἶναι ἁμαρτία γι' αὐτοὺς ποὺ ἐργάζονται κατὰ Θεόν· διότι ὁ Ἀπόστολος εἶπε· «ἐργαζόμαστε νύχτα καὶ ἡμέρα, γιὰ νὰ μὴ ἐπιβαρύνομε κάποιον»[49]· εἶναι ἁμαρτία ὅμως γιὰ ἐκείνους ποὺ ἐργάζονται μὲ περιφρόνηση, πλεονεξία καὶ αἰσχροκέρδεια. Εἶναι καλὸ λοιπὸν κατὰ τὴν ἀναστάσιμη ἡμέρα, τὶς δεσποτικὲς ἑορτὲς καὶ τὶς μνῆμες τῶν Ἀποστόλων νὰ σταματᾶ κανεὶς τὰ ἔργα καὶ νὰ πηγαίνει στὴν ἐκκλησία, διότι εἶναι παράδοση τῶν ἁγίων Ἀποστόλων.

752

Ἐρώτηση

Ἄραγε εἶναι καλὸ νὰ δίνω εὐλογία πατέρων σὲ ἀλλοεθνὴ ἄνθρωπο ἢ σὲ φτωχό;

Ἀπόκριση

Νὰ μὴ ἀποφύγεις νὰ δώσεις τὴν εὐλογία στὸν φτωχό, διότι εἶναι ἔλεος· οὔτε στὸν ἀλλοεθνή, διότι ἡ εὐλογία δὲν βλάπτεται ἀπὸ τὸν ἀλλοεθνή, ἀλλὰ μᾶλλον τὸν εὐλογεῖ, καὶ συμβαίνει μὲ τὴν εὐλογία, ποὺ ἔχει δύναμη Θεοῦ, νὰ ἔλθει καὶ ἐκεῖνος σὲ ἐπίγνωση τῆς ἀλήθειας. Πράγματι κάποιος Φιλήμων χοραύλης, ποὺ ἐπρόκειτο νὰ κάνει θυσία ἀντὶ τοῦ ἁγίου Ἀπολλωνίου τοῦ μάρτυρα, ἐπειδὴ ἤθελε νὰ διαφύγει τὴν προσοχὴ ἐκείνων ποὺ ἔβλεπαν, φόρεσε τὸ ἔνδυμά του καὶ μὲ τὴ δύναμη αὐτοῦ μεταβλήθηκε καὶ ἔγινε μάρτυρας.

753

Ἐρώτηση

Ἐπειδὴ τὸ ἄλογό μου ἀσθενεῖ, μήπως εἶναι ἄτοπο νὰ τὸ πάω σὲ κάποιον νὰ τὸ ἐπιλαλήσει;[50]

50. Νὰ τοῦ κάμει μαγικὰ ξόρκια.

Ἀπόκρισις

Ἐπιλαλιὰ ἀπηγόρευται ὑπὸ τοῦ Θεοῦ, καὶ οὐ δεῖ αὐτῇ ὅλως χρήσασθαι· ἀπώλεια γάρ ἐστι ψυχῆς τὸ παρεξελθεῖν τὴν κέλευσιν τοῦ Θεοῦ· τὰς ἄλλας θεραπείας μᾶλλον τῶν ἰατρῶν προσένεγκε αὐτῷ· οὐκ ἔστι γὰρ τοῦτο ἁμαρτία· ἐπίχεε δὲ αὐτῷ καὶ ἁγίασμα.

ΨΝΔ'

Ἐρώτησις

Ἐὰν δὲ ἐμὸς οἰκέτης ἔχων ἀσθένειαν ἀπέλθῃ ἐκτός μου πρὸς ἐπιλαλοῦντα, μὴ τοῦτο ἐμοὶ λογίζεται ἁμαρτία;

Ἀπόκρισις

Σοὶ τοῦτο οὐ λογίζεται, ἀλλ' αὐτῷ· ἐὰν δὲ μάθῃς, σπούδασον αὐτὸν παιδεῦσαι, ἵνα μὴ πάλιν αὐτὸ ποιήσῃ, νουθετήσας αὐτόν.

ΨΝΕ'

Ἐρώτησις

Ἐπειδὴ τὸ ἀπελθεῖν πρὸς μάντιν ἀλλότριόν ἐστι τοῦ Θεοῦ, ἐὰν ἴδω εἴ τινα δήποτε ἀπερχόμενον, μὴ χρεωστῶ εἰπεῖν αὐτῷ μὴ ἀπελθεῖν;

Ἀπόκρισις

Ἐὰν ᾖ σὸς ἀγαπητὸς ἐν Χριστῷ χρεωστεῖς αὐτῷ εἰπεῖν, ὅτι "Ἀδελφέ, βλάπτεις τὴν ψυχήν σου καὶ παροργίζεις τὸν Θεὸν τὸν κωλύοντα τὸ πρᾶγμα τοῦτο', κἂν μὴ δέξηται τὸν λόγον σου, αὐτὸς ὄψεται. Ἐὰν δὲ ὁ τυχὼν ᾖ, οὐ πρᾶγμα ἔχεις, εἰ μή τι αὐτὸς ἐρωτήσοι σε περὶ τούτου· χρεωστεῖς γὰρ

Ἀπόκριση

Ἡ ἐπιλαλιὰ ἀπαγορεύθηκε ἀπὸ τὸν Θεό, καὶ ὁπωσδήποτε δὲν πρέπει νὰ τὴ χρησιμοποιήσεις· διότι εἶναι ἀπώλεια ψυχῆς τὸ νὰ παραβεῖς τὴ διαταγὴ τοῦ Θεοῦ· μᾶλλον πρόσφερε σ' αὐτὸ τὶς ἄλλες θεραπεῖες τῶν γιατρῶν, διότι αὐτὸ δὲν εἶναι ἁμαρτία. Ἐπίσης χύσε ἐπάνω του καὶ ἁγίασμα.

754

Ἐρώτηση

Ἂν ὁ ὑπηρέτης μου, ὄντας ἀσθενής, φύγει ἀπὸ μένα καὶ πάει σὲ κάποιον ποὺ κάνει μαγικὰ ξόρκια, μήπως αὐτὸ λογίζεται ὡς δική μου ἁμαρτία;

Ἀπόκριση

Αὐτὸ δὲν θεωρεῖται ἁμαρτία γιὰ σένα, ἀλλὰ γιὰ ἐκεῖνον· ἂν ὅμως τὸ μάθεις, φρόντισε νὰ τὸν διορθώσεις συμβουλεύοντάς τον, γιὰ νὰ μὴ κάνει πάλι τὸ ἴδιο.

755

Ἐρώτηση

Ἐπειδὴ τὸ νὰ πάει κανεὶς σὲ μάντη εἶναι ξένο πρὸς τὸ Θεό, ἂν δῶ κάποιον νὰ πηγαίνει μήπως πρέπει νὰ τοῦ πῶ νὰ μὴ πηγαίνει;

Ἀπόκριση

Ἂν εἶναι δικός σου ἀγαπητὸς στὸ ὄνομα τοῦ Χριστοῦ πρέπει νὰ τοῦ πεῖς· "Ἀδελφέ, βλάπτεις τὴν ψυχή σου καὶ παροργίζεις τὸν Θεὸ ποὺ ἀπαγορεύει αὐτὸ τὸ πρᾶγμα'. Ἂν δὲν δεχθεῖ τὸν λόγο σου, αὐτὸς θὰ εἶναι ὑπεύθυνος. Ἂν ὅμως εἶναι ὁ τυχαῖος, δὲν εἶσαι ὑποχρεωμένος νὰ τὸ

εἰπεῖν αὐτῷ τὴν ἀλήθειαν· ἐὰν γὰρ μὴ εἴπῃς, κατακρίνῃ. Σαοὺλ γὰρ μέλλων ἀνιέναι πρὸς τὴν ἐγγαστρίμυθον, ἠρώτησεν Ἰωνάθαν τὸν υἱὸν αὐτοῦ, καὶ οὐκ ἐπέτρεψεν αὐτῷ ἀπελθεῖν καὶ κατεκρίθη ὑπ' αὐτοῦ. Ἐάν τις οὖν ᾖ ὑπὸ τὴν ἐξουσίαν σου, ὀφειλέτης εἶ καὶ νουθετῆσαι καὶ παιδεῦσαι αὐτὸν παραβαίνοντα.

ΨΝS"

Ἐρώτησις

Ἐάν τις ἀγοράζῃ πρᾶγμα ἢ πωλῇ, μὴ ἁμαρτία ἐστὶ τὸ συμφωνεῖν πλέον ἢ ἔλαττον τῆς τιμῆς;

Ἀπόκρισις

Οπότε κατὰ ἀνάγκην οὐ γίνεται, ἀλλὰ κατὰ προαίρεσιν, οὐκ ἔστιν ἁμαρτία τὸ δοῦναι καὶ λαβεῖν κατὰ τὸ σύμφωνον· εἰ δέ τις οἶδεν ὅτι πλέον ἐκέρδανεν, ὀφείλει ἀφ' ἑαυτοῦ ἀναδοῦναι· καλὸν γὰρ πρᾶγμα ποιεῖ, καὶ γίνεται εἰς εὐχαριστίαν ἐκείνου. Ὅταν δέ τις συμφωνῇ πρός τινα ὄντα ὑπὸ τὴν αὐτοῦ ἐξουσίαν, κατανοῆσαι ὀφείλει μήπως καταδυναστεύων αὐτοῦ συμφωνῇ, ἐπεὶ ἁμαρτία ἐστίν· ἀλλὰ ὀφείλει αὐτὸν πληροφορῆσαι, ὅτι "Ἀδελφέ, οὔτε λυποῦμαι ἐὰν μὴ ποιήσῃς οὕτως ὡς λέγω σοι, οὔτε πλέον παρέχω σοι· λοιπὸν ὡς ἀρέσκει σοι καὶ θέλεις ποίησον.

ΨΝΖ'

Ἐρώτησις

Ἐπειδή, καθὼς διδάσκετε, καλόν ἐστι τὸ ἐν ἑκάστῳ μέμφεσθαι ἑαυτόν, ἐὰν ἐγκαλῶμαι παρά τινος ὡς σφαλεὶς κατ' αὐτοῦ καὶ ἐμαυτῷ σφάλμα οὐ σύνοιδα, τί ποιήσω;

κάνεις, ἐκτὸς καὶ ἂν ὁ ἴδιος σὲ ἐρωτήσει κάτι γι' αὐτό· τότε χρωστᾶς νὰ τοῦ πεῖς τὴν ἀλήθεια· διότι, ἂν δὲν τοῦ πεῖς κατακρίνεσαι. Πράγματι ὁ Σαοὺλ ὅταν ἐπρόκειτο νὰ πάει πρὸς τὴν ἐγγαστρίμυθο, ἐρώτησε τὸν Ἰωνάθαν, τὸν γιό του, ὁ ὁποῖος δὲν τοῦ ἐπέτρεψε νὰ πάει καὶ κατακρίθηκε ἀπὸ αὐτόν. Ἂν κάποιος λοιπὸν βρίσκεται κάτω ἀπὸ τὴν ἐξουσία σου, εἶσαι ὑποχρεωμένος καὶ νὰ τὸν νουθετήσεις καὶ νὰ τὸν παιδέψεις, ὅταν κάνει παραβάσεις.

756

Ἐρώτηση

Ἂν κανεὶς ἀγοράζει ἢ πωλεῖ κάτι, μήπως εἶναι ἁμαρτία νὰ συμφωνεῖ περισσότερο ἢ λιγότερο ἀπὸ τὴν τιμή;

Ἀπόκριση

Ὁποτε δὲν γίνεται ἀπὸ ἀνάγκη ἀλλὰ ἀπὸ προαίρεση, δὲν εἶναι ἁμαρτία οἱ δοσοληψίες μὲ συμφωνία· ἂν ὅμως κάποιος γνωρίζει ὅτι κέρδισε περισσότερο, ὀφείλει ἀπὸ μόνος του νὰ τὸ δώσει πίσω· διότι κάνει καλὴ πράξη καὶ προξενεῖ εὐχαρίστηση σ' ἐκεῖνον. Ὅταν ὅμως κάνει συμφωνία κανεὶς μὲ κάποιον ποὺ εἶναι κάτω ἀπὸ τὴν ἐξουσία του πρέπει νὰ σκεφθεῖ καλὰ μήπως κάνει τὴ συμφωνία κάτω ἀπὸ ἐξαναγκασμό, πρᾶγμα ποὺ εἶναι ἁμαρτία· πρέπει λοιπὸν τότε νὰ τὸν πληροφορήσει καὶ νὰ τοῦ πεῖ· ''Ἀδελφέ, οὔτε λυπᾶμαι ἂν δὲν κάνεις αὐτὸ ποὺ σοῦ λέγω οὔτε περισσότερα σοῦ δίνω· κάνε λοιπὸν ὅπως σοῦ ἀρέσει καὶ ὅπως θέλεις'.

757

Ἐρώτηση

Ἐπειδή, ὅπως διδάσκετε, εἶναι καλὸ τὸ νὰ κατακρίνει κανεὶς τὸν ἑαυτό του, ἂν κατηγορηθῶ ἀπὸ κάποιον ὅτι ἔσφαλα ἐναντίον του καὶ ἐγὼ δὲν ἀναγνωρίζω ὅτι ἔσφα-

Ἐὰν γὰρ θελήσω ἐμαυτὸν κατακρῖναι, εὑρίσκομαι βεβαιῶν αὐτοῦ τὴν κατ' ἐμοῦ λύπην, ὡς ἀληθοῦς ὄντος τοῦ κατ' αὐτοῦ σφάλματος· ἐὰν δὲ πάλιν θελήσω ἀπολογήσασθαι αὐτῷ, ὅτι οὐχ οὕτως ἔχει τὸ πρᾶγμα, εὑρίσκομαι ἐμαυτὸν δικαιῶν. Καὶ πῶς λοιπὸν βαστάσω τὴν μέμψιν; Φώτισόν με, πάτερ ἅγιε, πῶς ὀφείλω ποιῆσαι;

Ἀπόκρισις

Πρῶτον μέμψαι σεαυτὸν ἐν τῇ καρδίᾳ σου, καὶ βάλε μετάνοιαν αὐτῷ λέγων, 'συγχώρησόν μοι διὰ τὸν Κύριον', καὶ οὕτως ἐν ταπεινώσει, οὐχ ὡς θέλων σεαυτὸν δικαιῶσαι, ἀλλ' ἐκεῖνον θεραπεῦσαι καὶ ἐπᾶραι ἐξ αὐτοῦ τὴν ὑποψίαν εἰπὲ αὐτῷ· 'Πάτερ, οὐ σύνοιδα ἐμαυτῷ, ὅτι ἠθέλησά σε ἔν τινι λυπῆσαι ἢ κατά τι ἁμαρτῆσαι κατὰ σοῦ· λοιπὸν μὴ ἔχε οὕτω κατ' ἐμοῦ'. Εἰ δὲ οὕτω πληροφορίαν οὐ λαμβάνει, εἰπὲ αὐτῷ· ''Ἥμαρτον, συγχώρησόν μοι'.

ΨΝΗ'

Ἐρώτησις

Ἐὰν δὲ σφαλῶ κατ' αὐτοῦ καὶ ἀκούσας λυπῆται, ἆρα καλόν ἐστι κρύψαι τὴν ἀλήθειαν, εἰς τὸ παῦσαι αὐτοῦ τὴν λύπην, ἢ ὁμολογῆσαι τὸ σφάλμα καὶ αἰτῆσαι συγχώρησιν;

Ἀπόκρισις

Ἐὰν ἀκριβῶς ἔμαθε καὶ σὺ οἶδας, ὅτι μέλλει τὸ πρᾶγμα εἰς ἐξέτασιν ἥξειν καὶ φανερωθήσεσθαι, εἰπὲ αὐτῷ τὴν ἀλήθειαν καὶ ζήτησον συγχώρησιν· τὸ γὰρ ψεύσασθαι, ἐπὶ πλέον παροξύνει αὐτόν. Ἐὰν δὲ οὐκ ἔγνω οὐδὲ μέλλει ἐξε-

λα, τί νὰ κάνω; Ἂν θελήσω νὰ κατακρίνω τὸν ἑαυτό μου, βρίσκομαι νὰ βεβαιώνω τὴν κατ' ἐμοῦ λύπη του, σὰν νὰ εἶναι ἀληθινὸ τὸ σφάλμα ἐναντίον του· ἂν πάλι θελήσω ν' ἀπολογηθῶ σ' αὐτόν, ὅτι δὲν εἶναι ἔτσι τὸ πρᾶγμα, βρίσκομαι νὰ δικαιώνω τὸν ἑαυτό μου. Πῶς λοιπὸν θὰ βαστάξω τὴν κατηγορία; Φώτισέ με, ἅγιε πάτερ, πῶς πρέπει νὰ ἐνεργήσω;

Ἀπόκριση

Πρῶτα νὰ κατακρίνεις τὸν ἑαυτό σου μέσα στὴν καρδία σου καὶ βάλε μετάνοια σ' αὐτὸν λέγοντας, 'συγχώρεσέ με στὸ ὄνομα τοῦ Κυρίου', καὶ τότε μὲ ταπείνωση, ὄχι σὰν νὰ θέλεις νὰ δικαιώσεις τὸν ἑαυτό σου, ἀλλὰ γιὰ νὰ θεραπεύσεις ἐκεῖνον καὶ νὰ βγάλεις ἀπὸ αὐτὸν τὴν ὑποψία, πές του· 'Πάτερ, δὲν γνωρίζω νὰ θέλησα νὰ σὲ λυπήσω σὲ κάτι ἢ ὅτι ἁμάρτησα σὲ κάτι ἐναντίον σου· μὴ ἔχεις λοιπὸν παράπονο ἐναντίον μου'. Ἂν ὅμως δὲν ἱκανοποιεῖται ἔτσι πές του· 'Ἁμάρτησα, συγχώρεσέ με'.

758

Ἐρώτηση

Ἂν ὅμως σφάλω ἐναντίον του καὶ λυπηθεῖ ὅταν τὸ ἀκούσει, ἄραγε εἶναι καλὸ νὰ κρύψω τὴν ἀλήθεια, γιὰ νὰ σταματήσω τὴν λύπη του, ἢ νὰ ὁμολογήσω τὸ σφάλμα καὶ νὰ ζητήσω συγχώρηση;

Ἀπόκριση

Αν τὸ ἔμαθε ἀκριβῶς καὶ σὺ διαπιστώνεις ὅτι πρόκειται νὰ φέρει τὸ πρᾶγμα σὲ ἐξέταση καὶ θὰ φανερωθεῖς, πές του τὴν ἀλήθεια καὶ ζήτησε συγχώρηση· διότι τὸ νὰ πεῖς ψέματα τὸν παρoργίζει περισσότερο. Ἂν ὅμως δὲν τὸ ἔμα-

τάζεσθαι τὸ πρᾶγμα, οὐκ ἄτοπον σιωπῆσαι καὶ μὴ δοῦναι χώραν τῇ λύπῃ. Σαμουὴλ γὰρ ὁ προφήτης ὅτε ἐπέμφθη χρίσαι τὸν Δαβὶδ εἰς βασιλέα, ἔμελλε καὶ θύειν τῷ Θεῷ, καὶ ἐφοβήθη τὸν Σαοὺλ μὴ μάθῃ τοῦτο· καὶ εἶπεν αὐτῷ ὁ Θεός· «λάβε μετὰ σεαυτοῦ δάμαλιν, καὶ ἐὰν εἴπῃ σοι ὁ βασιλεύς, 'τί θέλων ἦλθες;' εἰπέ, 'θύειν ἦλθον τῷ Κυρίῳ'»· καὶ οὕτω τὸ ἓν κρύψας, τὸ φέρον εἰς ὀργὴν τὸν βασιλέα, τὸ ἄλλο μόνον εἶπε. Καὶ σὺ οὖν σιώπα τὸ λυπηρόν, καὶ τὸ πρᾶγμα παρέρχεται.

ΨΝΘ'

Ἐρώτησις

Ἐὰν φανερὸν ᾖ, ὅτι οὐχ ἥμαρτον εἴς τινα, ἀλλ' ἡμαρτήθην ὑπ' αὐτοῦ, πῶς δύναμαι μέμφεσθαι ἐμαυτόν; Τί γάρ, λόγου χάριν, ὡς ὁδεύω πούποτε περιέτυχέ μοι τις ἐν τῇ ὁδῷ, ὃν παντελῶς οὐκ ἐγίνωσκον, κἀμοῦ μηδὲν αὐτῷ εἰπόντος, ἔδειρέ με ἀκαίρως· πῶς δύναμαι μέμψασθαι ἐμαυτὸν ἐν τούτῳ;

Ἀπόκρισις

Δύνασαι λέγων, ὅτι "Ἐγὼ ἐσφάλην διὰ ταύτης τῆς ὁδοῦ· εἰ γὰρ μὴ ἦλθον, οὐκ εἶχον περιτυχεῖν τούτῳ καὶ οὐκ ἔδειρέ με'. Βλέπεις ὅτι δύνασαι σεαυτῷ ἐπιγράψαι τὴν αἰτίαν;

ΨΞ'

Ἐρώτησις

Ἐὰν οὔτε βλέπω φανερὸν τὸ ἁμάρτημα, οὔτε ἐμφαίνει μοι εὐθέως τὸ πῶς ὤφειλον ἐμαυτὸν μέμψασθαι, τί ποιήσω;

θε οὔτε πρόκειται νὰ ἐξετασθεῖ τὸ πρᾶγμα, δὲν εἶναι ἄτοπο νὰ σιωπήσεις καὶ νὰ μὴ δώσεις τόπο στὴ λύπη. Διότι ὁ προφήτης Σαμουήλ, ὅταν στάλθηκε νὰ χρίσει τὸν βασιλιὰ Δαβίδ, ἤθελε καὶ νὰ θυσιάσει στὸν Θεό, ἀλλὰ φοβήθηκε τὸν Σαούλ, μήπως καὶ τὸ μάθει αὐτό· ὁ Θεὸς τότε εἶπε σ' αὐτόν· «πάρε ἕνα δαμάλι μαζί σου, καὶ ἂν σοῦ πεῖ ὁ βασιλιάς, 'τί θέλεις καὶ ἦρθες;' πές, 'ἦρθα νὰ προσφέρω θυσία στὸν Κύριο'». Ἔτσι, ἀφοῦ ἔκρυψε τὸ ἕνα ποὺ φέρει σὲ ὀργὴ τὸν βασιλιά, εἶπε μόνο τὸ ἄλλο. Καὶ σὺ λοιπὸν σιώπησε τὸ λυπηρό, καὶ τὸ πρᾶγμα θὰ περάσει.

759

Ἐρώτηση

Ἂν εἶναι φανερό, ὅτι δὲν ἁμάρτησα σὲ κάποιον, ἀλλ' ἀδικήθηκα ἀπὸ αὐτόν, πῶς μπορῶ νὰ κατακρίνω τὸν ἑαυτό μου; Γιὰ παράδειγμα ἂν συμβεῖ νὰ βαδίζω κάπου καὶ μὲ συναντήσει στὸν δρόμο κάποιος ποὺ δὲν τὸν γνωρίζω καθόλου καί, χωρὶς νὰ τοῦ πῶ τίποτε, μὲ δείρει ἄδικα, πῶς μπορῶ νὰ κατακρίνω τὸν ἑαυτό μου σ' αὐτό;

Ἀπόκριση

Μπορεῖς νὰ πεῖς· "Ἐγὼ ἔσφαλα ποὺ πῆρα αὐτὸν τὸν δρόμο· διότι, ἂν δὲν ἐρχόμουν ἀπ' αὐτόν, δὲν θὰ τὸν συναντοῦσα καὶ δὲν θὰ μὲ ἔδερνε'. Βλέπεις ὅτι μπορεῖς ν' ἀποδώσεις στὸν ἑαυτό σου τὴν αἰτία;

760

Ἐρώτηση

Ἂν οὔτε βλέπω φανερὸ τὸ ἁμάρτημα, οὔτε μοῦ φαίνεται καθαρὰ τὸ πῶς ἔπρεπε νὰ κατακρίνω τὸν ἑαυτό μου, τί νὰ κάνω;

Ἀπόκρισις

Εἰπέ· "Ὅτι οὖν ἐγὼ ἥμαρτον, φανερόν ἐστιν, ἀλλὰ τὸ ἁμάρτημα νῦν κέκρυπται ἐξ ἐμοῦ"· καὶ αὕτη ἐστὶν ἡ σεαυτοῦ μέμψις.

ΨΞΑ´

Ἐρώτησις

Ἄλλος φιλόχριστος συνεχῶς παρέβαλλε τῷ κοινοβίῳ τῶν πατέρων, καὶ ἐχρόνισεν ἅπαξ ἐλθεῖν ἐκεῖ. Καὶ τοῦ ἀββᾶ εἰπόντος ἐν ἱλαρότητι, 'ἐγνώρισας τὴν ὁδόν;' εἶπεν· "Ἀββᾶ, εἰ ηὔχεσθε ὑπὲρ ἡμῶν, οὐκ ἂν εἴχομεν βραδύναι, ἀλλὰ παρακαλῶ εἰπὲ τοῦτο τῷ γέροντι'. Καὶ ἀκούσας ὁ Γέρων ἐδήλωσεν αὐτῷ.

Ἀπόκρισις

Ἔδειξας ἡμᾶς κοιμωμένους καὶ μὴ δυναμένους τίποτε ποιῆσαι, ἀλλὰ σὺ οὐχ εὑρέθης σπουδαιότερος ἐλθεῖν καὶ ἐξυπνίσαι ἡμᾶς, καὶ τοῦτο εἰδὼς ἀπὸ τῶν μαθητῶν τοῦ Σωτῆρος. Ὅτε γὰρ ἐχειμάζοντο προσῆλθον αὐτῷ καὶ ἐξύπνισαν λέγοντες· «ἐπιστάτα, σῶσον ἡμᾶς, ἀπολλύμεθα»· καὶ ἐγερθεὶς ἔσωσεν αὐτούς.

ΨΞΒ´

Ἐρώτησις

Ταῦτα ἀκούσας ἐκεῖνος πάλιν ἐδήλωσε τὰ αὐτά· καὶ ἀπεκρίθη ὁ Γέρων.

Ἀπόκρισις

Συγχώρησόν μοι, ὅτι ἡ φιλονεικία ταπείνωσιν οὐκ ἔχει. Καὶ ἀκούσας ἐκεῖνος κατενύγη ἐπὶ τῷ λόγῳ, καὶ ὠφεληθεὶς ἀνεχώρησεν.

---

51. Λουκᾶ 8,24.

Ἀπόκριση

Πές· 'Τὸ ὅτι βέβαια ἁμάρτησα ἐγὼ εἶναι φανερό, ἀλλὰ τὸ ἁμάρτημα τώρα ἔχει κρυφτεῖ ἀπὸ μένα'· καὶ αὐτὸ εἶναι ἡ μέμψη τοῦ ἑαυτοῦ σου.

761

Ἐρώτηση

Ἄλλος φιλόχριστος ἐπισκεπτόταν συνεχῶς τὸ κοινόβιο τῶν πατέρων, ἀλλὰ μία φορὰ ἔκανε πολὺ καιρὸ νὰ πάει ἐκεῖ. Ὅταν ὁ ἀββᾶς τοῦ εἶπε μὲ ἱλαρότητα, 'ἔμαθες τὸν δρόμο;' αὐτὸς εἶπε· 'Ἀββᾶ, ἂν προσευχόσασταν γιὰ μένα, δὲν θὰ ἀργοῦσα, ἀλλὰ σὲ παρακαλῶ πές το αὐτὸ στὸ γέροντα'. Ὅταν ὁ γέροντας τὸ ἔμαθε τοῦ δήλωσε.

Ἀπόκριση

Ἔδειξες ὅτι κοιμόμαστε καὶ δὲν μποροῦμε νὰ κάνομε τίποτε, ἀλλὰ σὺ δὲν βρέθηκες σπουδαιότερος, ὥστε νὰ ρθεῖς καὶ νὰ μᾶς ξυπνίσεις, καὶ αὐτό, ἂν καὶ τὸ γνώριζες αὐτὸ ἀπὸ τοὺς μαθητὲς τοῦ Σωτήρα. Διότι ὅταν ἐκεῖνοι ἔπεσαν σὲ τρικυμία προσῆλθαν σ' αὐτὸν καὶ τὸν ξύπνισαν, λέγοντας· «ἐπιστάτη, σῶσε μας, γιατὶ χανόμαστε»[51]· καί, ἀφοῦ σηκώθηκε, τοὺς ἔσωσε.

762

Ἐρώτηση

Ὅταν ἐκεῖνος ἄκουσε αὐτά, πάλι δήλωσε τὰ ἴδια· ὁ γέροντας τότε τοῦ ἀπάντησε.

Ἀπόκριση

Συγχώρεσέ με, διότι ἡ φιλονεικία δὲν ἔχει ταπείνωση'. Ὅταν τὸ ἄκουσε αὐτὸ ἐκεῖνος κυριεύθηκε ἀπὸ κατάνυξη μὲ τὸν λόγο καὶ ἀναχώρησε ὠφελημένος.

ΨΞΓ΄

Ἐρώτησις

Φιλόχριστος ἠρώτησε τὸν αὐτὸν Γέροντα.

Ἐπειδὴ ὁ Θεὸς αὐτεξούσιον ἐποίησε τὸν ἄνθρωπον, λέγει δὲ ὅτι «χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν», πῶς φυλάττεται καὶ τὸ αὐτεξούσιον καὶ τὸ μηδὲν χωρὶς Θεοῦ δύνασθαι ποιεῖν;

Ἀπόκρισις

Ο Θεὸς αὐτεξούσιον ἐποίησε τὸν ἄνθρωπον, ἵνα δύναται ῥέψαι εἰς τὸ ἀγαθόν, ῥέπων δὲ τῇ προαιρέσει, οὐκ ἔστιν ἱκανὸς ἐπιτελέσαι αὐτὸ ἄνευ τῆς τοῦ Θεοῦ βοηθείας· γέγραπται γάρ· «οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ». Ἐὰν οὖν κλίνῃ τὴν καρδίαν ὁ ἄνθρωπος εἰς τὸ ἀγαθὸν καὶ ἐπικαλέσηται τὸν Θεὸν εἰς βοήθειαν, προσέχων ὁ Θεὸς τῇ καλῇ αὐτοῦ προθυμίᾳ, ἐπιχορηγεῖ δύναμιν τῇ ἐργασίᾳ αὐτοῦ, καὶ οὕτω τὰ δύο προβαίνει· καὶ τὸ αὐτὲξούσιον τοῦ ἀνθρώπου καὶ τὸ δυνατὸν τοῦ Θεοῦ. Τὸ γὰρ ἀγαθὸν ἐξ αὐτοῦ γίνεται, διὰ δὲ τῶν ἁγίων αὐτοῦ ἐπιτελεῖται, καὶ οὕτω δοξάζεται ὁ Θεὸς ἐν πᾶσι καὶ δοξάζει αὐτούς.

ΨΞΔ΄

Ἐρώτησις

Συγγενεῖς ἔχω κατὰ κόσμον, τοὺς μὲν λαμπροὺς καὶ εἰσὶν ἐνταῦθα, τοὺς δὲ εὐτελεῖς καὶ οἰκοῦσι μακράν, καὶ συμβαίνει ὅτι ἔρχονται πρὸς ἡμᾶς. Ἐὰν οὖν ἐρωτήσῃ μέ τις 'τίνες εἰσίν', εἴπω αὐτῷ τὴν ἀλήθειαν ἢ σιωπήσω; ἐπειδὴ τὸ εἰπεῖν λυπεῖ τοὺς ἄλλους συγγενεῖς ἐρυθριῶντας τὸ ὄνειδος.

---

52. Ἰω. 15,5.

763

Ἐρώτηση

Ἕνας φιλόχριστος ἐρώτησε τὸν ἴδιο γέροντα.

Ἐπειδὴ ὁ Θεὸς ἔκανε αὐτεξούσιο τὸν ἄνθρωπο, λέγει ὅμως ὅτι «χωρὶς ἐμένα, δὲν μπορεῖτε νὰ κάνετε τίποτε»[52], πῶς φυλάγεται καὶ τὸ αὐτεξούσιο καὶ τὸ ὅτι δὲν μποροῦμε νὰ κάνομε τίποτε χωρὶς τὸν Θεό;

Ἀπόκριση

Ο Θεὸς ἔκανε αὐτεξούσιο τὸν ἄνθρωπο, γιὰ νὰ μπορεῖ νὰ ρέπει πρὸς τὸ ἀγαθό· ὅταν ρέπει πρὸς αὐτὸ μὲ τὴν προαίρεση, δὲν εἶναι ἱκανὸς νὰ ἐπιτελέσει αὐτὸ χωρὶς τὴ βοήθεια τοῦ Θεοῦ· διότι ἔχει γραφεῖ «δὲν ἐξαρτᾶται ἀπὸ αὐτὸν ποὺ θέλει, οὔτε ἀπὸ αὐτὸν ποὺ τρέχει, ἀλλὰ ἀπὸ τὸν Θεὸ ποὺ ἐλεεῖ»[53]. Ἂν λοιπὸν ὁ ἄνθρωπος κλίνει τὴν καρδιά του πρὸς τὸ ἀγαθὸ καὶ ἐπικαλεστεῖ τὸν Θεὸ γιὰ βοήθεια, ὁ Θεὸς προσέχοντας τὴν καλὴ προθυμία του ἐπιχορηγεῖ δύναμη στὴν ἐργασία του, καὶ ἔτσι ἐνεργοποιοῦνται καὶ τὰ δύο· καὶ τὸ αὐτεξούσιο τοῦ ἀνθρώπου καὶ ἡ δυνατότητα τοῦ Θεοῦ. Διότι τὸ ἀγαθὸ γίνεται ἀπὸ αὐτόν, ἐπιτελεῖται ὅμως μὲ τοὺς ἁγίους του, καὶ ἔτσι ὁ Θεὸς δοξάζεται σὲ ὅλους καὶ δοξάζει αὐτούς.

764

Ἐρώτηση

Ἔχω συγγενεῖς κατὰ κόσμο, ἄλλους λαμπροὺς ποὺ βρίσκονται ἐδῶ, καὶ ἄλλους ἀσήμαντους ποὺ κατοικοῦν μακριά, καὶ συμβαίνει νὰ ἔρχονται κοντά μας. Ἂν λοιπὸν μὲ ἐρωτήσει κάποιος καὶ μοῦ πεῖ, 'ποιοί εἶναι', νὰ τοῦ πῶ τὴν ἀλήθεια ἢ νὰ σιωπήσω; Διότι τὸ νὰ πῶ, λυπεῖ τοὺς ἄλλους συγγενεῖς ποὺ κοκκινίζουν ἀπὸ τὴ ντροπή.

---

53. Ρωμ. 9,16.

Ἀπόκρισις

Οὐ χρὴ μὴ οὔσης ἀνάγκης τοῦτο δημοσιεύειν, μάλιστα ἐὰν κινῇ λύπην τοῖς ἄλλοις· κἂν οὖν εἰδικῶς ἐρωτηθῇς 'τίνες εἰσίν', ὀφείλεις συνετῶς ἀποκρίνασθαι, πρὸς τὸ μὴ φανερῶσαι τὸ πρᾶγμα· εἰ δὲ μηδεὶς λυπεῖται ἢ θλίβεται ἐκ τούτου καὶ ἐρωτηθῇς, οὐκ ὀφείλεις κρύψαι τὴν ἀλήθειαν· ἐπεὶ κενοδοξία εὑρίσκεται. Πάντες γὰρ πλάσματα Θεοῦ ἐσμεν καὶ οὐδεὶς τοῦ ἄλλου λαμπρότερος, εἰμὴ ὁ ποιῶν τὸ θέλημα τοῦ Θεοῦ, ἀλλ' ἡ κενοδοξία ποιεῖ παρὰ τοῖς ἀνθρώποις διαφοράν· ἀλλ' ὅμως χρὴ φυλάξαι τῶν ἄλλων τὴν συνείδησιν, διὰ τὴν ἀσθένειαν τοῦ αὐτῶν λογισμοῦ, ὁπότε οὐδεμία πρόκειται ἀνάγκη τοῦ δημοσιεῦσαι.

ΨΞΕ'

Ἐρώτησις

Οἰκέτην ἔχω λελωβημένον· ἆρα ὀφείλω κρατῆσαι αὐτὸν ἢ οὔ;

Ἀπόκρισις

Οὐ κρατῆσαι αὐτὸν χρὴ ἐν τῷ οἴκῳ σου· οὐ γὰρ πάντες βαστάζουσι συνεῖναι αὐτῷ· εἰ γὰρ ἐβάσταζον, εὐσεβὲς ἦν τὸ πρᾶγμα· καὶ οὐ χρὴ θλῖψαι δι' αὐτὸν ἄλλους, ἀλλὰ δὸς αὐτὸν ἐν τῷ πτωχοτροφείῳ τῶν λελωβημένων καὶ πάρεχε αὐτῷ τὴν τροφὴν αὐτοῦ καὶ τὸ ἔνδυμα, τὸ ἀρκετὸν τῇ χρείᾳ, καὶ τὸ στρῶμα, ἵνα μηδὲν βαρηθῇ ὁ τοιοῦτος.

ΨΞS'

Ἐρώτησις

Ἐὰν δὲ λαμβάνων τὰ δηνάρια αὐτοῦ, καθὼς ἐκέλευσας,

Ἀπόκριση

Δὲν πρέπει νὰ τὸ γνωστοποιεῖς αὐτό, ἂν δὲν ὑπάρχει ἀνάγκη, καὶ μάλιστα ἂν προκαλεῖ λύπη στοὺς ἄλλους. Ἂν λοιπὸν ἐρωτηθεῖς εἰδικὰ ποιοί εἶναι, ὀφείλεις ν' ἀπαντήσεις μὲ σύνεση, ὥστε νὰ μὴ φανερώσεις τὸ πρᾶγμα. Ἂν ὅμως κανένας δὲν λυπᾶται ἢ θλίβεται ἀπὸ αὐτὸ καὶ ἐρωτηθεῖς, δὲν πρέπει νὰ κρύψεις τὴν ἀλήθεια· ἐπειδὴ ὑπεισέρχεται κενοδοξία. Διότι ὅλοι εἴμαστε πλάσματα τοῦ Θεοῦ, καὶ κανένας δὲν εἶναι λαμπρότερος τοῦ ἄλλου, παρὰ ἐκεῖνος ποὺ κάνει τὸ θέλημα τοῦ Θεοῦ, ἀλλὰ ἡ κενοδοξία δημιουργεῖ διαφορὰ ἀνάμεσα στοὺς ἀνθρώπους. Πρέπει ὅμως νὰ προφυλάξεις τὴ συνείδηση τῶν ἄλλων, ἐξαιτίας τῆς ἀδυναμίας τοῦ λογισμοῦ τους, ὅταν δὲν ὑπάρχει καμμία ἀνάγκη νὰ πεῖς ποιοί εἶναι.

765

Ἐρώτηση

Ἔχω ἕνα λεπρὸ ὑπηρέτη· ἄραγε ὀφείλω νὰ τὸν κρατήσω ἢ ὄχι;

Ἀπόκριση

Δὲν πρέπει νὰ τὸν κρατήσεις στὸ σπίτι σου· διότι δὲν τὸ βαστάζουν ὅλοι νὰ εἶναι μαζί του· ἂν τὸ βάσταζαν, ἡ πράξη θὰ ἦταν εὐσεβής. Δὲν πρέπει συνεπῶς ἐξαιτίας αὐτοῦ νὰ θλίψεις ἄλλους, ἀλλὰ δῶσε τον στὸ πτωχοτροφεῖο τῶν λεπρῶν, παρέχοντάς του τὴν τροφή του καὶ τὰ ροῦχα ποὺ ἀρκοῦν γιὰ τὴν ἀνάγκη τῶν παθῶν, καθὼς καὶ τὸ στρῶμα, γιὰ νὰ μὴ ἀποτελεῖ αὐτὸς κανένα βάρος.

766

Ἐρώτηση

Ἂν ὅμως παίρνοντας τὰ χρήματά του, ὅπως διέταξες, θέ-

βούλεται λαμβάνειν καὶ τὸ μέρος αὐτοῦ ἐκ τῶν ἔξωθεν προσφερομένων ἐκεῖ παρά τινων ἢ καὶ παρ' ἐμοῦ, συγχωρήσω αὐτῷ λαμβάνειν ἢ οὔ;

Ἀπόκρισις

Μήτε ἐπιτρέψῃς, βάρος γάρ ἐστι, μήτε κωλύσῃς, ἵνα μὴ γογγύσῃ ἢ βλασφημήσῃ, ἀλλ' αὐτὸς εἴ τι θέλει ποιήσει, εἰ δὲ καὶ παρὰ σοῦ ἡ προσφορὰ γίνεται, ὁπότε πρόθεσιν ἔχει τοῦ λαβεῖν, δὸς αὐτῷ.

ΨΞΖ'

Ἐρώτησις

Ἐπειδὴ ὁ κατὰ σάρκα μου πατὴρ ἀεὶ φέρει μοι ὁμιλίαν περὶ σαρκικῶν πραγμάτων οὐκ ἐχόντων ὠφέλειαν τῇ ψυχῇ, καὶ τὸ ἀκοῦσαι αὐτοῦ θλίβομαι, καὶ τὸ καταπαῦσαι αὐτὸν τῆς ὁμιλίας παραιτοῦμαι, τί ποιήσω;

Ἀπόκρισις

Ἐὰν δύνασαι μετενεγκεῖν τὸν νοῦν σου ἀπὸ τῶν λεγομένων παρ' αὐτοῦ, εἴτε εἰς προσευχήν, εἴτε εἰς μνήμην τῶν λόγων τοῦ Θεοῦ καὶ πατέρων διδασκαλίαν, καλόν ἐστι, καὶ ἄφες αὐτὸν λέγειν ὃ θέλει. Εἰ δὲ οὐ δύνασαι, σπούδασον μετὰ πρᾳότητος αὐτὸν παῦσαι τῆς ὁμιλίας, καὶ μετενεγκεῖν αὐτὴν εἰς ἄλλην ὠφελιμωτέραν, μήποτε ἐκ τοῦ χρονίσαι αὐτήν, εὑρεθῇ ἐκεῖ παγὶς τοῦ ἐχθροῦ. Δύναται γὰρ καὶ ἐν ἑνὶ λόγῳ κατασκευάσαι ἀπροόπτως τὴν παγίδα, ἐὰν μόνον εὑρήσῃ ἡδέως ἀκούοντα.

ΨΞΗ'

Ἐρώτησις

Ἐπειδή τινες ἐν τῷ ἡμᾶς τρυγᾶν ἔρχονται ἀποφυλλίσαι,

λει νὰ παίρνει τὸ μερίδιό του καὶ ἀπὸ ἐκεῖνα ποὺ προσφέρονται ἐκεῖ ἀπὸ ἔξω, ἀπὸ κάποιους ἢ καὶ ἀπὸ ἐμένα, νὰ τὸν ἐπιτρέψω νὰ παίρνει ἢ ὄχι;

Ἀπόκριση

Νὰ μὴ τὸν ἐπιτρέψεις, διότι εἶναι βάρος, οὔτε νὰ τὸν ἐμποδίσεις, γιὰ νὰ μὴ βογγήσει ἢ βλασφημήσει, ἀλλὰ νὰ κάνει ὅ,τι θέλει αὐτός· ἂν ὅμως ἡ προσφορὰ γίνεται ἀπὸ σένα, ὅποτε ἔχει πρόθεση νὰ πάρει, δῶσε του.

767

Ἐρώτηση

Ἐπειδὴ ὁ κατὰ σάρκα πατέρας μου πάντα μοῦ μιλάει γιὰ σαρκικὰ πράγματα ποὺ δὲν ὠφελοῦν τὴν ψυχή, πρᾶγμα ποὺ καὶ μὲ στενοχωρεῖ νὰ τὸν ἀκούσω, καὶ ἀποφεύγω νὰ τὸν σταματήσω ἀπὸ τὴν ὁμιλία, τί νὰ κάνω;

Ἀπόκριση

Ἂν μπορεῖς νὰ μεταφέρεις τὸν νοῦ σου ἀπὸ αὐτὰ ποὺ λέγει εἴτε στὴν προσευχὴ εἴτε στὴ μνήμη τῶν λόγων τοῦ Θεοῦ καὶ στὴ διδασκαλία τῶν πατέρων, εἶναι καλό, καὶ ἄφησέ τον νὰ λέγει ἐκεῖνο ποὺ θέλει. Ἂν ὅμως δὲν μπορεῖς, φρόντισε μὲ πραότητα νὰ τὸν σταματήσεις ἀπὸ τὴν ὁμιλία καὶ νὰ μεταφέρεις αὐτὴν σὲ ἄλλη ὠφελιμότερη, μήπως, ἐξαιτίας τοῦ ὅτι αὐτὴ κρατάει πολὺ χρόνο, βρεθεῖ ἐκεῖ παγίδα τοῦ ἐχθροῦ. Διότι ὁ ἐχθρὸς μπορεῖ καὶ μὲ ἕνα μόνο λόγο νὰ κατασκευάσει ἀπρόοπτα τὴν παγίδα, ἁπλῶς μόνο ἂν βρεῖ κάποιον ν' ἀκούει εὐχάριστα.

768

Ἐρώτηση

Ἐπειδὴ μερικοὶ κατὰ τὸν τρύγο ἔρχονται νὰ πάρουν τὰ

μὴ ἄτοπόν ἐστι κωλύειν αὐτοὺς ἐπιβῆναι τῇ σταφυλῇ; Ἐὰν δὲ ὑπονοήσω ὅτι ἔκλεψαν σταφυλήν, οὐκ ὀφείλω ψηλαφῆσαι αὐτούς; καὶ ἐὰν εὕρω, λάβω αὐτάς, ἵνα μὴ καὶ ἄλλοι τὸ αὐτὸ ποιήσωσι; Διστάζει γὰρ ὁ λογισμός μου ἐν τούτοις.

Ἀπόκρισις

Τὸ μὴ συγχωρῆσαι αὐτοὺς ἐπιβῆναι τῇ σταφυλῇ οὐκ ἄτοπον, ἐὰν δὲ ὑπονοῇς ὅτι ἔχει τις σταφυλὴν καὶ οὐκ οἶδας τὴν ἀκρίβειαν, μὴ ὡς ἔτυχε ψηλαφήσῃς, μήποτε ἀστοχήσῃς καὶ καταισχυνθῇς. Εἰ οἶδας ὅτι ἔχει καὶ συγχωρήσῃς αὐτῷ, καλόν ἐστιν, ἐὰν δὲ μή, ἔασον αὐτὸν κἂν δίχα ὕβρεως.

ΨΞΘ΄

Ἐρώτησις

Ὅτε ἀδικῶ καὶ διορθοῦμαι τὸ ἀδίκημα, ὑψηλοφρονεῖ μου ὁ λογισμός, ὡς ἀγαθόν τι πράξαντος. Τί οὖν ὤφειλον λέγειν αὐτῷ;

Ἀπόκρισις

Εἰπὲ αὐτῷ· Ὁ ἀδικῶν κολάζεται, ὁ δὲ διαλύων τὸ ἀδίκημα, διαφεύγει τὴν κόλασιν καὶ ἔχει ἔπαινον· ἄλλο γάρ ἐστι τὸ ἀγθοποιῆσαι καὶ ἄλλο τὸ ἀδικῆσαι. Τὸ μὲν γὰρ θεραπεύει τὸν Θεὸν καὶ προξενεῖ τὴν αἰωνίαν ἀνάπαυσιν, τὸ δὲ παροργίζει αὐτὸν καὶ προξενεῖ τὴν αἰώνιον κόλασιν. Τοῦτο γάρ ἐστιν ὅ φησιν ὁ Δαβὶδ «ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν»· ἄνευ γὰρ τοῦ Θεοῦ οὐ δυνάμεθά τι ἀγαθὸν ποιῆσαι· εἶπε γὰρ «χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν», καὶ ὁ Ἀπόστολος· «τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι

54. Ψαλμ. 33,14.

ἀπομεινάρια, μήπως εἶναι ἄτοπο νὰ τοὺς ἐμποδίζω νὰ μπαίνουν μέσα στὸ ἀμπέλι; Ἂν ὑποπτευθῶ ὅτι ἔκλεψαν σταφύλια, δὲν πρέπει νὰ τοὺς ἐρευνήσω; Καὶ ἂν βρῶ νὰ ἔχουν πάρει, νὰ τὰ πάρω, γιὰ νὰ μὴ κάνουν καὶ ἄλλοι τὸ ἴδιο; Ὁ λογισμός μου εἶναι διστακτικὸς ὡς πρὸς αὐτά.

Ἀπόκριση

Δὲν εἶναι ἄτοπο τὸ νὰ μὴ τοὺς ἐπιτρέψεις νὰ μπαίνουν μέσα στὸ ἀμπέλι. Ἂν πάλι ὑποπτεύεσαι ὅτι κάποιος ἔχει σταφύλια, καὶ δὲν τὸ γνωρίζεις μὲ βεβαιότητα, νὰ μὴ τὸν ἐρευνήσεις ἔτσι στὴν τύχη, μήπως ἀστοχήσεις καὶ καταντροπιασθεῖς· ἂν γνωρίζεις ὅτι ἔχει καὶ τὸν συγχωρήσεις, εἶναι καλό, ἂν ὅμως ὄχι, ἄφησέ τον τουλάχιστον χωρὶς ὕβρη.

769

Ἐρώτηση

Ὅταν ἀδικῶ καὶ διορθώνω τὸ ἀδίκημα, ὑψηλοφρονεῖ ὁ λογισμός μου, ἐπειδὴ ἔκανα κάποιο καλό. Τί πρέπει νὰ τοῦ λέγω;

Ἀπόκριση

Πές του· "Ὅποιος ἀδικεῖ τιμωρεῖται, ὅποιος ὅμως ἐπανορθώνει τὸ ἀδίκημα, διαφεύγει τὴν κόλαση καὶ λαμβάνει ἔπαινο· διότι ἄλλο εἶναι τὸ νὰ ἀγαθοποιήσει κανεὶς καὶ ἄλλο τὸ νὰ ἀδικήσει. Τὸ πρῶτο ὑπηρετεῖ τὸν Θεὸ καὶ προξενεῖ τὴν αἰώνια ἀνάπαυση, ἐνῶ τὸ ἄλλο τὸν παροργίζει καὶ προξενεῖ τὴν αἰώνια κόλαση. Διότι αὐτὸ σημαίνει ἐκεῖνο ποὺ λέγει ὁ Δαβίδ· «ἀπόφευγε τὸ κακὸ καὶ κάμνε τὸ καλό»[54]. Χωρὶς τὸν Θεὸ δὲν μποροῦμε νὰ κάνομε κάποιο καλό· διότι εἶπε· «χωρὶς ἐμένα δὲν μπορεῖτε νὰ κάνετε τίποτε»[55]· καὶ ὁ Ἀπόστολος λέγει· «ποιό εἶναι ἐκεῖνο ποὺ ἔχεις καὶ δὲν τὸ ἔλαβες; ἂν

55. Ἰω. 15,5.

ὡς μὴ λαβών;». *Οὐκοῦν οὐδὲ ἐν τῇ ἐργασίᾳ τοῦ ἀγαθοῦ δυνάμεθα ὑψηλοφρονεῖν, πόσῳ γε μᾶλλον ἐν τῇ ἀναχωρήσει τοῦ κακοῦ; Πολλὴ γάρ ἐστιν ἡ ἀφροσύνη ἔπαινον ἡγεῖσθαι τὸ μὴ ἁμαρτάνειν.*

Πρόσεχε οὖν σεαυτῷ, ἀδελφέ, μήποτέ σε οἱ πονηροὶ δαίμονες πλανήσωσιν, οὓς καταργήσαι Κύριος εὐχαῖς ἁγίων αὐτοῦ. Ἀμήν.

ΨΟ'

Ἐρώτησις

Ἐπειδὴ ἀσθενῶ καὶ ἐπέταξέ μοι ὁ ἰατρὸς λούσασθαι, μὴ ἁμαρτία ἐστίν; ὀφείλω δὲ ἐμαυτὸν δεικνύειν ἰατρῷ;

Ἀπόκρισις

Οὐκ ἀπηγόρευται τὸ λουτρὸν παντελῶς τῶν κοσμικῶν, ὅταν ἀπαιτῇ ἡ χρεία. Ἐὰν οὖν τις ἀσθένειαν ἔχῃ καὶ χρήζῃ αὐτοῦ, οὐκ ἔστιν ἁμαρτία· ἐὰν δέ τις ὑγιαίνῃ, γίνεται αὐτῷ εἰς θεραπείαν καὶ ἄνεσιν τοῦ σώματος καὶ φέρει αὐτὸ εἰς στρῆνος. Τὰ ὀφειλόμενα οὖν φύλαξον, τουτέστι τὴν καρδίαν καὶ τὴν γλῶσσαν τοῦ μὴ κρίνειν καὶ ἐξουθενεῖν τινα· ἐπεὶ τὸ λούσασθαι οὐ κατακρίνει τὸν κοσμικὸν ἄνθρωπον.

Περὶ δὲ τοῦ ἐπιδεικνύειν ἰατρῷ, τοῦ μὲν τελειοτέρου ἐστί τὸ ἀφεῖναι τὸ πᾶν τῷ Θεῷ, κᾂν ἔχῃ κόπον τὸ πρᾶγμα, τοῦ δὲ ἀσθενεστέρου τὸ ἐπιδεῖξαι τῷ ἰατρῷ· καὶ γὰρ οὐδὲ τοῦτο ἁμαρτία, ἀλλὰ καὶ ταπείνωσις, ὅτι ὡς ἀσθενέστερος ἐδεήθη τοῦ ἐπιδεῖξαι ἑαυτὸν ἰατρῷ· καὶ οὕτω δὲ χρὴ ἔχειν, ὅτι ἄνευ τοῦ Θεοῦ, οὐδὲν οὔτε ἰατρὸς δύναται, ἀλλ' ὅτε θέλει ὁ Θεός, παρέχει τὴν ὑγείαν τῷ κάμνοντι.

---

56. Α' Κορ. 4,7.

ὅμως τὸ ἔλαβες, γιατί καυχιέσαι σὰν νὰ μὴ τὸ ἔλαβες;»[56]. Ὅταν λοιπὸν οὔτε μὲ τὴν ἐπιτέλεση τοῦ καλοῦ μποροῦμε νὰ ὑψηλοφρονοῦμε, πόσο μᾶλλον μὲ τὴν ἀποφυγὴ τοῦ κακοῦ; Διότι εἶναι μεγάλη ἡ ἀφροσύνη νὰ θεωροῦμε ἔπαινο τὸ ὅτι δὲν ἁμαρτάνομε.

Πρόσεχε λοιπὸν τὸν ἑαυτό σου, ἀδελφέ, μήπως σὲ πλανήσουν κάποτε οἱ πονηροὶ δαίμονες, τοὺς ὁποίους εἴθε νὰ καταργήσει ὁ Κύριος μὲ τὶς προσευχὲς τῶν ἁγίων του. Γένοιτο.

770

Ἐρώτηση

Ἐπειδὴ ἀσθενῶ καὶ ὁ γιατρὸς μὲ διέταξε νὰ λουσθῶ, μήπως εἶναι ἁμαρτία; Πρέπει ἐπίσης νὰ δείχνω τὸν ἑαυτό μου στὸν γιατρό;

Ἀπόκριση

Τὸ λουτρὸ δὲν ἀπαγορεύθηκε ἐντελῶς στοὺς κοσμικούς, ὅταν τὸ ἀπαιτεῖ ἡ ἀνάγκη. Ἂν λοιπὸν κάποιος ἔχει ἀσθένεια καὶ τὸ χρειάζεται, δὲν εἶναι ἁμαρτία, ἂν ὅμως κανεὶς εἶναι ὑγιής, γίνεται σ' αὐτὸν γιὰ ἐξυπηρέτηση καὶ ἄνεση τοῦ σώματος καὶ τὸν ὁδηγεῖ σὲ ἀλαζονεία. Φύλαξε λοιπὸν τὰ ὀφειλόμενα, δηλαδὴ τὴν καρδιὰ καὶ τὴ γλώσσα, ὥστε νὰ μὴ κρίνεις καὶ νὰ ἐξουδενώνεις κάποιον· τὸ λούσιμο δὲν κατακρίνει τὸν κοσμικὸ ἄνθρωπο.

Σχετικὰ μὲ τὸ νὰ δείχνεις τὸν ἑαυτό σου στὸν γιατρό, γνώρισμα τοῦ τελειοτέρου εἶναι τὸ νὰ ἐμπιστεύεται τὸ κάθε τι στὸν Θεό, κι ἂν ἀκόμη ἔχει κόπο τὸ πρᾶγμα, ἐνῶ τοῦ ἀσθενεστέρου τὸ νὰ δείξει τὸν ἑαυτό του στὸν γιατρό· οὔτε αὐτὸ εἶναι ἁμαρτία, ἀλλ' εἶναι καὶ ταπείνωση, διότι σὰν ἀσθενέστερος χρειάσθηκε νὰ δείξει τὸν ἑαυτό του στὸν γιατρό· πρέπει ὅμως νὰ θεωροῦμε ἔτσι τὸ πρᾶγμα, ὅτι χωρὶς τὸν Θεὸ τίποτε δὲν μπορεῖ νὰ κάμει οὔτε ὁ γιατρός, ἀλλ' ὅταν θέλει ὁ Θεὸς παρέχει τὴν ὑγεία στὸν ἀσθενή.

ΨΟΑ'

Ἐρώτησις

Τινὲς ἀπὸ διαβόλου διάκεινται περὶ ἐμοῦ, ὅτι εὐλαβής εἰμι, ἐπειδὴ οὐ προσέρχομαι ταχέως εἰς τὴν ἀγοράν, μηδὲ βάλλω ἐμαυτὸν εἰς πράγματα· καὶ ὅταν διὰ χρόνου ἀπαιτῇ με ἡ χρεία τοῦ σώματος λούσασθαι, ἀεὶ αἰσχύνομαι, ὡς μέλλων σκανδαλίζειν τοὺς διακειμένους περὶ ἐμοῦ, ὅτι κατ' εὐλάβειαν τὸ λουτρὸν παραιτοῦμαι· ἆρα τί ἐστι τοῦτο, πάτερ;

Ἀπόκρισις

Τοῦτο κενοδοξία ἐστί· σὺ γὰρ κοσμικὸς εἶ καί, ὡς εἴπομεν, οὐκ ἀπαγορεύεται τῷ κοσμικῷ τὸ λουτρόν, τῆς χρείας ἀπαιτούσης. Ἐὰν δὲ ὁ σατανᾶς παρασκευάζῃ τινὰς νομίζειν ὅτι προφήτης εἶ, εἰς τὸ πλανῆσαι τὸν λογισμὸν εἰς ὑψηλοφροσύνην, καὶ παρὰ τοῦτο θέλεις τὸ περὶ σοῦ ψεῦδος βεβαιῶσαι, εἰς ἐκεῖνα δεῖ αἰσχύνεσθαι, τὰ ἔχοντα παράβασιν τῆς τοῦ Θεοῦ ἐντολῆς· οἷον πορνείας, φιλαργυρίας καὶ τὰ τοιαῦτα. Ταῦτα γάρ εἰσι τὰ ἔχοντα σκάνδαλον, καὶ ὑπὲρ τούτων τις παρέχει τὴν ἀπολογίαν, οὐ μόνον περὶ ἑαυτοῦ, ἀλλὰ καὶ περὶ τῆς βλάβης τοῦ πλησίον· τὸ γὰρ κατὰ στρῆνος λούσασθαι καὶ οὐ κατὰ χρείαν, ἔστιν ἁμαρτία καὶ δίκαιον ἔχει σκάνδαλον, τὸ δὲ μὴ οὕτως, ἀλλὰ κατὰ χρείαν, οὐκ ἔχει σκάνδαλον, ἀλλ' ὁ σκανδαλιζόμενος, αὐτὸς βαστάζει τὸ κρῖμα. Καὶ τὸ ἐπὶ τούτῳ αἰσχυνθῆναι, κενοδοξία ἐστὶ τοῦ διαβόλου.

ΨΟΒ'

Ἐρώτησις

Εἶπας, πάτερ, ὅτι ἐκεῖνος παρέχει δίκαιον σκάνδαλον, ὁ

771

Ἐρώτηση

Μερικοὶ ἀπὸ διαβολικὴ ἐπίδραση ἔχουν μεγάλη ἰδέα γιὰ μένα, ὅτι εἶμαι εὐλαβής, ἐπειδὴ δὲν πηγαίνω συχνὰ στὴν ἀγορά, οὔτε ἀνακατεύομαι στὰ κοινὰ πράγματα· ἐπίσης ὅταν μὲ τὸν χρόνο ἡ ἀνάγκη τοῦ σώματος ἀπαιτεῖ νὰ λουσθῶ, πάντοτε ντρέπομαι, διότι πρόκειται νὰ σκανδαλίζω ἐκείνους ποὺ νομίζουν γιὰ μένα ὅτι ἀπὸ εὐλάβεια ἀποφεύγω τὸ λουτρό. Τί εἶναι ἄραγε αὐτό, πάτερ;

Ἀπόκριση

Αὐτὸ εἶναι κενοδοξία· διότι ἐσὺ εἶσαι κοσμικὸς καί, ὅπως εἴπαμε, δὲν ἀπαγορεύεται τὸ λουτρὸ στὸν κοσμικό, ὅταν τὸ ἀπαιτεῖ ἡ ἀνάγκη. Ἂν ὅμως ὁ Σατανᾶς κάμνει μερικοὺς νὰ νομίζουν ὅτι εἶσαι προφήτης, γιὰ νὰ πλανήσει τὸν λογισμὸ καὶ νὰ τὸν ὁδηγήσει σὲ ὑψηλοφροσύνη, καὶ παρὰ τοῦτο θέλεις νὰ βεβαιώσεις τὸ ψέμα γιὰ σένα, πρέπει νὰ ντρέπεσαι γιὰ ἐκεῖνα ποὺ ἔχουν παράβαση τῆς ἐντολῆς τοῦ Θεοῦ· δηλαδὴ τὴν πορνεία, τὴ φιλαργυρία καὶ τὰ παρόμοια. Διότι αὐτὰ εἶναι ἐκεῖνα ποὺ σκανδαλίζουν καὶ γι᾿ αὐτὰ ἀπολογεῖται κανείς, ὄχι μόνο γιὰ τὸν ἑαυτό σου, ἀλλὰ καὶ γιὰ τὴ βλάβη τοῦ πλησίον. Τὸ νὰ λούζεται λοιπὸν κανεὶς ἀπὸ ὑπεροψία καὶ ὄχι ἀπὸ ἀνάγκη, εἶναι ἁμαρτία καὶ ἐνέχει δικαίως σκάνδαλο, τὸ νὰ λούζεται ὅμως ὄχι μὲ τέτοιο σκοπό, ἀλλὰ ἀπὸ ἀνάγκη, δὲν ἔχει σκάνδαλο, καὶ αὐτὸς ποὺ σκανδαλίζεται ὁ ἴδιος βαστάζει τὸ κρῖμα. Καὶ τὸ νὰ ντραπεῖ κανεὶς γι᾿ αὐτό, εἶναι κενοδοξία τοῦ διαβόλου.

772

Ἐρώτηση

Πάτερ, εἶπες, ὅτι δίκαιο σκάνδαλο προκαλεῖ ἐκεῖνος ποὺ

παραβαίνων τὴν ἐντολὴν τοῦ Θεοῦ, ὃς καὶ ὑπόκειται τῷ κρίματι τῆς βλάβης τοῦ πλησίον. Πῶς οὖν ὁ Ἀπόστολος εἶπε τῷ ἐσθίοντι τὸ εἰδωλόθυτον ὅτι «τὸ μὲν καλῶς ἐσθίεις, οὐδὲν γὰρ εἰδωλόθυτον ἐν κόσμῳ, ἀλλ' ὁ ἀδελφὸς οὐκ οἰκοδομεῖται. Μὴ οὖν τὸ βρώματί σου ἐκεῖνον ἀπόλλυε, ὑπὲρ οὗ Χριστὸς ἀπέθανε»; Ἰδοὺ αἴτιον αὐτὸν ποιεῖ τῆς βλάβης τοῦ ἀδελφοῦ ἐν πράγματι μὴ ἀπηγορευμένῳ ὑπὸ τῆς τοῦ Θεοῦ ἐντολῆς καὶ συγγνώμην μᾶλλον ἐκείνῳ τῆς ἀσθενείας παρέχει.

Ἀπόκρισις

Πρῶτον μέν, ἀδελφέ, ὁ Ἀπόστολος ἀπηγόρευσε καὶ οὐδένα δεῖ πλέον περιεργάζεσθαι, ἀλλ' ὡς νόμῳ Θεοῦ τῇ αὐτοῦ προστάξει δουλεύειν, πλὴν ὡς νομίζω λέγω. Ἐνταῦθα καὶ ὁ τόπος καὶ ἡ πρᾶξις διαβεβλημένα ἦν· τὸ γὰρ εἰδωλεῖον ἀφωρισμένον τῇ λατρείᾳ τῶν δαιμόνων, καὶ τὸ εἰδωλόθυτον θυσία τοῖς δαίμοσι προσεφέρετο· καὶ τῷ μὲν ἀσθενεῖ ἀληθῶς ἐδόκει εἶναι εἰδωλόθυτον. Βλέπων γὰρ τὸν πιστὸν ἐσθίοντα, ᾠκοδομεῖτο καὶ αὐτὸς εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν, μολυνόμενος τῇ συνειδήσει, ὁ δὲ πιστὸς οὐκ εἶχεν αὐτὸ εἰδωλόθυτον, ἀλλὰ βρῶμα ἅγιον ὑπὸ Θεοῦ δημιουργηθέν, καὶ καλῶς αὐτὸ ἤσθιε καὶ καθαρᾷ τῇ συνειδήσει. Ἀλλ' ἐπειδὴ σαθρότερον περὶ τὴν τοιαύτην πίστιν ἦν ὁ ἀδελφὸς διακείμενος καὶ ἐνόμιζεν αὐτὸ εἶναι εἰδωλόθυτον, διὰ τοῦτο ὁ Ἀπόστολος ἐπιτιμᾷ τῷ πιστῷ ἐσθίοντι βρῶμα ἀνωφελές, φέρον βλάβην τῷ πλησίον, ὅπερ τῆς κατὰ Χριστὸν ἀγάπης ἀλλότριον ἦν· τὸ γὰρ φαγεῖν οὐκ εἶχέ τινα συμπλήρωσιν ἐντολῆς Θεοῦ, καὶ τὸ μὴ φαγεῖν οὐκ εἶχε παράβασιν, καὶ ἀπαιτεῖ αὐτὸν προτιμῆσαι τοῦ βρώματος τὴν τοῦ ἀδελφοῦ οἰκοδομήν.

Ἐνταῦθα δὲ ἐπὶ τοῦ λουτροῦ, αὐτὸ καθ' αὐτὸ τὸ λούσασθαι οὐκ ἔστιν ἄτοπον οὐδ' ἀπηγορευμένον, καὶ ὁ σκανδαλιζόμενος

57. Βλ. Α' Κορ. 8,10. 10,9.
58. Ρωμ. 14,15.

παραβαίνει τὴν ἐντολὴ τοῦ Θεοῦ, ὁ ὁποῖος καὶ ὑπόκειται στὸ κρῖμα τῆς βλάβης τοῦ πλησίον. Πῶς τότε ὁ Ἀπόστολος εἶπε σ' ἐκεῖνον ποὺ ἔτρωγε τὸ εἰδωλόθυτο, «καλῶς βέβαια τὸ τρώγεις αὐτό, διότι δὲν ὑπάρχει κανένα εἰδωλόθυτο στὸν κόσμο, ὁ ἀδελφός σου ὅμως δὲν οἰκοδομεῖται»[57]. «Μὴ λοιπὸν ὁδηγεῖς στὴν ἀπώλεια μὲ τὴν τροφή σου ἐκεῖνον ὑπὲρ τοῦ ὁποίου πέθανε ὁ Χριστός»[58]; Νά, καθιστᾶ αὐτὸν αἴτιο τῆς βλάβης τοῦ ἀδελφοῦ μὲ πρᾶγμα ποὺ δὲν ἀπαγορεύεται ἀπὸ τὴν ἐντολὴ τοῦ Θεοῦ καὶ παρέχει μᾶλλον συγνώμη σ' ἐκεῖνον γιὰ τὴν ἀσθένειά του.

Ἀπόκριση

Κατὰ πρῶτον, ἀδελφέ, ὁ Ἀπόστολος τὸ ἀπαγόρευσε καὶ κανένας δὲν πρέπει νὰ τὸ περιεργάζεται περισσότερο, ἀλλὰ σὰν νόμο τοῦ Θεοῦ νὰ ἐκτελεῖ τὴν ἐντολὴ αὐτοῦ. Πλὴν ὅμως ἐγὼ θὰ πῶ τὴ γνώμη μου. Ἐδῶ καὶ ὁ τόπος καὶ ἡ πράξη ἦταν διαβεβλημένα· διότι ὁ ναὸς τῶν εἰδώλων ἦταν προορισμένος γιὰ τὴ λατρεία τῶν δαιμόνων, καὶ τὸ εἰδωλόθυτο προσφερόταν θυσία στοὺς δαίμονες καὶ στὸν ἀσθενὴ φαινόταν πράγματι ὅτι εἶναι εἰδωλόθυτο. Διότι, βλέποντας τὸν πιστὸ νὰ τρώγει, διδασκόταν καὶ ὁ ἴδιος στὸ νὰ τρώγει τὰ εἰδωλόθυτα μολυνόμενος στὴ συνείδηση, ἐνῶ ὁ πιστὸς δὲν τὸ θεωροῦσε αὐτὸ εἰδωλόθυτο, ἀλλὰ καθαρὴ τροφὴ ποὺ δημιουργήθηκε ἀπὸ τὸν Θεὸ καὶ καλῶς τὸ ἔγρωγε αὐτὸ καὶ μὲ καθαρὴ τὴ συνείδηση. Ἀλλά, ἐπειδὴ ὁ ἀδελφὸς εἶχε ἀσθενέστερη πίστη ὡς πρὸς αὐτὸ τὸ πρᾶγμα καὶ νόμιζε ὅτι αὐτὸ εἶναι εἰδωλόθυτο, γι' αὐτὸ ὁ Ἀπόστολος ἐπιτιμᾶ τὸν πιστὸ ποὺ τρώγει ἀνωφελὴ τροφή, ποὺ προξενεῖ βλάβη στὸν πλησίον, πρᾶγμα ποὺ εἶναι ξένο πρὸς τὴν ἀγάπη τοῦ Χριστοῦ· διότι τὸ νὰ φάγει δὲν ἀποτελοῦσε ἐκπλήρωση κάποιας ἐντολῆς τοῦ Θεοῦ, καὶ τὸ νὰ μὴ φάγει δὲν ἀποτελοῦσε παράβαση· ἔτσι ἀπαιτεῖ ἀπ' αὐτὸν νὰ προτιμήσει ἀπὸ τὴν τροφὴ τὴν οἰκοδομὴ τοῦ ἀδελφοῦ.

Ὡς πρὸς τὸ λουτρὸ τώρα, αὐτὸ καθ' αὐτὸ τὸ λούσιμο δὲν εἶναι ἄτοπο, οὔτε ἀπαγορευμένο, καὶ αὐτὸς ποὺ σκανδαλίζεται

εἰς τοῦτο αὐτὸς βαστάζει τὸ κρῖμα τοῦ σκανδάλου. Τὸ οὖν αἰσχύνεσθαι κοσμικὸν ἄνθρωπον λούσασθαι διὰ ψόγον ἀνθρώπων, καὶ μάλιστα τῆς χρείας ἀπαιτούσης τοῦτο, κενοδοξία ἐστί, βλάβην φέρουσα τῷ ἀνθρώπῳ. Σὺ οὖν ὅτε ἡ χρεία ἀπαιτεῖ λοῦσαι ἐν φόβῳ Θεοῦ καὶ μὴ κατὰ στρῆνος· τοῦτο γὰρ ἀλλότριόν ἐστι τοῦ φόβου τοῦ Θεοῦ καὶ βλαβερὸν τῇ ψυχῇ.

ΨΟΓ'

Ἐρώτησις

Ἐπειδὴ ἐν ἑκάστῃ τροφῇ ἔστι τις φυσικὴ ἡδύτης, μὴ βλάβην ἐργάζεται τῷ μεταλαμβάνοντι;

Ἀπόκρισις

Ὁ Δεσπότης Θεὸς τὴν τοιαύτην ἡδύτητα ἐν ἑκάστῃ τροφῇ ἐδημιούργησε καὶ οὐκ ἔστι βλάβος τῷ μετ' εὐχαριστίας μεταλαμβάνοντι· τὴν δὲ προσπάθειαν ἀεὶ παραφυλάττεσθαι χρή· αὕτη γάρ ἐστιν ἡ βλάβη τῆς ψυχῆς.

ΨΟΔ'

Ἐρώτησις

Τὸ ποιεῖν πρᾶγμα μετὰ καθαρότητος μὴ ἄτοπόν ἐστι; τυχὸν οἰκονομίαν ἢ ἕτερόν τι;

Ἀπόκρισις

Τὸ εἶναι καθαρὸν καὶ εὐπρεπὲς τὸ πρᾶγμα οὐκ ἄτοπον, διὰ τὴν ἐξ αὐτοῦ χρῆσιν, χωρὶς μέν τοι προσπαθείας· καὶ γὰρ ὁ Κύριος χαίρει πάσῃ καθαρότητι. Ὅταν δὲ βλέπῃς σεαυτὸν προσπάσχοντα πράγματι, μιμνήσκου τὰ ἔσχατα

μ' αὐτό, ὁ ἴδιος βαστάζει τὸ κρῖμα τοῦ σκανδάλου. Λοιπὸν τὸ νὰ ντρέπεται κοσμικὸς ἄνθρωπος νὰ λουσθεῖ ἐξαιτίας τῆς κατακρίσεως τῶν ἀνθρώπων, καὶ μάλιστα ὅταν ἡ ἀνάγκη τὸ ἀπαιτεῖ, εἶναι κενοδοξία ποὺ προξενεῖ βλάβη στὸν ἄνθρωπο. Ἐσὺ λοιπόν, ὅταν τὸ ἀπαιτεῖ ἡ ἀνάγκη νὰ λούζεσαι μὲ φόβο Θεοῦ καὶ ὄχι μὲ ὑπερηφάνεια· διότι αὐτὸ εἶναι ξένο πρὸς τὸν φόβο τοῦ Θεοῦ καὶ βλαβερὸ στὴν ψυχή.

773

Ἐρώτηση

Ἐπειδὴ σὲ κάθε φυσικὴ τροφὴ ὑπάρχει κάποια φυσικὴ εὐχαρίστηση, μήπως δημιουργεῖ βλάβη σ' ἐκεῖνον ποὺ τὴν τρώγει;

Ἀπόκριση

Ο Δεσπότης Θεὸς δημιούργησε αὐτὴν τὴν εὐχαρίστηση σὲ κάθε τροφή, καὶ δὲν ὑπάρχει βλάβη σ' ἐκεῖνον ποὺ τὴν τρώγει μὲ εὐχαρίστηση· πρέπει ὅμως νὰ προφυλάγεται πάντοτε ἀπὸ τὴν παθιασμένη προσκόλληση σ' αὐτή· διότι αὐτὴ εἶναι ἡ βλάβη τῆς ψυχῆς.

774

Ἐρώτηση

Μήπως εἶναι ἄτοπο τὸ νὰ κάνει κανεὶς κάτι μὲ καθαρότητα; τυχὸν οἰκονομία ἢ κάτι ἄλλο;

Ἀπόκριση

Οταν εἶναι καθαρὸ καὶ εὐπρεπὲς τὸ πρᾶγμα ἐξαιτίας τῆς χρήσεώς του, δὲν εἶναι ἄτοπο, ἐφόσον γίνεται γιὰ τὴ χρήση ποὺ ὑπάρχει καὶ χωρὶς βέβαια παθιασμένη ἀφοσίωση σ' αὐτό· διότι καὶ ὁ Κύριος χαίρεται μὲ κάθε καθαρότη-

αὐτοῦ, πῶς διαφθείρεται, καὶ λαμβάνεις ἀνάπαυσιν· οὐδὲν γὰρ ἐπὶ τοῦ αὐτοῦ μένει σχήματος, ἀλλὰ πάντα φθαρτὰ καὶ παρερχόμενα.

ΨΟΕ'

Ἐρώτησις

Ἄλλος φιλόχριστος ἠρώτησε τὸν αὐτὸν γέροντα, λέγων.

Ἐὰν Ἰουδαῖος ἢ Ἐθνικὸς καλέσῃ με ἐν τῇ ἑορτῇ αὐτοῦ εἰς ἄριστον, ἢ καὶ ξένιά μοί πέμψῃ, καταδέξωμαι ἢ οὔ;

Ἀπόκρισις

Μὴ παραδέξῃ, παρὰ τοὺς κανόνας γάρ ἐστι τῆς ἁγίας Ἐκκλησίας, καὶ οὐ δεῖ παραλαβεῖν.

ΨΟS'

Ἐρώτησις

Τί οὖν; ὅτε μέγας ἐστὶν ὁ ἄνθρωπος καὶ φίλος μου καὶ λυπεῖτε ἐὰν μὴ δέξωμαι; καὶ τί εἴπω αὐτῷ;

Ἀπόκρισις

Εἰπὲ αὐτῷ· Ὁἶδεν ἡ ἀγάπη σου, ὅτι ἅπαντα τὰ παρηγγελμένα ὑπ' αὐτοῦ τοῦ Θεοῦ δεῖ τοὺς φοβουμένους αὐτὸν φυλάττειν, καὶ ἐξ ὧν ποιεῖτέ ἐστι πληροφορηθῆναι· καὶ γὰρ καὶ σὺ ἕνεκεν τῆς πρὸς ἐμέ σου ἀγάπης οὐδέποτε ἀνάσχῃ παραβῆναι τὴν ἐντολὴν τῆς σῆς παραδόσεως, καὶ οὐ παρὰ τοῦτο λογίσομαι, ὅτι παρόψει τὴν πρὸς ἐμὲ ἀγάπην. Καὶ ἡμεῖς οὖν παράδοσιν ἔχομεν ἐκ τοῦ Θεοῦ διὰ τῶν ἁγίων πατέ-

---

59. Ἐμποδίζουν αὐτὰ ὁ ο' Ἀποστολικὸς Κανόνας, καὶ ὁ λζ' καὶ λη' τῆς συνόδου τῆς Λαοδικείας.

τα. Ὅταν ὅμως βλέπεις τὸν ἑαυτό σου νὰ ἀφοσιώνεται σὲ κάτι, θυμήσου τὸ τέλος του, πῶς φθείρεται, καὶ θὰ ἀναπαυθεῖς. Διότι τίποτα δὲν μένει στὸ ἴδιο σχῆμα, ἀλλ' ὅλα εἶναι φθαρτὰ καὶ παρερχόμενα.

775

Ἐρώτηση

Ἄλλος φιλόχριστος ἐρώτησε τὸν ἴδιο γέροντα, λέγοντας.

Ἐὰν Ἰουδαῖος ἢ Ἐθνικὸς μὲ καλέσει στὴ γιορτή του γιὰ γεῦμα ἢ καὶ μοῦ στείλει δῶρα, νὰ τὰ δεχθῶ ἢ ὄχι;

Ἀπόκριση

Νὰ μὴ τὰ δεχθεῖς, διότι εἶναι ἀντίθετα μὲ τοὺς κανόνες τῆς ἁγίας Ἐκκλησίας, καὶ δὲν πρέπει νὰ τὰ πάρεις[59].

776

Ἐρώτηση

Τί πρέπει νὰ γίνει ὅμως, ὅταν ὁ ἄνθρωπος εἶναι σπουδαῖος καὶ φίλος μου καὶ λυπᾶται ἂν δὲν τὰ δεχθῶ; Τί νὰ τοῦ πῶ;

Ἀπόκριση

Πές του· "Η ἀγάπη σου γνωρίζει, ὅτι ὅλα ὅσα ἔχουν παραγγελθεῖ ἀπὸ τὸν ἴδιο τὸν Θεό, πρέπει νὰ τὰ φυλάγουν ἐκεῖνοι ποὺ τὸν φοβοῦνται καὶ εἶναι δυνατὸ νὰ τὸ βεβαιωθεῖς αὐτὸ ἀπὸ ὅσα κάνετε καὶ ἐσεῖς· διότι καὶ σὺ ποτὲ δὲν θὰ δεχθεῖς νὰ παραβεῖς τὴν ἐντολὴ τῆς δικῆς σου παραδόσεως ἐξαιτίας τῆς ἀγάπης σου πρὸς ἐμένα, καὶ δὲν θὰ σκεφθῶ ἀπὸ αὐτὸ ὅτι παραβλέπεις τὴν ἀγάπη σου πρὸς ἐμένα. Καὶ ἐμεῖς λοιπὸν ἔχομε παράδοση ἀπὸ τὸν Θεό, μέσω τῶν ἁγίων πατέρων

ρων ἡμῶν καὶ διδασκάλων, μηδαμῶς μεταλαμβάνειν ἐν τῇ ἑορτῇ τῶν ἀλλοεθνῶν τινός ποτε. Οὐ παρὰ τοῦτο οὖν ἐλύπησα τὴν πρὸς σὲ ἀγάπην'.

ΨΟΖ'

Ἐρώτησις

Ἐπειδή εἰσί τινες τῶν ἀλλοεθνῶν ἀγοραῖοι καὶ πιπράσκουσιν ἐν ταῖς ἑορταῖς αὐτῶν τὰ ὤνια, μὴ ἄτοπόν ἐστι τὸ ἀγοράζειν ἐξ αὐτῶν τὴν χρείαν;

Ἀπόκρισις

Οὐκ ἔστιν ἄτοπον· πάντα γὰρ τὰ ἐν μακέλλῳ πιπρασκόμενα, κατὰ τὸν Ἀπόστολον, ἀδιστάκτως δεῖ ἀγοράζειν ἐξ αὐτῶν τὴν χρείαν.

ΨΟΗ'

Ἐρώτησις

Ἀνὴρ φιλόχριστος παιδευτὴς τῆς τοῦ κόσμου σοφίας εἶχεν υἱὸν ἐπικινδύνως ἔχοντα, καὶ τὸν αὐτὸν γέροντα ἀββᾶν Ἰωάννην ἠρώτησε, ἢ ζῇ ἢ ἀποθνήσκει· καὶ ἀπεκρίθη αὐτῷ, ὅτι ζῇ, καὶ ὡς εἶπεν ὁ γέρων, ἔζησε. Καὶ μετὰ χρόνον υἱὸς αὐτοῦ ἕτερος ἐκινδύνευε· καὶ πάλιν ἀπελθὼν ἠρώτησε περὶ αὐτοῦ· καὶ πάλιν ἀπεκρίνατο αὐτῷ, ὅτι.

Ἀπόκρισις

"Ἡμεῖς μὲν εὐχόμεθα, τοῦ δὲ Θεοῦ ἐστι τὸ ποιῆσαι μετ' αὐτοῦ ἔλεος· κόψον αὐτῷ τὸ θέλημά σου, καὶ εὐχαρίστησον αὐτῷ ἐν πᾶσι.

Ταῦτα ἀκούσας καὶ μὴ νοήσας τὴν δύναμιν τοῦ λόγου καὶ τῆς ἀποκρίσεως, ἐνόμισεν ὅτι ζῆσαι ἔχει ὁ υἱὸς αὐτοῦ. Καὶ ὡς

μας καὶ διδασκάλων, νὰ μὴ παίρνομε ἀπολύτως τίποτε κατὰ τὴ γιορτὴ κάποιου ἀπὸ τοὺς ἀλλοεθνεῖς. Μὲ αὐτὸ λοιπὸν δὲν λύπησα τὴν ἀγάπη μου πρὸς ἐσένα'.

777

Ἐρώτηση

Ἐπειδὴ ὑπάρχουν μερικοὶ ἀλλοεθνεῖς ἔμποροι ποὺ πωλοῦν στὶς γιορτὲς τὰ ψώνια, μήπως εἶναι ἄτοπο νὰ ἀγοράζω ἀπὸ αὐτοὺς τὰ ἀναγκαῖα;

Ἀπόκριση

Δὲν εἶναι ἄτοπο· διότι ἀπὸ ὅλα ὅσα πωλοῦνται στὸ κρεοπωλεῖο, σύμφωνα μὲ τὸν Ἀπόστολο πρέπει νὰ ἀγοράζομε ἀδίστακτα τὰ ἀναγκαῖα.

778

Ἐρώτηση

Κάποιος ἄνδρας φιλόχριστος, διδάσκαλος τῆς κατὰ κόσμον σοφίας, εἶχε γιὸ ποὺ ἦταν σὲ κίνδυνο, καὶ ἐρώτησε τὸν ἴδιο γέροντα ἀββᾶ Ἰωάννη, ἂν θὰ ζήσει ἢ θὰ πεθάνει· αὐτὸς τοῦ ἀπάντησε, ὅτι θὰ ζήσει, καί, ὅπως εἶπε κι ὁ γέροντας, ἔζησε. Μετὰ ἀπὸ καιρὸ κινδύνευε ἄλλος γιός του. Πάλι, ἀφοῦ πῆγε, ἐρώτησε γι' αὐτό, καὶ πάλι τοῦ ἀπάντησε.

Απόκριση

Εμεῖς βέβαια προσευχόμαστε, ὅμως στὸν Θεὸ ἀνήκει τὸ νὰ δείξει ἔλεος σ' αὐτόν· κόψε σ' αὐτὸν τὸν θέλημά σου καὶ εὐχαρίστησέ τον σὲ κάθε περίπτωση.

Ὅταν τὰ ἄκουσε αὐτά, ἐπειδὴ δὲν κατάλαβε τὴ δύναμη τοῦ λόγου καὶ τῆς ἀπαντήσεως, νόμισε ὅτι θὰ ζήσει ὁ γιός του. Ὅταν

ἀπῆλθε πρὸς αὐτόν, ἀνανεύσας ἐκεῖνος, ἐθεώρει παρόντας τοὺς ἁγίους γέροντας· καὶ λέγει τῷ πατρὶ αὐτοῦ.

Βλέπεις τοὺς ἁγίους ἐγγὺς ἡμῶν ὄντας;

Ἐκείνου δὲ εἰπόντος ὅτι,

'Οὐδένα βλέπω'.

Λέγει αὐτῷ.

Ἰδοὺ πῶς στήκουσι καὶ λέγουσί μοι· 'Τί ἔρχεται καὶ ἀπέρχεται ὁ πατήρ σου ὀχλῶν ἡμᾶς ἵνα ζήσῃς ἐν σαρκί; ἰδοὺ οὖν ηὐξάμεθα τῷ Θεῷ περὶ σοῦ, καὶ εἶπεν ὅτι ὁ καιρὸς αὐτοῦ ἔφθασεν ἐξελθεῖν ἐκ τοῦ σώματος'.

Ταῦτα εἰπὼν τῷ πατρί, πάλιν εἶπεν αὐτῷ.

Ἰδού, πάτερ, ἀπέσπασάν με ἀπό τινος Σαρακηνοῦ ἕλκοντός με, καὶ ἀπήγαγόν με εἰς τόπον φωτεινὸν σφόδρα καὶ ἀνεκλάλητον, κᾀκεῖ εἶδον παιδία ἄκακα καὶ λέγουσί μοι· 'Διὰ τὴν αἴτησιν τοῦ πατρός σου ἐδεήθημεν τοῦ Θεοῦ, ἵνα ἐν τούτῳ τῷ τόπῳ δοθῇς· καὶ ἰδοὺ ἐπιτελοῦσι σύναξιν καὶ κοινωνοῦσι'.

Καὶ μετὰ τὸ εἰπεῖν τοὺς λόγους τούτους, ἤρξατο λέγειν τὴν εὐχὴν τὴν μεγάλην, τό, «Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς», καί, «Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι», καὶ οὕτω παρέδωκε τὸ πνεῦμα. Καὶ ὁ πατὴρ αὐτοῦ παρεκλήθη σφόδρα, πληροφορηθεὶς περὶ τῆς σωτηρίας τῆς ψυχῆς αὐτοῦ, καὶ ἐλθὼν ἀπήγγειλε ταῦτα τῷ γέροντι, καὶ παρεκάλει αὐτὸν μαθεῖν, διότι οὐκ εἶπε φανερῶς αὐτῷ περὶ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, καθὼς καὶ περὶ τῆς ζωῆς τοῦ ἑτέρου· καὶ ἀποκριθεὶς αὐτῷ εἶπεν.

Εἶπόν σοι ὅτι «σὺ κόψον τῷ Θεῷ τὸ θέλημά σου», δεικνύων σοι ἐν τούτῳ τὸν ἐν σαρκὶ αὐτοῦ θάνατον. Περὶ δὲ τοῦ μὴ σαφῶς εἰπεῖν, κατανόησον τὸ πρᾶγμα ἐκ σεαυτοῦ. Ἰδοὺ σὺ παιδευτὴς εἶ τῆς τοῦ κόσμου σοφίας καὶ ἔχεις μαθητάς. Ἐὰν οὖν ὑπαγορεύσῃς τινὶ ἐξ αὐτῶν γράψαι ἐπιστολήν, εἴ τι θέλεις γράφει ὁ μαθητής σου, ἢ ταῦτα ἀφίησι καὶ γράφει εἴ τι θέλει; Πάντως ἃ λέγεις γράφει καὶ οὐχ

60. Προσωποποίηση τοῦ Διαβόλου.

πῆγε σ' αὐτόν, ἐκεῖνος σήκωσε τὸ κεφάλι του, καὶ εἶδε παρόντες τοὺς ἁγίους γέροντες. Λέγει τότε στὸν πατέρα του.

Βλέπεις τοὺς ἁγίους ποὺ εἶναι κοντά μας;.

Ὅταν ἐκεῖνος εἶπε,

Δὲν βλέπω κανένα,

Τοῦ λέγει.

Νὰ πῶς στέκονται καὶ μοῦ λένε· 'Τί ἔρχεται καὶ ξανάρχεται ὁ πατέρας σου ἐνοχλώντας μας γιὰ νὰ ζήσεις ὡς πρὸς τὴ σάρκα; Νὰ λοιπὸν προσευχηθήκαμε στὸν Θεὸ γιὰ σένα, καὶ εἶπε ὅτι ὁ καιρός του ἔφθασε νὰ ἐξέλθει ἀπὸ τὸ σῶμα του'.

Ἀφοῦ εἶπε αὐτὰ στὸν πατέρα, πάλι τοῦ εἶπε.

Νὰ πατέρα, μὲ ἀπέσπασαν ἀπὸ κάποιον Σαρακηνὸ[60] ποὺ μὲ σέρνει, καὶ μὲ ὁδήγησαν σὲ τόπο πολὺ φωτεινὸ καὶ ἀνεκλάλητο, καὶ ἐκεῖ εἶδα ἄκακα παιδιὰ νὰ μοῦ λέγουν· 'Γιὰ τὴν αἴτηση τοῦ πατέρα σου, παρακαλέσαμε τὸν Θεό, γιὰ νὰ δοθεῖς σ' αὐτὸν τὸν τόπο'· καὶ νά, κάνουν σύναξη καὶ κοινωνοῦν.

Ἀφοῦ εἶπε αὐτοὺς τοὺς λόγους, ἄρχισε νὰ λέει τὴ μεγάλη προσευχή, τὸ «Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς», καί, «Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι», καὶ ἔτσι παρέδωσε τὸ πνεῦμα. Ὁ πατέρας του παρηγορήθηκε πολύ, διότι πληροφορήθηκε γιὰ τὴ σωτηρία τῆς ψυχῆς του· πῆγε τότε καὶ ἀνάγγειλε αὐτὰ στὸν γέροντα, καὶ τὸν παρακαλοῦσε νὰ μάθει, γιατί δὲν τοῦ εἶπε φανερὰ γιὰ τὸν θάνατο τοῦ γιοῦ του, καθὼς καὶ γιὰ τὴ ζωὴ τοῦ ἄλλου. Αὐτὸς ἀποκρινόμενος τοῦ εἶπε.

Σοῦ εἶπα 'νὰ κόψεις τὸ θέλημά σου στὸν Θεό', δείχνοντάς σου μ' αὐτὸ τὸν σαρκικό του θάνατο. Γιὰ τὸ ὅτι δὲν σοῦ τὸ εἶπα καθαρά, σκέψου τὸ πρᾶγμα ἀπὸ μόνος σου. Ἐσὺ εἶσαι διδάσκαλος τῆς σοφίας τοῦ κόσμου καὶ ἔχεις μαθητές. Ἂν λοιπὸν ὑπαγορεύσεις σὲ κάποιον ἀπὸ αὐτοὺς νὰ γράψει ἐπιστολή, γράφει ὁ μαθητής σου ὅ,τι θέλεις, ἢ ἀφήνει αὐτὰ καὶ γράφει ὅ,τι θέλει; Ὁπωσδήποτε γράφει

ὅπερ αὐτὸς θέλει. Οὕτω καὶ οἱ ἅγιοι, οὐκ αὐτοί εἰσιν οἱ λαλοῦντες ἀφ' ἑαυτῶν, ἀλλ' ὁ Θεὸς ἐν αὐτοῖς λαλεῖ ὡς θέλει, ποτὲ μὲν συνεσκιασμένως, ποτὲ δὲ φανερῶς. Καὶ ἵνα πληροφορηθῇς ὅτι οὕτως ἐστίν, αὐτὸς ὁ Κύριος εἶπε τοῖς μαθηταῖς αὐτοῦ· «οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν». Ὥστε οὖν ὡς θέλει λαλεῖ, καὶ οὐχ ὡς αὐτοὶ θέλουσι.

Ταῦτα ἀκούσας καὶ πληροφορηθείς, εἶπε.

Πῶς εὑρίσκομεν εἰς τοὺς ἀρχαίους ἁγίους πατέρας, ὅτι πάντα τὰ αἰτήματα αὐτῶν ἐλάμβανον παρὰ τοῦ Θεοῦ;

Καὶ ἀπεκρίθη αὐτῷ ὁ Γέρων.

Οὐ πάντα τὰ αἰτήματα αὐτῶν ἐλάμβανον· ὅσα δὲ ἔλαβον, ταῦτα ἔγραφον, καὶ πληροφορείτω σε ὁ λόγος τοῦ Εὐαγγελίου λέγων· «προσῆλθέ τις αὐτῷ λέγων· ὁ υἱός μου κακῶς δαιμονίζεται, καὶ προσήγαγον τοῦτον πολλάκις τοῖς μαθηταῖς σου καὶ οὐκ ἠδυνήθησαν αὐτὸν θεραπεῦσαι». Εἰ δὲ οἱ Ἀπόστολοι οὐκ ἔλαβον τότε τὴν αἴτησιν ταύτην, πῶς δυνάμεθα εἰπεῖν, ὅτι οἱ ἅγιοι πάντα λαμβάνουσι; Καὶ γὰρ καὶ αὐτοὶ οἱ Ἀπόστολοι ἠρώτησαν αὐτὸν θαυμάζοντες καὶ λέγοντες· «Δέσποτα, πῶς ἡμεῖς αὐτὸν οὐκ ἠδυνήθημεν θεραπεῦσαι; Καὶ εἶπεν αὐτοῖς· 'τοῦτο τὸ γένος οὐκ ἐξέρχεται, εἰμὴ ἐν προσευχῇ καὶ νηστείᾳ'».

Εἶτα πάλιν ἠρώτησε.

Καὶ διατί οὐ λαμβάνουσι πάντα τὰ αἰτήματα αὐτῶν οἱ ἅγιοι;

Καὶ λέγει ὁ γέρων.

Πάντα πρὸς τὸ συμφέρον τοῖς ἀνθρώποις ποιεῖ ὁ Θεός· περισσότερον γὰρ αὐτὸς τὸ συμφέρον οἶδε καὶ τί ὠφελεῖ αὐτούς. Διά τοι τοῦτο, ἐπειδὴ οἱ ἄνθρωποι οὐκ ἴσασι τὸ συμφέρον αὐτῶν, παρήγγειλεν αὐτοῖς ἵνα μὴ ἐν τῇ προσευχῇ βαττολογήσωσιν, ἄλλα ἀντὶ ἄλλων αἰτοῦντες, εἰπὼν «οἶδε γὰρ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος ὧν χρείαν ἔχετε

---

61. Ματθ. 10,20. 62. Ματθ. 15,22. 63. Μάρκ. 9,29.

αὐτὰ ποὺ λὲς ἐσὺ καὶ ὄχι ἐκεῖνα ποὺ ὁ ἴδιος θέλει. Ἔτσι καὶ οἱ ἅγιοι, δὲν εἶναι οἱ ἴδιοι ποὺ μιλοῦν ἀπὸ μόνοι τους, ἀλλ' ὁ Θεὸς λέγει σ' αὐτοὺς ἐκεῖνο ποὺ θέλει, ἄλλοτε συνεσκιασμένα, καὶ ἄλλοτε φανερά. Καὶ γιὰ νὰ βεβαιωθεῖς ὅτι γίνεται αὐτό, ὁ ἴδιος ὁ Κύριος εἶπε στοὺς μαθητές του· «διότι δὲν εἶστε ἐσεῖς ποὺ μιλᾶτε, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρός σας ποὺ μιλᾶ σὲ σᾶς»[61]. Ὥστε λοιπὸν μιλᾶ ὅπως θέλει καὶ ὄχι, ὅπως αὐτοὶ θέλουν.

Ὅταν τὰ ἄκουσε αὐτὰ καὶ βεβαιώθηκε, εἶπε.

Πῶς βρίσκομε στοὺς ἀρχαίους ἁγίους πατέρες, ὅτι ἔλαβαν ἀπὸ τὸν Θεὸ ὅλα τὰ αἰτήματά τους;

Καὶ ὁ γέροντας τοῦ ἀποκρίθηκε.

Δὲν ἐλάμβαναν ὅλα τὰ αἰτήματά τους, ἀλλὰ ὅσα ἐλάμβαναν, αὐτὰ ἔγραφαν· καὶ ἂς σοῦ τὸ βεβαιώσει ὁ λόγος τοῦ Εὐαγγελίου ποὺ λέγει· «προσῆλθε κάποιος σ' αὐτόν, λέγοντας 'ὁ γιός μου δαιμονίζεται κακῶς, καὶ τὸν ἔφερα πολλὲς φορὲς στοὺς μαθητές σου, ἀλλὰ δὲν μπόρεσαν νὰ τὸν θεραπεύσουν'»[62]. Ἂν οἱ Ἀπόστολοι δὲν ἔλαβαν τότε αὐτὸ ποὺ ζήτησαν, πῶς μποροῦμε νὰ ποῦμε, ὅτι οἱ ἅγιοι τὰ λαμβάνουν ὅλα ὅσα ζητοῦν; Διότι καὶ οἱ ἴδιοι οἱ Ἀπόστολοι ἐρώτησαν αὐτὸν ἀπορώντας καὶ λέγοντας· «Δέσποτα, πῶς ἐμεῖς δὲν μπορέσαμε νὰ τὸν θεραπεύσομε; Καὶ τοὺς εἶπε· Αὐτὸ τὸ γένος δὲν ἐξέρχεται ἀλλιῶς, παρὰ μὲ προσευχὴ καὶ νηστεία»[63].

Ἔπειτα πάλι ἐρώτησε.

Καὶ γιατί οἱ ἅγιοι δὲν λαμβάνουν ὅλα τὰ αἰτήματά τους;

Καὶ ὁ γέροντας τοῦ λέγει.

Ὁ Θεὸς τὰ κάνει ὅλα γιὰ τὸ συμφέρον τῶν ἀνθρώπων· διότι αὐτὸς γνωρίζει περισσότερο τὸ συμφέρον, καὶ τί τοὺς ὠφελεῖ. Γι' αὐτὸ λοιπόν, ἐπειδὴ οἱ ἄνθρωποι δὲν γνωρίζουν τὸ συμφέρον τους, τοὺς παρήγγειλε νὰ μὴ βαττολογοῦν μὲ τὴν προσευχή, ζητώντας ἄλλα ἀντὶ ἄλλων, λέγοντας· «διότι ὁ οὐράνιος Πατέρας σας γνωρίζει ποιά

πρὸ τοῦ αἰτῆσαι αὐτόν». Ὡς γὰρ φείδεταί σου ὁ Θεός, οὕτω καὶ τῶν ἁγίων αὐτοῦ· σοῦ μὲν γὰρ φείδεται ἵνα μὴ ἐπαρθῇς ἐπιτυχὼν φανερῶς ὧν ᾔτησσας, τῶν δὲ ἁγίων ἵνα μὴ καὶ αὐτοὶ ἐπαρθῶσι διὰ τῶν ἀποκαλύψεων τῶν φανερῶς λεγομένων παρα' αὐτῶν. Οὔκ εἰσι γὰρ μείζους Παύλου τοῦ Ἀποστόλου, λέγοντος· «καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων, ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος σατᾶν, ἵνα μὲ κολαφίζῃ». Ὕπαγε, πρόσεχε σεαυτῷ, καὶ δεόμεθα τοῦ Θεοῦ δοῦναί σοι στερρὰν καρδίαν καὶ πίστιν ἀκλινῆ. Μὴ οὖν σκανδαλίζου εἰς τοὺς ἁγίους· οὐ πλανᾶται γὰρ τὸ λαλοῦν ἐν αὐτοῖς Πνεῦμα ἅγιον τοῦ Θεοῦ· εἰς αὐτοὺς γὰρ πληροῦται τὸ ρηθὲν «τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ».

Καὶ ταῦτα ἀκούσας ἐπληροφορήθη ἐν Κυρίῳ, καὶ ἀπῆλθε χαίρων καὶ εὐλογῶν τὸν Θεόν, τὸν δοξάζοντα τοὺς ἁγίους αὐτοῦ.

ΨΟΘ'

Ἐρώτησις

Ἄλλος φιλόχριστος ἠρώτησε τὸν αὐτὸν γέροντα.

Ἐπειδὴ κύων ἔδακε τὸν παῖδά μου, εἰπέ μοι, ἀποθνήσκει ἢ οὔ; Λέγουσι γάρ τινες ὅτι ὁ δηχθεὶς ὑπὸ κυνὸς ἐντὸς τεσσαράκοντα ἡμερῶν ἀποθνήσκει.

Ἀπόκρισις

Οὐδὲν κακὸν ἔχει, μὴ φοβηθῇς· ἀλλὰ νόησον ὅτι γέγραπται· «στρουθίον εἰς παγίδα οὐ πίπτει ἄνευ τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς».

---

64. Ματθ. 6,8.
65. Β' Κορ. 12,7.
66. Ψαλμ. 142,10.
67. Βλ. Ματθ. 10,29.

ἔχετε ἀνάγκη πρὶν τοῦ τὰ ζητήσετε»[64]. Ὅπως ὁ Θεὸς λυπᾶται ἐσένα, ἔτσι καὶ τοὺς ἁγίους του· ἐσένα σὲ εὐσπλαγχνίζεται γιὰ νὰ μὴ ἐπαρθεῖς ἀφοῦ πετύχεις φανερὰ ἐκεῖνα ποὺ ζήτησες, καὶ τοὺς ἁγίους γιὰ νὰ μὴ ἐπαρθοῦν καὶ αὐτοὶ μὲ τὶς ἀποκαλύψεις ποὺ λέγονται φανερὰ ἀπὸ αὐτούς. Διότι δὲν εἶναι μεγαλύτεροι ἀπὸ τὸν Ἀπόστολο Παῦλο ποὺ λέγει· «καὶ ἐξαιτίας τῶν ὑπερβολικῶν ἀποκαλύψεων, γιὰ νὰ μὴ ὑπερηφανεύομαι, μοῦ δόθηκε σκόλοπας στὴ σάρκα, ἄγγελος σατᾶν, γιὰ νὰ μοῦ δίνει κολαφίσματα»[65]. Πήγαινε, πρόσεχε τὸν ἑαυτό σου, καὶ παρακαλοῦμε τὸν Θεὸ νὰ σοῦ δώσει στερεὴ καρδιὰ καὶ ἀκλόνητη πίστη. Μὴ σκανδαλίζεσαι λοιπὸν μὲ τοὺς ἁγίους· διότι τὸ ἅγιο Πνεῦμα τοῦ Θεοῦ ποὺ μιλᾶ μέσω αὐτῶν δὲν πλανιέται· καὶ σ' αὐτοὺς πραγματοποιεῖται ὁ λόγος «τὸ ἀγαθό σου Πνεῦμα θὰ μὲ ὁδηγήσει σὲ εὐθεία γῆ»[66].

Ὅταν τὰ ἄκουσε αὐτὰ πληροφορήθηκε ἐν Κυρίῳ, καὶ ἔφυγε χαρούμενος καὶ εὐλογώντας τὸν Θεό, ποὺ δοξάζει τοὺς ἁγίους του.

779

Ἐρώτηση

Ἄλλος φιλόχριστος ἐρώτησε τὸν ἴδιο γέροντα.

Ἐπειδὴ ἕνας σκύλος δάγκασε τὸν ὑπηρέτη μου, πές μου, θὰ πεθάνει ἢ ὄχι; διότι μερικοὶ λένε ὅτι αὐτὸς ποὺ δαγκάθηκε ἀπὸ σκύλο μέσα σὲ σαράντα μέρες πεθαίνει.

Ἀπόκριση

Μὴ φοβηθεῖς, δὲν ἔχει κανένα κακό· ἀλλὰ σκέψου καλὰ ἐκεῖνο ποὺ ἔχει γραφεῖ, «τὸ σπουργίτι δὲν πέφτει σὲ παγίδα χωρὶς νὰ τὸ ἐπιτρέψει ὁ Πατέρας σας ποὺ βρίσκεται στοὺς οὐρανούς»[67].

ΨΠ'

Ἐρώτησις

Ταῦτα ἀκούσας ἐκεῖνος ἐνόμισεν ὅτι οὐκ ἀποθνήσκει, ὁ δὲ μετὰ δύο ἡμέρας ἀπέθανε. Μεγάλην δὲ πίστιν ἔχων ὁ δεσπότης αὐτοῦ εἰς τὸν γέροντα καὶ εἰδὼς ὅτι ψεύδεται, ἐθαύμαζε καὶ οὐκ ἐπληροφορεῖτο ὅτι ἀπέθανε. Καὶ ἐλθὼν ἠρώτησε περὶ αὐτοῦ λέγων.

Ἐπειδὴ ἀμφιβάλλομεν εἰ ἀπέθανεν ὁ παῖς ἢ ζῇ, τί λέγεις, πάτερ;

Ἀπόκρισις

Απέθανεν.

ΨΠΑ'

Ἐρώτησις

Καὶ πῶς εἶπας, ὅτι οὐδὲν κακὸν ἔχει;

Ἀπόκρισις

Επειδὴ εἶχες ὑποψίαν ὅτι ἐκ τοῦ δήγματος τοῦ κυνὸς πάντως ἀποθνήσκει, ἐσήμανά σοι ὅτι οὐκ ἔστι τοῦτο· καὶ εἶπον 'οὐδὲν κακὸν ἔχει'· ὁ γὰρ ἐκ τοῦ Θεοῦ θάνατος οὐδὲν κακὸν ἔχει. Ἵνα δὲ φανερώσω σοι, ὅτι μέλλει ἀποθνήσκειν τὸν ἐκ Θεοῦ θάνατον, προσέθηκα ὅτι «στρουθίον εἰς παγίδα οὐ πίπτει ἄνευ τοῦ Πατρὸς ἡμῶν»· οὐ δυνατὸν γὰρ ἄνευ τῆς προστάξεως τοῦ Θεοῦ ἀποθανεῖν, κἂν ὑπὸ μυρίων ἰοβόλων δηχθῇ τις.

ΨΠΒ'

Ἐρώτησις

Καὶ διατί οὕτως ἀσαφῶς γέγονεν ἡ παρ' ὑμῶν ἀπόκρισις;

780

Ἐρώτηση

Ὅταν ἐκεῖνος τὰ ἄκουσε αὐτὰ νόμισε ὅτι δὲν θὰ πεθάνει, ἀλλ' αὐτὸς μετὰ ἀπὸ δύο μέρες πέθανε. Ὁ κύριός του ὅμως, ἐπειδὴ εἶχε μεγάλη πίστη στὸν γέροντα καὶ ἐπειδὴ γνώριζε ὅτι δὲν λέγει ψέματα, ἀποροῦσε, καὶ δὲν πίστευε ὅτι πέθανε. Πῆγε τότε καὶ ἐρώτησε γι' αὐτὸν λέγοντας.

Ἐπειδὴ ἀμφιβάλλομε ἂν ὁ ὑπηρέτης πέθανε ἢ ζεῖ, τί λές, πάτερ;

Ἀπόκριση

Πέθανε.

781

Ἐρώτηση

Καὶ πῶς εἶπες, ὅτι 'δὲν ἔχει τίποτε κακό';

Ἀπόκριση

Ἐπειδὴ εἶχες ὑποψία ὅτι ὁπωσδήποτε θὰ πεθάνει ἀπὸ τὸ δάγκωμα τοῦ σκύλου, σοῦ ἐπισήμανα ὅτι δὲν θὰ τοῦ συμβεῖ ἀπὸ αὐτό, καὶ εἶπα ὅτι 'δὲν ἔχει τίποτε κακό'. Γιὰ νὰ σοῦ φανερώσω ὅμως, ὅτι πρόκειται νὰ πεθάνει τὸν θάνατο τὸν προερχόμενο ἀπὸ τὸν Θεό, πρόσθεσα ὅτι τὸ «σπουργίτι δὲν πέφτει σὲ παγίδα χωρὶς νὰ τὸ ἐπιτρέψει ὁ Πατέρας μας»· διότι δὲν εἶναι δυνατὸ νὰ πεθάνει κανεὶς χωρὶς τὴν προσταγὴ τοῦ Θεοῦ, καὶ ἂν ἀκόμα δαγκαθεῖ ἀπὸ χιλιάδες φαρμακερὰ ζῶα.

782

Ἐρώτηση

Καὶ γιατί ἔγινε ἔτσι μὲ ἀσάφεια ἡ ἀπόκριση ἀπὸ σᾶς;

Ἀπόκρισις

Μὴ θαυμάσῃς ὅτι οὐκ εἶπόν σοι φανερῶς περὶ τούτου. Οὐ χρὴ γὰρ πάντοτε φανερῶς περὶ τῶν τοιούτων λέγειν· βλάπτουσι γὰρ τὸν λέγοντα καὶ οὐκ ὠφελοῦσιν. Οὐκ οἶδας ὅτι καὶ ὁ Σωτήρ, θέλων δεῖξαι τὴν ἀνθρωπότητα, τοῖς ταπεινοῖς ἐκέχρητο ῥήμασι, λέγων, «ποῦ τεθείκατε Λάζαρον;» καὶ «πόσους ἄρτους ἔχετε;» καὶ «τίς ἥψατό μου;», διδάσκων τοὺς ἁγίους μὴ πάντοτε κεχρῆσθαι τοῖς ὑψηλοῖς· διὰ τοῦτο πρὸς τὸ συμφέρον ἑαυτῶν ἀπεκρίνοντο. Εἰ δὲ καί τινες σκανδαλίζονται, ἀκουέτωσαν τοῦ Παύλου λέγοντος «ὅτι ἡμεῖς εὐωδία ἐσμὲν τοῦ Χριστοῦ ἐν τοῖς σωζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις. Οἷς μὲν ὀσμὴ ζωῆς εἰς ζωήν, οἷς δὲ ὀσμὴ θανάτου εἰς θάνατον». Τοῖς μὲν οὖν πιστοῖς εἰσι ταῦτα ἵνα νοήσωσι καὶ ὠφεληθῶσι, τοῖς δὲ ἀπίστοις ἵνα ἡμᾶς κατευτελίσωσι καὶ ὠφεληθῶμεν.

ΨΠΓ'

Ἐρώτησις

Πολλάκις συμβαίνει τοῦτον τὸν γέροντα Ἰωάννην ἐρωτώμενον ὑπό τινων παραπέμπειν τὴν ἐρώτησιν τῷ μεγάλῳ Γέροντι, τῷ Ἀββᾷ Βαρσανουφίῳ, κατὰ ταπείνωσιν καὶ μάλιστα ὅτε ἔμελλε μέγα καὶ θαυμαστὸν πρᾶγμα γίνεσθαι, καὶ οὐδέποτε ἀπέτυχεν ἡ ἐρώτησις αὐτοῦ παραπεφθεῖσα. Ἀνὴρ οὖν φιλόχριστος εἶπεν ἅπαξ τῷ γέροντι τούτῳ Ἰωάννῃ.

Τί χλευάζεις ἡμᾶς, πάτερ Ἰωάννη, ἔχων τὴν αὐτὴν τοῦ Πνεύματος δύναμιν καὶ παραπέμπων τῷ ἁγίῳ καὶ μεγάλῳ Γέροντι τῷ πατρὶ Βαρσανουφίῳ;

᾿Απόκριση

Μὴ ἀπορήσεις, γιὰ τὸ ὅτι δὲν σοῦ εἶπα φανερὰ γι᾿ αὐτό. Διότι δὲν πρέπει νὰ ὁμιλεῖ κανεὶς πάντοτε φανερὰ γι᾿ αὐτά, διότι βλάπτουν ἐκεῖνον ποὺ τὰ λέγει καὶ δὲν ὠφελοῦν. Δὲν γνωρίζεις ὅτι καὶ ὁ Σωτήρας, θέλοντας νὰ δείξει τὴν ἀνθρωπότητά του χρησιμοποιοῦσε τὰ ταπεινὰ λόγια, λέγοντας, «ποῦ ἔχετε βάλει τὸν Λάζαρο;» καὶ «πόσους ἄρτους ἔχετε;» καὶ «ποιός μὲ ἄγγιξε;», διδάσκοντας τοὺς ἁγίους νὰ μὴ χρησιμοποιοῦν πάντοτε τὰ ὑψηλὰ λόγια· γι᾿ αὐτὸ ἀπαντοῦσαν πρὸς τὸ συμφέρον τους. Ἂν ὅμως καὶ μερικοὶ σκανδαλίζονται, ἂς ἀκούσουν τὸν Παῦλο ποὺ λέγει· «ἐμεῖς εἴμαστε εὐωδία τοῦ Χριστοῦ ἀνάμεσα καὶ σ᾿ ἐκείνους ποὺ σώζονται καὶ σ᾿ ἐκείνους ποὺ χάνονται· στοὺς πρώτους ὀσμὴ ζωῆς ποὺ ὁδηγεῖ στὴ ζωή, ἐνῶ στοὺς ἄλλους ὀσμὴ θανάτου ποὺ ὁδηγεῖ στὸν θάνατο»[68]. Γιὰ τοὺς πιστοὺς λοιπὸν λέγονται αὐτά, γιὰ νὰ τὰ κατανοήσουν καὶ ὠφεληθοῦν, ἐνῶ γιὰ τοὺς ἀπίστους, γιὰ νὰ μᾶς ἐξευτελίσουν, ὥστε νὰ ὠφεληθοῦμε.

783

Ἐρώτηση

Πολλὲς φορὲς συμβαίνει αὐτὸς ὁ γέροντας Ἰωάννης, ὅταν ἐρωτᾶται ἀπὸ κάποιους, νὰ παραπέμπει τὴν ἐρώτηση στὸν μεγάλο Γέροντα, στὸν ἀββᾶ Βαρσανούφιο, ἀπὸ ταπείνωση, καὶ μάλιστα ὅταν ἐπρόκειτο νὰ γίνει κάποιο μεγάλο καὶ θαυμαστὸ πρᾶγμα, καὶ ἡ ἐρώτησή του ποτὲ δὲν ἀπέτυχε ὅταν παραπέμφθηκε σ᾿ αὐτόν. Ἕνας ἄνδρας λοιπὸν φιλόχριστος εἶπε κάποτε σ᾿ αὐτὸν τὸν γέροντα Ἰωάννη.

> Γιατί μᾶς χλευάζεις, πατέρ Ἰωάννη, καὶ μᾶς παραπέμπεις στὸν ἅγιο καὶ μεγάλο Γέροντα, στὸν πατέρα Βαρσανούφιο, ἐνῶ ἔχεις τὴν ἴδια δύναμη τοῦ Πνεύματος;

68. Β΄ Κορ. 2,15.

Ἀπόκρισις

Εγὼ μὲν οὐδέν εἰμι, εἰ δὲ καὶ ἤμην, οὐκ ἔστιν τοῦτο χλεύη· εἰ γὰρ ἔπεμψα ὑμᾶς καὶ οὐκ ἐπέτυχεν, ὑπῆρχεν ἂν χλεύη. Συμφέρον οὖν ὑμῖν ἐστιν, ἵνα δύο εὔχωνται περὶ ὑμῶν· περισσότεροι γὰρ οἱ δύο τοῦ ἑνός. Φαίνεται δὲ καὶ ὁ Κύριος τοῦτο ποιῶν· φησὶ γάρ· «ὁ Πατήρ μου μείζων μού ἐστι»· δυνάμενος γὰρ καὶ αὐτὸς ποιῆσαι τὰ ἔργα τοῦ Πατρὸς αὐτοῦ καὶ εἰπών, ὅτι «εἴ τι δ' ἂν βλέπῃ ὁ Υἱὸς τὸν Πατέρα ποιοῦντα, καὶ αὐτὸς ὁμοίως ποιεῖ», οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις παρέπεμπε τοὺς μαθητὰς πρὸς τὸν Πατέρα, λέγων, «ἐρωτήσατε τὸν Πατέρα»· καὶ πάλιν· «ἐγὼ ἀπ' ἐμαυτοῦ οὐδὲν ποιῶ, ἀλλ' ὁ Πατὴρ ὁ οἰκῶν ἐν ἐμοί, αὐτὸς ποιεῖ τὰ ἔργα».

ΨΠΔ'

Ἐρώτησις

***Θαῦμα** γενόμενον παρ' ἀμφοτέρων.*

Ἀνήρ τις σφόδρα φιλόχριστος καὶ φιλόξενος καὶ τὸ Ἀβραμιαῖον ἔργον ἐπιτελῶν ἐκινδύνευεν ἀποθανεῖν ὑπό τινος ἀρρωστίας, καὶ ἀπηγορεύθη παρὰ τῶν ἰατρῶν. Τινὲς οὖν τῶν ἐν Κυρίῳ ἀγαπητῶν αὐτοῦ ἔπεμψαν ἐρωτῶντες τὸν γέροντα Ἰωάννην περὶ αὐτοῦ, ἵνα, εἰ ἔστι τὸ τέλος αὐτοῦ, διάθηται. Καὶ ἀπεκρίνατο αὐτοῖς.

Ἀπόκρισις

Τὸ τέλος ἔφθασε καὶ ὀφείλει διαθέσθαι. Καὶ ταῦτα δηλώσας εἶπε τῷ ὑπηρετοῦντι αὐτῷ· "Ἄνελθε πρὸς τὸν ἅγιον Γέροντα καὶ αἴτησαι ὑπὲρ αὐτοῦ εὐχήν, ἵνα

---

69. Ἰω. 14,28.
69α. Ἰω. 5,19.
70. Βλ. Ἰω. 16,23.
71. Ἰω. 14,16.

Ἀπόκριση

Ἐγὼ βέβαια δὲν εἶμαι τίποτε, ἀλλὰ καὶ ἂν ἤμουν, αὐτὸ δὲν εἶναι χλευασμός· διότι, ἂν σᾶς ἔστελνα καὶ δὲν πετύχαινε, θὰ ἦταν χλευασμός. Εἶναι λοιπὸν συμφέρον σας νὰ προσεύχονται δύο γιὰ σᾶς· διότι οἱ δύο εἶναι περισσότεροι ἀπὸ τὸν ἕνα. Καὶ αὐτὸ φαίνεται ὅτι ἔκανε καὶ ὁ Κύριος· διότι λέγει, «ὁ Πατέρας μου εἶναι μεγαλύτερος ἀπὸ μένα»[69]. Ἂν καὶ μποροῦσε δηλαδὴ καὶ ὁ ἴδιος νὰ κάνει τὰ ἔργα τοῦ Πατέρα του καὶ εἶπε, «ὁ Υἱὸς ὁ,τιδήποτε βλέπει νὰ κάνει ὁ Πατέρας, καὶ ὁ ἴδιος ὅμοια τὸ κάμνει»[69α], ὄχι μία φορά, ἀλλὰ καὶ πολλὲς φορὲς παρέπεμπε τοὺς μαθητὲς πρὸς τὸν Πατέρα, λέγοντας· «παρακαλέστε τὸν Πατέρα, καὶ θὰ σᾶς τὰ δώσει στὸ ὄνομά μου»[70]. Καὶ πάλι, «καὶ ἐγὼ θὰ παρακαλέσω τὸν Πατέρα»[71]· καὶ πάλι, «ἐγὼ τίποτε δὲν κάνω ἀπὸ μόνος μου, ἀλλὰ ὁ Πατέρας μου, ποὺ κατοικεῖ μέσα σὲ μένα, αὐτὸς κάνει τὰ ἔργα»[72].

784

Ἐρώτηση

Θαῦμα ποὺ ἔγινε καὶ ἀπὸ τοὺς δύο.

Κάποιος ἄνδρας πολὺ φιλόχριστος καὶ φιλόξενος, ποὺ ἐπιτελοῦσε τὸ Ἀβραμιαῖο ἔργο[73], κινδύνευε νὰ πεθάνει ἀπὸ κάποια ἀρρώστια, καὶ ἔχασε τὶς ἐλπίδες του πρὸς τοὺς γιατρούς. Μερικοὶ τότε ἀπὸ τοὺς ἀγαπητούς του ἐν Κυρίῳ ἔστειλαν νὰ ἐρωτήσουν τὸν γέροντα Ἰωάννη γι' αὐτόν, γιὰ νὰ ἑτοιμαστεῖ, ἂν φθάνει τὸ τέλος του.

Ἀπόκριση

Τὸ τέλος ἔφθασε, καὶ ὀφείλει νὰ ἑτοιμασθεῖ. Καὶ ἀφοῦ δήλωσε αὐτά, εἶπε σ' ἐκεῖνον ποὺ τὸν ὑπηρετοῦσε· 'Πήγαινε στὸν ἅγιο Γέροντα[74] καὶ ζήτησε εὐχὴ ὑπὲρ

---

72. Βλ. Ἰω. 8,28.
73. Τὸ ἔργο τῆς φιλοξενίας δηλαδή.
74. Τὸν Βαρσανούφιο δηλαδή.

χαρίσηται αὐτῷ ὁ Θεὸς προσθήκην ζωῆς, διὰ τὸ ἀγαθὸν αὐτοῦ ἔργον τῆς φιλοξενίας. Ἐὰν γὰρ αἰτήσηται ὁ γέρων, λαμβάνει τὴν χάριν'.

Καὶ ἀνελθόντος τοῦ ὑπηρέτου καὶ αἰτήσαντος, ἐποίησεν ὁ γέρων τὴν εὐχήν, οὐδὲν δὲ εἶπε. Καὶ πάλιν ἐκ δευτέρου καὶ ἐκ τρίτου πεμφθεὶς ὑπὸ τοῦ γέροντος Ἰωάννου πρὸς τὸν ἐν ἁγίοις μέγαν Γέροντα. Καὶ τούτου τὴν μὲν εὐχὴν ποιήσαντος μηδὲν δὲ εἰπόντος, μαθὼν τοῦτο ὁ ἀββᾶς Ἰωάννης, εἶπε τῷ μαθητῇ αὐτοῦ, 'Οὐκ ἔτι ἀποθνήσκει ὁ ἄνθρωπος ἐν τῇ ἀρρωστίᾳ ταύτῃ· ὁ γὰρ γέρων ἔλαβε παρὰ Θεοῦ τὴν χάριν'. Ὁ δὲ ἀββᾶς ἐγνώρισε πάντα τοῖς αἰτήσασι περὶ τούτου· παρὰ χρῆμα γὰρ ἀνένηψεν ὁ ἄνθρωπος ἐκ τοῦ κινδύνου, καὶ τελείας ἰάσεως ἔτυχε ταῖς εὐχαῖς τοῦ μεγάλου καὶ ἁγίου Γέροντος Βαρσανουφίου καὶ τοῦ μιμητοῦ αὐτοῦ καὶ ὁμοτρόπου Ἰωάννου καὶ γνωσθέντων αὐτῷ τῶν περὶ τῆς ἰάσεως, ἔτι καὶ ἔτι προέκοψε τῇ φιλοξενίᾳ εἰς δόξαν Θεοῦ.

ΨΠΕ'

Ἐρώτησις

Τινὲς φιλόχριστοι, προσδοκῶντες ἀδικεῖσθαι ὑπό τινων δυνατῶν, ἠρώτησαν τὸν αὐτὸν γέροντα Ἰωάννην, εἰ ὤφειλον προσφυγεῖν ἄλλοις δυνατωτέροις προσώποις καὶ ἀγοράσαι τὴν ἑαυτῶν προστασίαν.

Ἀπόκρισις

Ο δὲ ἀποκριθεὶς εἶπε· Μὴ ἀγοράζετε προστασίαν θνητοῦ καὶ φθαρτοῦ ἀνθρώπου· ὅτι σήμερόν ἐστι καὶ αὔριον οὐκ ἔστι. Ἐδώκατε τὰ ὑμῶν καὶ ἀπέθανεν ὁ προστάτης καὶ ἀπωλέσατε τὰ ὑμῶν μετὰ τῆς προστασίας αὐτῶν. Θέλετε ἀγοράσαι προστασίαν ἄφθαρτον; Ἀγοράσατε τὴν προστασίαν τοῦ ἀθανάτου καὶ ἀφθάρτου βασιλέως Θεοῦ, τουτέστι τῶν πτωχῶν· αὐτὸς γὰρ τὰ τῶν πτωχῶν εἰς ἑαυτὸν ἀναδέχεται· «ἐπείνασα γὰρ καὶ ἐδώκατέ μοι φαγεῖν». Γινώσκετε γὰρ ὅτι,

αὐτοῦ γιὰ νὰ τοῦ χαρίσει ὁ Θεὸς προσθήκη ζωῆς, ἐξαιτίας τοῦ ἀγαθοῦ ἔργου του τῆς φιλοξενίας. Διότι, ἂν τὸ ζητήσει ὁ Γέροντας, θὰ λάβει τὴ χάρη.

Ἀφοῦ ἀνέβηκε ὁ ὑπηρέτης καὶ τὸν παρακάλεσε, ὁ Γέροντας ἔκανε τὴν προσευχή, ὅμως δὲν εἶπε τίποτε. Καὶ πάλι ἀφοῦ στάλθηκε γιὰ δεύτερη καὶ τρίτη φορὰ ἀπὸ τὸν γέροντα Ἰωάννη πρὸς τὸν μεταξὺ τῶν ἁγίων μεγάλο Γέροντα, αὐτὸς ἔκανε τὴν προσευχὴ χωρὶς νὰ πεῖ τίποτε. Ὅταν τὸ ἔμαθε αὐτὸ ὁ ἀββᾶς Ἰωάννης, εἶπε στὸν μαθητή του, ὅτι δὲν πεθαίνει ἀκόμα ὁ ἄνθρωπος μ' αὐτὴ τὴν ἀρρώστια· διότι ὁ γέροντας ἔλαβε ἀπὸ τὸν Θεὸ τὴ χάρη. Ὁ ἀββᾶς τότε τὰ εἶπε ὅλα σ' ἐκείνους ποὺ τὸν παρακάλεσαν γι' αὐτόν, διότι ἀμέσως ὁ ἄνθρωπος ἀνένηψε ἀπὸ τὸν κίνδυνο καὶ πέτυχε τέλεια γιατρειὰ μὲ τὶς προσευχὲς τοῦ μεγάλου καὶ ἁγίου Γέροντα Βαρσανουφίου καὶ τοῦ μιμητῆ αὐτοῦ καὶ ὁμοτρόπου Ἰωάννη καὶ ἀφοῦ τοῦ ἔκαναν γνωστὰ τὰ σχετικὰ μὲ τὴ γιατρειά, πρόκοψε ἀκόμα περισσότερο στὴ φιλοξενία πρὸς δόξα Θεοῦ.

785

Ἐρώτηση

Μερικοὶ φιλόχριστοι, περιμένοντας νὰ ἀδικηθοῦν ἀπὸ κάποιους δυνατούς, ἐρώτησαν τὸν ἴδιο γέροντα Ἰωάννη, ἂν ὤφειλαν νὰ προσφύγουν σὲ ἄλλα δυνατότερα πρόσωπα καὶ ν' ἀγοράσουν τὴν προστασία τους.

Ἀπόκριση

Αὐτὸς τότε ἀποκρίθηκε καὶ εἶπε· Μὴ ἀγοράζετε προστασία θνητοῦ καὶ φθαρτοῦ ἀνθρώπου· διότι σήμερα εἶναι καὶ αὔριο δὲν εἶναι. Δώσατε τὰ δικά σας καὶ πέθανε ὁ προστάτης, χάνοντας ἔτσι τὰ δικά σας μαζὶ μὲ τὴν προστασία αὐτῶν. Θέλετε ν' ἀγοράσετε ἄφθαρτη προστασία; Ἀγοράστε τὴν προστασία τοῦ ἀθανάτου καὶ ἀφθάρτου βασιλιᾶ Θεοῦ, δηλαδὴ τῶν φτωχῶν· διότι αὐτὸς ἀναδέχεται τὰ τῶν φτωχῶν στὸν ἑαυτό του· διότι λέγει «πείνασα καὶ μοῦ δώσατε νὰ

ἐὰν ἀγοράσητε προστασίαν ἀνθρώπου, ὁ Θεὸς οὐ προΐσταται ὑμῶν.

Ἐὰν δὲ εἴπητε, 'Καὶ πῶς εὑρίσκομέν τινας τῶν πατέρων ἔχοντας καὶ κατὰ σάρκα προστάτας;' οὐ κατὰ ἀγορασίαν ἔχουσι τὴν προστασίαν, ἀλλ' αὐτοὶ μὲν κατὰ ἀγάπην Θεοῦ παρεκάλεσαν ἐκείνους, οἱ δὲ προϊστάμενοι αὐτῶν κατὰ πίστιν αὐτοὺς προσεδέξαντο χαίροντες. Καὶ ψηλαφήσατε τὸ μέσον καὶ εὑρήσετε, ὅτι οὐδὲν ἐδόθη εἰς ἀγορασίαν τῆς τοιαύτης προστασίας, οὐδὲ ᾔτησάν τι ἐκεῖνοι περισσὸν παρ' αὐτῶν, εἰ μὴ τὰς εὐχὰς αὐτῶν τὰς πρὸς τὸν Θεόν, τὰς ἐντιμοτέρας παντὸς χρυσίου καὶ ἀργυρίου. Τί γὰρ ἦν τὸ πρᾶγμα; Ἐὰν ἔλθῃ ὀργὴ παρὰ Κυρίου, αὐτοὶ δυσωπήσουσιν ὑπὲρ ἐκείνων. Βλέπε οὖν καὶ εὑρίσκεις, ὅτι ἀπ' ἀρχῆς μέχρι τέλους κατὰ Θεόν ἐστι τὸ πρᾶγμα.

ΨΠS'

Ἐρώτησις

Ἀκαταστασίας κινηθείσης τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ καὶ προσδοκωμένων χειροτονεῖσθαί τινων μὴ κοινωνούντων αὐτῇ τῇ προτάξει τοῦ βασιλέως, καὶ ἐλπιζομένου διωγμοῦ γενέσθαι, ἠρώτησάν τινες φιλόχριστοι τὸν αὐτὸν γέροντα, εἰ δεῖ ἀναχωρῆσαι καὶ κρύψαι τὰ ἴδια.

Ἀπόκρισις

Εστι τις δυνατώτερος τοῦ Θεοῦ; Εἰ εἰς τὰς χεῖρας τοῦ Θεοῦ ἐσμεν καὶ συμψάλλομεν τῷ Δαβὶδ «ὅτι εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου», τί φοβούμεθα; Ὅμως οὐκ εἶπεν ὁ Θεὸς καταστρέψαι Νινευὶ τὴν πόλιν; μὴ κατέστρεψεν; Οὐχί· ἀλλὰ διὰ τὴν μετάνοιαν αὐτῶν συνεχώρησεν αὐτῇ. Οὐκοῦν καὶ ἡμεῖς μετανοήσωμεν τῷ Θεῷ, καὶ εἰρηνεύει πάντα. Καὶ πάλιν μὴ δυνατώτερός ἐστιν ὁ ἐπίγειος βασιλεὺς τοῦ

---

75. Ματθ. 25,35.
76. Ψαλμ. 30,6.

φάγω»[75]. Γνωρίζετε ὅτι, ἂν ἀγοράσετε προστασία ἀνθρώπου, ὁ Θεὸς παύει νὰ σᾶς προστατεύει.

῎Αν ὅμως πεῖτε, ‘Πῶς ὅμως βρίσκομε μερικοὺς ἀπὸ τοὺς πατέρες νὰ ἔχουν καὶ κατὰ σάρκα προστάτες;’ αὐτοὶ δὲν ἔχουν ἀπὸ ἀγορὰ τὴν προστασία· ἁπλῶς αὐτοὶ μὲ ἀγάπη Θεοῦ παρακάλεσαν ἐκείνους, καὶ οἱ προϊστάμενοί τους ἀπὸ πίστη τοὺς δέχθηκαν μὲ χαρά. Ἐρευνῆστε τὴ διαφορὰ αὐτῶν καὶ θὰ βρεῖτε, ὅτι τίποτε δὲν δόθηκε γιὰ ἀγορὰ αὐτῆς τῆς προστασίας, οὔτε ζήτησαν ἐκεῖνοι τίποτε περιττὸ ἀπὸ αὐτούς, παρὰ μόνο τὶς προσευχές τους πρὸς τὸν Θεό, τὶς ἐντιμότερες ἀπὸ κάθε χρυσὸ καὶ ἄργυρο. Διότι τί ἦταν τὸ πρᾶγμα; ῎Αν ἔρθει ὀργὴ ἀπὸ τὸν Κύριο, αὐτοὶ νὰ μεσιτεύσουν γιὰ ἐκείνους. Πρόσεχε λοιπὸν καὶ θὰ βρεῖς ὅτι ἀπὸ τὴν ἀρχὴ μέχρι τὸ τέλος τὸ πρᾶγμα εἶναι ἀρεστὸ στὸν Θεό.

786

Ἐρώτηση

Ἐπειδὴ δημιουργήθηκε ἀκαταστασία στὴν ἅγια Ἐκκλησία τοῦ Θεοῦ καὶ μερικοὶ ποὺ δὲν ἦταν κοινωνοὶ αὐτῆς περίμεναν νὰ χειροτονηθοῦν μὲ τὴ διαταγὴ τοῦ βασιλιᾶ, ἐνῶ ἀκουόταν ὅτι θὰ γίνει διωγμός, μερικοὶ φιλόχριστοι ἐρώτησαν τὸν ἴδιο γέροντα, ἂν πρέπει νὰ φύγουν καὶ νὰ κρύψουν τὰ δικά τους.

Ἀπόκριση

Υπάρχει κανεὶς δυνατότερος ἀπὸ τὸν Θεό; ῎Αν βρισκόμαστε στὰ χέρια τοῦ Θεοῦ καὶ ψάλλομε μαζὶ μὲ τὸν Δαβίδ, «στὰ χέρια σου θὰ ἐναποθέσω τὸ πνεῦμα μου»[76], τί ἔχομε νὰ φοβηθοῦμε; Δὲν εἶπε ὁ Θεὸς ὅτι θὰ καταστρέψει τὴν πόλη Νυνευή; Μήπως τὴν κατέστρεψε; Ὄχι· ἀλλ' ἐξαιτίας τῆς μετάνοιάς τους τὴ συγχχώρεσε. Νὰ μετανοήσομε λοιπὸν καὶ μεῖς στὸν Θεό, καὶ θὰ εἰρηνεύσει τὰ πάντα. Καὶ πάλι μήπως ὁ ἐπίγειος βασιλιὰς εἶναι δυνατότερος ἀπὸ τὸν Να-

Ναβουχοδονόσορ; καὶ ὅμως Δανιὴλ καὶ οἱ τρεῖς παῖδες ἐδυσώπησαν τὸν ἐπουράνιον βασιλέα Θεὸν καὶ ὑπέταξεν αὐτοῖς τὸν βασιλέα. Ἡ δὲ ἐρώτησις ὑμῶν διπλοῦν ἔχει τὸν πόλεμον, δειλίας καὶ φιλαργυρίας. Ἡμεῖς εἰς τὰς χεῖρας τοῦ Θεοῦ ἐσμεν, καὶ ἐξουσίαν ἔχει ποιῆσαι εἰς ἡμᾶς τὸ θέλημα αὐτοῦ. Μὴ οὖν φύγοιτε, μηδὲ κρύψητέ τι ὑμῶν.

ΨΠΖ'

Ἐρώτησις

Οἱ αὐτοὶ πάλιν ἠρώτησαν τὸν αὐτὸν γέροντα.

Πῶς οὖν γέγραπται «ἐὰν διώκωσιν ὑμᾶς ἐκ τῆς πόλεως ταύτης φεύγετε εἰς τὴν ἄλλην»;

Ἀπόκρισις

Ἀλλ' ἡμεῖς οὔπω ἐδιώχθημεν.

ΨΠΗ'

Ἐρώτησις

Πρεσβύτερός τις, ψηφισθεὶς παρὰ τῶν τῆς πόλεως εἰς ἐπισκοπήν, ἔπεμψεν ἐρωτῶν τὸν αὐτὸν γέροντα, εἰ θέλει αὐτὸν ὁ Θεὸς γενέσθαι.

Ἀπόκρισις

Ἀδελφέ, ὑπὲρ ἐμὲ ἠρώτησας· ἐλάχιστος γάρ εἰμι ἄνθρωπος καὶ εἰς τοῦτο τὸ μέτρον οὐκ ἔφθασα. Ὅμως ἀφῆκας τὸν Ἀπόστολον καὶ ἐρωτᾷς ἐμὲ τὸν μηδέποτε ἀρχὴν βαλόντα εἶναι μοναχόν; Τί δὲ λέγει ὁ Ἀπόστολος; «ὁ ὀρεγόμενος ἐπισκοπῆς, καλοῦ ἔργου ἐπιθυμεῖ· δεῖ δὲ τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι» καὶ τὰ ἑξῆς. Ἀλλ' ἐπειδὴ ἡ Γραφὴ λέγει, ὡς ἐκ προσώπου τοῦ Θεοῦ πρὸς τοὺς υἱοὺς Ἰσραὴλ ὅτι «ἐὰν ἐρω-

77. Ματθ. 10,23. 78. Α' Τιμ. 3,1.

βουχοδονόσορα; Καὶ ὅμως ὁ Δανιὴλ καὶ τὰ τρία παιδιὰ φοβήθηκαν τὸν ἐπουράνιο βασιλιὰ Θεό, καὶ ὑπέταξε τὸν βασιλιὰ σ' αὐτούς. Ἡ ἐρώτησή σας ἔχει διπλὸ τὸν πόλεμο· τῆς δειλίας καὶ τῆς φιλαργυρίας. Ἐμεῖς βρισκόμαστε στὰ χέρια τοῦ Θεοῦ, καὶ ἐξουσία ἔχει νὰ κάνει σὲ μᾶς τὸ θέλημά του. Μὴ φύγετε λοιπόν, οὔτε νὰ κρύψετε κάτι ἀπὸ τὰ δικά σας.

787

Ἐρώτηση

Οἱ ἴδιοι πάλι ἐρώτησαν τὸν ἴδιο γέροντα.

Πῶς τότε ἔχει γραφεῖ, «ἂν σᾶς διώχνουν ἀπὸ αὐτὴ τὴν πόλη, νὰ φεύγετε σὲ ἄλλη»[77];

Ἀπόκριση

Ἀλλὰ ἐμεῖς ἀκόμα δὲν διωχθήκαμε.

788

Ἐρώτηση

Κάποιος πρεσβύτερος, ποὺ ἐκλέχθηκε ἀπὸ ἀνθρώπους τῆς πόλεως σὲ ἐπισκοπή, ἔστειλε νὰ ἐρωτήσει τὸν ἴδιο γέροντα, ἂν θέλει ὁ Θεὸς νὰ γίνει αὐτὸς ἐπίσκοπος.

Ἀπόκριση

Ἀδελφέ, ἐρώτησες πράγματα ἀνώτερα ἀπὸ τὴ δύναμή μου· διότι εἶμαι ἐλάχιστος ἄνθρωπος καὶ δὲν ἔφθασα σ' αὐτὸ τὸ μέτρο. Ἀλλ' ἄφησες τὸν Ἀπόστολο καὶ ἐρωτᾶς ἐμένα ποὺ δὲν ἄρχισα ἀκόμη νὰ γίνομαι μοναχός; Καὶ τί λέγει ὁ Ἀπόστολος; «Ἐκεῖνος ποὺ ἐπιθυμεῖ ἐπισκοπή, ἐπιθυμεῖ καλὸ ἔργο· πρέπει ὅμως ὁ ἐπίσκοπος νὰ εἶναι ἀνεπίληπτος»[78] καὶ τὰ ἑξῆς. Ἀλλ' ἐπειδὴ ἡ Γραφὴ λέγει, ὡς ἐκπρόσωπος τοῦ

τήσητε ἐν τῷ ὀνόματί μου ψευδοπροφήτην καὶ ἐστὲ ἄξιοι τοῦ ἀκοῦσαι τὴν ἀλήθειαν, λόγον ἀληθινὸν ἐμβάλλω εἰς τὸ στόμα τοῦ ψευδοπροφήτου εἰπεῖν ὑμῖν». Τούτου χάριν κἀγώ σοι λέγω, ὅτι 'Εἰ καλῶς ἐκόσμησάς σου τὸν οἶκον καὶ ἡτοίμασας τὴν καρδίαν σου εἰς ὑποδοχὴν τοῦ τοιούτου εὐώδους μύρου, κατὰ τὴν διδασκαλίαν τοῦ Ἀποστόλου, «ἡτοίμασταί σοι παρὰ τοῦ Θεοῦ»· ἀψευδὴς γὰρ ὁ λέγων, «δώη σοι Κύριος κατὰ τὴν καρδίαν σου»'.

ΨΠΘ'

Ἐρώτησις

Χωρεπίσκοπός τις ἠρώτησε τὸν αὐτὸν γέροντα, εἰ ὀφείλει ἀποστῆναι τῆς χωρεπισκοπῆς καὶ ἀναχωρῆσαι εἰς μοναστήριον.

Ἀπόκρισις

Αφεῖναι τὴν ἐμπιστευθεῖσάν σοι φροντίδα τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν οὐ συμβουλεύομέν σοι, ἀλλὰ προσέχειν τῇ σεαυτοῦ ψυχῇ κατὰ φόβον Θεοῦ. Μὴ λάβῃς δῶρα παρά τινος, μὴ ἐκκλίνῃς κρίσιν, μὴ αἰσχυνθῇς πρόσωπον δυνάστου καὶ ἀθωώσῃς τὸν ἔνοχον, ἢ κατακρίνῃς τὸν ἀθῷον. Καὶ τὴν φιλαργυρίαν μακρὰν ποίησον ἀπὸ σοῦ, ἥτις ῥίζα ἐστὶ πάντων τῶν κακῶν· ἡ τοιαύτη γὰρ καλεῖται καί ἐστι δευτέρα εἰδωλολατρία. Καὶ μὴ ὑψηλοφρονήσῃς, ἵνα μαθητευθῇς τῷ Ἀποστόλῳ λέγοντι, «μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς συνεπαγόμενοι». Μὴ ἀνθρωπαρεσκήσῃς· οἶδας γὰρ τί ἀπόκειται τούτῳ (τῷ ἀνθρωπαρέσκῳ δηλαδή), ἀλλότριος γίνεται τῆς δου-

---

79. Βλ. Διδαχὴ Ἀποστόλων 11.
80. Βλ. Α' Κορ. 2,9.

Θεοῦ πρὸς τοὺς υἱοὺς Ἰσραήλ, «ἂν ἐρωτήσετε στὸ ὄνομά μου ψευδοπροφήτη καὶ εἶσθε ἄξιοι νὰ ἀκούσετε τὴν ἀλήθεια, θὰ βάλω ἀληθινὸ λόγο στὸ στόμα τοῦ ψευδοπροφήτη νὰ σᾶς πεῖ»[79], χάριν αὐτοῦ σοῦ λέγω καὶ ἐγώ· "Ἂν κόσμησες καλὰ τὸν οἶκο σου καὶ ἑτοίμασες τὴν καρδιά σου γιὰ ὑποδοχὴ τοῦ τέτοιου εὐωδιαστοῦ μύρου, σύμφωνα μὲ τὴ διδασκαλία τοῦ Ἀποστόλου, «ἔχει ἑτοιμαστεῖ ἀπὸ τὸν Θεὸ γιὰ σένα»[80]· διότι εἶναι ἀψευδὴς ἐκεῖνος ποὺ λέγει, «εἴθε ὁ Κύριος νὰ σοῦ δώσει σύμφωνα μὲ τὴν καρδιά σου»[81].

789

Ἐρώτηση

Κάποιος χωρεπίσκοπος ἐρώτησε τὸν ἴδιο γέροντα, ἂν πρέπει νὰ φύγει ἀπὸ τὴν χωρεπισκοπὴ καὶ ν' ἀναχωρήσει σὲ μοναστήρι.

Ἀπόκριση

Δὲν σὲ συμβουλεύομε ν' ἀφήσεις τὴ φροντίδα τῶν ἁγίων Ἐκκλησιῶν ποὺ σοῦ ἀνατέθηκε, ἀλλὰ νὰ προσέχεις τὴν ψυχή σου μὲ φόβο Θεοῦ. Μὴ πάρεις δῶρα ἀπὸ κάποιον, μὴ παρεκκλίνεις στὴν κρίση, μὴ ντραπεῖς τὸ πρόσωπο τοῦ δυνάστη καὶ ἀθωώσεις τὸν ἔνοχο ἢ κατακρίνεις τὸν ἀθῶο. Ἀπομάκρυνε ἐπίσης ἀπὸ σένα τὴν φιλαργυρία ποὺ εἶναι ρίζα ὅλων τῶν κακῶν, διότι αὐτὴ ὀνομάζεται καὶ εἶναι δεύτερη εἰδωλολατρία. Μὴ ὑψηλοφρονήσεις, γιὰ νὰ γίνεις μαθητὴς τοῦ Ἀποστόλου ποὺ λέγει, «μὴ φρονεῖτε τὰ ὑψηλά, ἀλλὰ νὰ ἀκολουθεῖτε τοὺς ταπεινούς»[82]. Μὴ θελήσεις νὰ φανεῖς ἀρεστὸς στοὺς ἀνθρώπους, διότι γνωρίζεις τί ἐπιφυλάσσεται σ' αὐτὸν (δηλαδὴ στὸν ἀνθρωπάρεσκο)· γίνεται ξένος τῆς δουλείας τοῦ

81. Ψαλμ. 19,5.
82. Ρωμ. 12,16.

λείας τοῦ Χριστοῦ· φησὶ γὰρ ὁ Ἀπόστολος· «εἰ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην»· καὶ ὑποτάγηθι τῷ Κυρίῳ λέγοντι· «μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν».

Σβέσον τὴν ὀργὴν ἀπὸ σοῦ, ὅτι πτῶσίς ἐστιν ἀνθρώπῳ· πάντα κατὰ Θεὸν πράττε, καὶ εὑρίσκεις αὐτὸν βοηθόν. Πάντοτε δὲ φοβοῦ τὸν θάνατον· δεῖ γὰρ αὐτὸν ἐλθεῖν ἐφ' ἡμᾶς. Μιμνήσκου τῆς ὥρας τῆς ἐξόδου, καὶ οὐχ ἁμαρτήσῃς εἰς Θεόν· καὶ ἐὰν φθάσῃς ἡσυχάσαι εὑρήσεις ἀνάπαυσιν μετὰ χάριτος, ὅπου δ' ἂν ἡσυχάσῃς.

Ψζ'

Ἐρώτησις

Ἐπίσκοπός τις ἀπὸ μοναχῶν, ἔχων μεγάλην πίστιν εἰς τοὺς γέροντας, ἔπεμψεν ἐρωτῶν τὸν μέγαν Γέροντα, εἰ ὀφείλει καταλεῖψαι τὸν κόσμον καὶ εἰς τὸν μονήρη βίον ἐπανελθεῖν, ἅμα δὲ αἰτῶν τὴν παρ' αὐτοῦ εὐχήν τε καὶ εὐλογίαν καὶ βοήθειαν.

Ἀπόκρισις

Εὔκαιρόν μοι εἰπεῖν τὸν λόγον τοῦ Ἀποστόλου λέγοντος, «ἐγενόμην ἄφρων, ὑμεῖς μὲ ἠναγκάσατε», ἀλλ' ἐπειδὴ κατὰ Θεόν ἐστι τὰ λαλούμενα καὶ οὐ κατὰ ἄνθρωπον, εἴη μοι εἰπεῖν αὐτῷ τὸ ῥηθὲν ὑπὸ τοῦ θεράποντος αὐτοῦ Μωϋσέως «ἢ συνεισένεγκέ μοι τὸν γραφέντα μοι υἱὸν πνευματικὸν εἰς τὴν αἰώνιον ζωήν, ἢ κᾀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου σου», καὶ μὴ εἴη μοι ἰδεῖν τὸ πρόσωπον Ἰακὼβ τοῦ πατρὸς Ἰωσήφ,

---

83. Γαλ. 1,10.
84. Ματθ. 11,29.

Χριστοῦ· διότι λέγει ὁ Ἀπόστολος· «ἂν ἄρεσα ἀκόμα στοὺς ἀνθρώπους, δὲν θὰ ἤμουν δοῦλος τοῦ Χριστοῦ»[83]. Ὑποτάξου στὸν Κύριο ποὺ λέγει· «μάθετε ἀπὸ μένα ὅτι εἶμαι πρᾶος καὶ ταπεινὸς στὴν καρδιὰ καὶ θὰ βρεῖτε ἀνάπαυση στὶς ψυχές σας»[84].

Σβῆσε τὴν ὀργὴ ἀπὸ σένα, διότι εἶναι πτώση γιὰ τὸν ἄνθρωπο. Κάμνε τὰ πάντα σύμφωνα μὲ τὶς ἐντολὲς τοῦ Θεοῦ καὶ θὰ τὸν βρεῖς βοηθό· πάντοτε ὅμως νὰ φοβᾶσαι τὸν θάνατο, ἀφοῦ αὐτὸς ὁπωσδήποτε θὰ ἔρθει σὲ μας. Νὰ θυμᾶσαι τὴν ὥρα τῆς ἐξόδου, καὶ δὲν θ' ἁμαρτήσεις στὸν Θεό. Ἂν φθάσεις νὰ ἡσυχάσεις, θὰ βρεῖς ἀνάπαυση μαζὶ μὲ τὴ χάρη, ὅπου κι ἂν ἡσυχάσεις.

790

Ἐρώτηση

Κάποιος ἐπίσκοπος ἀπὸ τὴν τάξη τῶν μοναχῶν, ἔχοντας μεγάλη ἐμπιστοσύνη στοὺς γέροντες, ἔστειλε νὰ ἐρωτήσει τὸν μεγάλο Γέροντα, ἂν πρέπει νὰ ἐγκαταλείψει τὸν κόσμο καὶ νὰ ἐπανέλθει στὸν μοναχικὸ βίο, ζητώντας συγχρόνως ἀπὸ αὐτὸν τὴν προσευχή του, τὴν εὐλογία καὶ τὴ βοήθειά του.

Ἀπόκριση

Εἶναι κατάλληλη στιγμὴ νὰ πῶ τὸν λόγο τοῦ Ἀποστόλου ποὺ λέγει, «ἔγινα ἄφρονας, ἐσεῖς μὲ ἀναγκάσατε»[85]. Ἐπειδὴ ὅμως αὐτὰ ποὺ λέγονται εἶναι σύμφωνα μὲ τὸν Θεὸ καὶ ὄχι σύμφωνα μὲ τὸν ἄνθρωπο, θὰ μποροῦσα νὰ πῶ σ' αὐτὸν ἐκεῖνο ποὺ λέχθηκε ἀπὸ τὸν ὑπηρέτη τοῦ Θεοῦ Μωϋσῆ· «ἢ εἰσήγαγε μαζὶ μὲ μένα στὴν αἰώνια ζωὴ αὐτὸν ποὺ ὀνομάσθηκε πνευματικός μου υἱός, ἢ σβῆσε καὶ μένα ἀπὸ τὴ βίβλο σου»[86]· καὶ εἴθε νὰ μὴ ἀξιωθῶ νὰ δῶ τὸ πρόσωπο τοῦ Ἰα-

85. Β΄ Κορ. 12,11.
86. Ἐξ. 32,32.

μὴ ἔχοντι τὸν Βενιαμὶν μετ' ἐμοῦ. Καὶ πιστεύω εἰς τὸ ὄνομα αὐτοῦ τὸ ἅγιον, ὅτι οὐκ ἀθετήσει μου τὸ αἴτημα· ἡ γὰρ χαρὰ τῆς ἁγίας Τριάδος καὶ ἡ τῶν ἁγίων ἀγγέλων ἡ σωτηρία ἐστὶ τῶν σῳζομένων. Οὐ παύομαι οὖν δεόμενος τοῦ Θεοῦ, ἕως οὗ χαροποιήσῃ με εἰς τὴν σὴν σωτηρίαν. Ἀλλὰ πρόσεχε μὴ χαυνώσωσι ταῦτα τὸν λογισμόν σου εἰς ῥᾳθυμίαν.

Ἐπὶ πᾶσι τούτοις μιμνήσκου, ὅτι ὁ κόσμος παράγει καὶ ἡ δόξα αὐτοῦ πρόσκαιρός ἐστι, καὶ ἡ ἀπόλαυσις αὐτοῦ φθαρτή. Ἐπίλεγξαι σεαυτῷ συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν, καὶ πάλιν ὅτι ἄκοντες ἀφίεμεν τὸν κόσμον, καὶ οὐκ ἔστι μακρὸς ὁ βίος ἡμῶν. Τί γάρ ἐστιν ἡ ζωὴ τοῦ ἀνθρώπου; μάλιστα ὅτι πεποίθησιν ζωῆς οὐκ ἔχομεν ἐν τῷ κόσμῳ τούτῳ, ἀπὸ πρωὶ ἕως ὀψέ. Θέλοντες ἀφήσωμεν τὰ πράγματα, ἵνα ἔχωμεν τὴν ἀντιμισθίαν. Ἐπιλεξώμεθα τὴν ἀμεριμνίαν τὴν ἀπὸ τῶν γηΐνων πραγμάτων οἱ ἐπιποθοῦντες ὀφθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ, ἵνα παρρησιασώμεθα λέγειν· «ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου». Γόργευσαι, ὀξυπόδησον, ὡς ἡμέρα ἐστί, πρὸ τοῦ καταλαβεῖν τὴν νύκτα, ἐν ᾗ πενθοῦσιν οἱ ῥᾳθυμοῦντες καὶ ὀκνηροί, μετανοοῦντες τότε εἰς μάτην· μάθε, ὅτι ὁ καιρὸς οὐ μένει, καὶ ἐὰν φθάσῃ ἡ ὥρα, ὁ ὑπηρέτης οὐ δυσωπεῖται. Τίς γὰρ ἐδυσώπησεν αὐτὸν καὶ εἰσηκούσθη; Δοῦλός ἐστιν ἀληθὴς τοῦ ἀληθινοῦ Δεσπότου, πληρῶν γνησίως τὰ προστάγματα αὐτοῦ.

Φοβηθῶμεν τὴν φρικωδεστάτην ἡμέραν καὶ ὥραν ἐκείνην, ἐν ᾗ οὐ προΐσταται ἡμῶν ἀδελφὸς ἢ συγγενής, οὐκ ἀρχὴ ἢ ἐξουσία, οὐ πλοῦτος καὶ δόξα, ἀλλ' ἰδοὺ ἄνθρωπος καὶ τὸ ἔργον αὐτοῦ. Πωλήσωμεν τὰ φθαρτὰ πράγματα, τὰ ἕλκοντα ἡμᾶς εἰς τὴν ἄβυσσον τῆς ἀπωλείας καί, ἀγοράσαντες ἑαυτοῖς ἔνδυμα γάμου, ἔλθωμεν εἰς τελειότητα. Ἐὰν γὰρ ἔλθωμεν εἰς τελειότητα, καταλαμβάνομεν τὴν τελειότητα τῆς κατὰ Θεὸν τελείας ἀγάπης τῆς ἔξω βαλλούσης τὸν φόβον, καὶ ᾄδομεν μετὰ χαρᾶς μετὰ τοῦ Ἀποστόλου Παύλου «ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει». Τέκνον

87. Ψαλμ. 141,7.

·κώβ, τοῦ Πατέρα τοῦ Ἰωσήφ, χωρὶς νὰ ἔχω τὸν Βενιαμὶν μαζί μου. Ἀλλὰ πιστεύω στὸ ἅγιο ὄνομά του, ὅτι δὲν θὰ ἀθετήσει τὸ αἴτημά μου· διότι ἡ χαρὰ τῆς ἁγίας Τριάδας καὶ ἡ χαρὰ τῶν ἁγίων ἀγγέλων εἶναι ἡ σωτηρία τῶν σωζομένων. Δὲν θὰ σταματήσω λοιπὸν νὰ παρακαλῶ τὸν Θεό, ὡς ποὺ νὰ μὲ χαροποιήσει μὲ τὴ δική σου σωτηρία· ἀλλὰ πρόσεχε, νὰ μὴ χαυνώσουν αὐτὰ τὸν λογισμό σου καὶ σὲ ὁδηγήσουν σὲ ραθυμία.

Μαζὶ μὲ ὅλα αὐτὰ θυμήσου ὅτι ὁ κόσμος περνᾶ, ἡ δόξα του εἶναι πρόσκαιρη καὶ ἡ ἀπόλαυσή του φθαρτή. Διάλεξε γιὰ τὸν ἑαυτό σου νὰ ὑποστεῖ κακουχίες μαζὶ μὲ τὸν λαὸ τοῦ Θεοῦ, παρὰ νὰ ἔχει πρόσκαιρη ἀπόλαυση τῆς ἁμαρτίας. Ἐπίσης νὰ θυμᾶσαι ὅτι θὰ ἐγκαταλείψομε τὸν κόσμο χωρὶς τὴ θέλησή μας καὶ ὅτι ἡ ζωή μας δὲν εἶναι μεγάλη. Τί εἶναι δηλαδὴ ἡ ζωὴ τοῦ ἀνθρώπου; Ἀπὸ τὸ πρωὶ μέχρι τὸ βράδυ, ὅταν βέβαια δὲν ἔχομε πεποίθηση ζωῆς μέσα σ' αὐτὸν τὸν κόσμο. Ἂς ἐγκαταλείψομε μὲ τὴ θέλησή μας τὰ πράγματα, γιὰ νὰ ἔχομε τὴν ἀντιμισθία. Ἂς διαλέξομε τὴν ἀμεριμνησία γιὰ τὰ γήϊνα πράγματα ὅσοι ποθοῦμε νὰ δοῦμε τὸ πρόσωπο τοῦ Θεοῦ, γιὰ νὰ ποῦμε μὲ παρρησία· «βγάλε ἔξω τὴν ψυχή μου ἀπὸ τὴν φυλακή, γιὰ νὰ ἐξομολογηθῶ στὸ ὄνομά σου»[87]. Βιάσου, τρέξε, ὅσο εἶναι μέρα, πρὶν φθάσει ἡ νύχτα, κατὰ τὴν ὁποία πενθοῦν ἐκεῖνοι ποὺ ραθυμοῦν καὶ οἱ ὀκνηροί, μετανοώντας τότε μάταια. Μάθε, ὅτι δὲν μένει ὁ καιρός· καὶ ἂν φθάσει ἡ ὥρα, ὁ ὑπηρέτης δὲν βρίσκει εὐσπλαγχνία. Διότι ποιός τὸν παρακάλεσε γι' αὐτὸν καὶ εἰσακούσθηκε; Εἶναι ἀληθινὸς δοῦλος τοῦ ἀληθινοῦ Δεσπότη, ποὺ πραγματοποιεῖ γνήσια τὰ προστάγματά του.

Ἂς φοβηθοῦμε τὴν φρικωδέστατη ἐκείνη ἡμέρα καὶ ὥρα, κατὰ τὴν ὁποία δὲν θὰ προΐσταται ἀδελφὸς ἢ συγγενής μας οὔτε ἀρχὴ ἢ ἐξουσία οὔτε πλοῦτος καὶ δόξα, ἀλλὰ νά, ὁ ἄνθρωπος καὶ τὸ ἔργο του. Ἂς πουλήσομε τὰ φθαρτὰ πράγματα, ποὺ μᾶς σύρουν στὴν ἄβυσσο τῆς ἀπώλειας καί, ἀφοῦ ἀγοράσομε γιὰ τὸν ἑαυτό μας ἔνδυμα γάμου, νὰ φθάσομε σὲ τελειότητα. Διότι, ἂν φθάσομε σὲ τελειότητα, φθάνομε τὴν τελειότητα τῆς τέλειας κατὰ Θεὸν ἀγάπης ποὺ διώχνει τὸν φόβο, καὶ ψάλλομε μὲ χαρὰ μαζὶ μὲ τὸν Ἀπόστολο Παῦλο «ἡ ἀγάπη δὲν ἐκπί-

γνήσιον, ἴδοιμί σε ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ μου, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Ἀσπάζομαί σε ἐν Κυρίῳ ὀνόματι τοῦ Θεοῦ· ἀσπάζομαί σε ἐν Χριστῷ Ἰησοῦ· ἀσπάζομαί σοι ἐν ἁγίῳ Πνεύματι, τιμιώτατε.

ΨϚΑ'

Ἐρώτησις

Ἄλλος ἐπίσκοπος αἰτῶν ἔπεμψε τὸν αὐτὸν Γέροντα Βαρσανούφιον δοῦναι αὐτῷ παράθεσιν.

Ἀπόκρισις

Τί εἴπω πρὸς τὴν ὑμῶν θεοφιλίαν; Εἴπω ὅτι οὐκ ἔξεστι δούλῳ δοῦναι παράθεσιν τῷ Κυρίῳ αὐτοῦ, ἀλλ' ἀκμὴν οὐκ ἀπηλλάγην τῆς κενοδοξίας μου, ἔχειν ἐμαυτὸν δοῦλον ἐπὶ πάντων. Ἀπορῶ οὖν μὴ εὑρίσκων ἀπολογίαν· εἰς τοῦτο δὲ εὑρίσκω καταφυγεῖν, ὅτι 'συγχώρησόν διὰ τὸν Κύριον, καὶ εὖξαι ὑπὲρ ἐμοῦ ἵνα μὴ κατακριθῶ εἰς τὴν ὑμῶν παρουσίαν καὶ ἵνα γνῶ ὅτι ἐστὶ Θεός, καὶ φροντίσω τῶν αὐτοῦ θείων ἐντολῶν καὶ ἐλεηθῶ.

ΨϚΒ'

Ἐρώτησις

Ἀγῶνος ὄντος περὶ πίστεως, μετεστάλη τις ἐπίσκοπος παρὰ τοῦ βασιλέως καὶ ἠρώτησε τὸν αὐτὸν μέγαν Γέροντα διὰ γράμματος, λέγων, τί δεῖ ποιῆσαι· προσεδόκα γὰρ καὶ διαστροφὴν εὑρίσκειν παρά τινων δυνατῶν κατὰ κόσμον, οὐκ ἐχόντων ὑγιῶς περὶ τὴν πίστιν.

88. Α' Κορ. 13,8.

πτει ποτέ»[88]. Γνήσιο τέκνο μου, εἴθε νὰ σὲ δῶ στὴ βασιλεία τοῦ Θεοῦ, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας.

Σὲ ἀσπάζομαι στὸ ὄνομα τοῦ Κυρίου τοῦ Θεοῦ· σὲ ἀσπάζομαι στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ· σὲ ἀσπάζομαι στὸ ὄνομα τοῦ ἁγίου Πνεύματος, τιμιώτατε.

791

Ἐρώτηση

Ἄλλος ἐπίσκοπος ἔστειλε νὰ παρακαλέσει τὸν ἴδιο Γέροντα Βαρσανούφιο νὰ τοῦ δώσει παραγγελία.

Ἀπόκριση

Τί νὰ πῶ στὴ θεοφιλία σας; Νὰ πῶ ὅτι δὲν εἶναι δυνατὸ στὸ δοῦλο νὰ δώσει παραγγελία στὸν κύριό του, ἀλλ' ἀκόμα δὲν ἀπαλλάχθηκα ἀπὸ τὴν κενοδοξία μου, νὰ θεωρῶ τὸν ἑαυτό μου ὅτι εἶναι δοῦλος ὅλων. Ἀπορῶ λοιπὸν μὴ βρίσκοντας ἀπολογία· βρίσκω μόνο νὰ καταφύγω σ' αὐτό· 'Συγχώρεσέ με στὸ ὄνομα τοῦ Κυρίου καὶ προσευχήσου γιὰ μένα, ὥστε νὰ μὴ κατακριθῶ στὴ δική σας παρουσία, νὰ κατανοήσω ὅτι ὑπάρχει Θεός, καὶ νὰ φροντίσω τὶς θεῖες ἐντολές του, ὥστε νὰ ἐλεηθῶ.

792

Ἐρώτηση

Ἐνῶ γινόταν ἀγώνας γιὰ τὴν πίστη, στάλθηκε κάποιος ἐπίσκοπος ἀπὸ τὸν βασιλιὰ[89] καὶ ἐρώτησε μὲ γράμμα τὸν ἴδιο μεγάλο Γέροντα, λέγοντας, 'Τί πρέπει νὰ κάνει'· διότι περίμενε νὰ βρεῖ ἀτίθεση ἀπὸ μερικοὺς δυνατοὺς κατὰ κόσμο, ποὺ δὲν ἦταν ὑγιεῖς σχετικὰ μὲ τὴν πίστη.

---

89. Βασιλιὰς ἦταν ὁ Ἰουστινιανὸς καὶ ὁ ἀγώνας ἦταν μεταξὺ Ὠριγενισμοῦ καὶ Ὀρθοδόξων.

Ἀπόκρισις

Ἐξ ὧν διδάσκει ἡμᾶς ὁ ὑμέτερος ἄγγελος, εὑρίσκομεν ὅτι μετὰ τῆς ἀναστάσεως τῆς κατὰ Θεόν, ἔσχε Δανιὴλ τὴν φιλίαν τοῦ βασιλέως, καὶ ἔχων τὰς ἐλπίδας εἰς τὸν Θεὸν τὸν σώζοντα τοὺς δούλους αὐτοῦ καὶ ἐγγὺς ὄντα πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ, οὐκ ἐφοβήθη τὴν ἀπειλὴν καὶ ἐπιβουλὴν τοῦ βασιλικοῦ προστάγματος, οὐδὲ ἐθρόησεν αὐτόν· ἀλλά, στηριχθέντα τῇ πίστει τοῦ Χριστοῦ, ὑπερεδόξασεν αὐτὸν ὁ Θεὸς διὰ τῆς πίστεως· καὶ εἰ ἀληθῶς καρδία βασιλέως ἐν χειρὶ Θεοῦ, ὅπου θέλομεν ὀρθοποδοῦντες, κλίνει αὐτὴν ὁ Θεός.

Ἔρρωσο ἐν Κυρίῳ, ἔρρωσο.

ΨϛΓ'

Ἐρώτησις

Ἐπίσκοπος ἐπὶ φιλαργυρίᾳ καὶ ἑτέροις πταίσμασι κατακριθεὶς καὶ ὑπὸ τοῦ λαοῦ διὰ ταῦτα μισούμενος, κατηγορήθη παρὰ τῆς συνόδου τῆς χώρας, καὶ μετὰ τὸν ἔλεγχον ἐχρήσατο παραιτητικοῖς λιβέλλοις καὶ ἀπεκινήθη κοινῇ ψήφῳ τοῦ θρόνου. Οἱ δὲ τῆς πόλεως οἰκήτορες, τρεῖς ἄνδρας κρίνατες ἀξίους εἶναι τῆς ἐπισκοπῆς, ἀμφέβαλλον τίνα δεῖ ἐξ αὐτῶν ἐπιλέξασθαι καὶ ἔπεμψαν ἐρωτῶντες τὸν μέγαν Γέροντα Βαρσανούφιον.

Ἀπόκρισις

Ὑμεῖς μηδένα ἐπιλέξησθε, ἀλλὰ δότε τὸ ψήφισμα τῷ ἐπισκόπῳ καί, ὃν ἂν πληροφορήσῃ αὐτὸν ὁ Θεός, δίδωσιν ὑμῖν.

---

90. Ὁ Βαρσανούφιος χρησιμοποιεῖ ἐδῶ τὴ λέξη ἐπίσκοπος· προφανῶς ὅμως δὲν ἐννοεῖ αὐτὸν ποὺ κατηγορήθηκε καὶ διώχθηκε ἀπὸ τὸν θρόνο, ἀλλὰ

Ἀπόκριση

Ἀπ' ὅσα μᾶς διδάσκει ὁ ἀγγελιοφόρος σας, βρίσκομε ὅτι μαζὶ μὲ τὴν κατὰ Θεὸν ἀνάσταση ὁ Δανιὴλ ἀπέκτησε τὴ φιλία τοῦ βασιλιᾶ, καί, ἔχοντας τὶς ἐλπίδες στὸν Θεὸ ποὺ σώζει τοὺς δούλους του καὶ βρίσκεται κοντὰ σὲ ὅλους ἐκείνους ποὺ τὸν ἐπικαλοῦνται εἰλικρινά, δὲν φοβήθηκε τὴν ἀπειλὴ καὶ τὴν ἐπιβολὴ τοῦ βασιλικοῦ προστάγματος, οὔτε τὸν θορύβησε· ἀλλά, ὄντας στηριγμένος στὴν πίστη τοῦ Χριστοῦ, τὸν ὑπερδόξασε ὁ Θεὸς μὲ τὴν πίστη. Ἂν λοιπὸν ἡ καρδιὰ τοῦ βασιλιᾶ βρίσκεται πραγματικὰ στὸ χέρι τοῦ Θεοῦ, ὅταν ὀρθοποδοῦμε ὁ Θεὸς τὴν κλίνει ὅπου θέλομε.

Ὑγίαινε στὸ ὄνομα τοῦ Κυρίου, ὑγίαινε.

793

Ἐρώτηση

Κάποιος ἐπίσκοπος, ποὺ κατακρίθηκε γιὰ φιλαργυρία καὶ γιὰ ἄλλα πταίσματα καὶ μισήθηκε ἀπὸ τὸν λαὸ γι' αὐτά, κατηγορήθηκε ἀπὸ τὴ σύνοδο τῆς χώρας, καὶ μετὰ τὸν ἔλεγχο, ἂν καὶ χρησιμοποίησε συστατικὰ γράμματα, ὅμως ἀπομακρύνθηκε μὲ κοινὴ ἀπόφαση ἀπὸ τὸν θρόνο. Οἱ κάτοικοι τότε τῆς πόλεως, κρίνοντας ὅτι τρεῖς ἄνδρες εἶναι ἄξιοι τῆς ἐπισκοπῆς, ἀμφέβαλλαν γιὰ τὸ ποιόν πρέπει νὰ διαλέξουν ἀπὸ αὐτοὺς καὶ γι' αὐτὸ ἔστειλαν νὰ ἐρωτήσουν τὸν μεγάλο Γέροντα Βαρσανούφιο.

Ἀπόκριση

Μὴ διαλέξετε ἐσεῖς κανέναν, ἀλλ' ἀφῆστε τὴν ἐκλογὴ στὸν ἀρχιεπίσκοπο[90] καὶ ὅποιον θὰ τὸν πληροφορήσει ὁ Θεὸς θὰ σᾶς δώσει.

τὸν μητροπολίτη τῆς ἐπαρχίας ἐκείνης σύμφωνα μὲ τὸν ιβ' κανόνα τῆς συνόδου τῆς Λαοδικείας, τὸν ὁποῖο ὀνομάζει καὶ Ἀρχιεπίσκοπο παρακάτω, καὶ ἴσως πρόκειται γιὰ τὸν πατριάρχη Ἱεροσολύμων.

ΨϟΔ'

Ἐρώτησις

Ἄλλος φιλόχριστος ἠρώτησε τὸν αὐτὸν Γέροντα.

Ἆρα πάντως δίδωσιν αὐτοῖς ὁ Θεὸς ἕνα ἐξ αὐτῶν;

Ἀπόκρισις

Ἐὰν μετὰ ὁμονοίας καὶ εὐθύτητος καρδίας καὶ κατὰ πίστιν Θεοῦ θέλωσιν, οὐ μόνον ἕνα ἐξ αὐτῶν, ἀλλὰ καὶ ἄγγελον ἐξ οὐρανοῦ ἐὰν αἰτήσωσιν, ὅ ἐστιν ἰσάγγελον ἄνδρα, παρέχει αὐτοῖς ὁ Θεός. Οὐ δύναται γὰρ ψεύσασθαι ὁ εἰπὼν «αἰτεῖτε καὶ δοθήσεται ὑμῖν, πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει»· πρὸς δὲ τοὺς κακῶς αἰτοῦντας εἶπεν· «αἰτεῖτε καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε».

ΨϟΕ'

Ἐρώτησις

Τί οὖν ὅτε ἐν τούτοις ἔστι τις καλλίων τῶν ἄλλων; ἆρα αὐτὸν δίδωσιν ὁ Θεός;

Ἀπόκρισις

Τὸ ψήφισμα τὸ περὶ αὐτῶν ἐὰν δώσωσι τῷ ἀρχιεπισκόπῳ, εἴ τινα βλέπει ὁ Θεὸς ὅτι ὑπὲρ τοὺς ἄλλους ὠφελεῖ αὐτούς, τοῦτον καὶ δίδωσιν· ἐὰν γὰρ λόγου χάριν αὐστηρὸς ᾖ καὶ ἀκμὴν χρήζωσι παιδείας πρὸς ἐπανόρθωσιν, δίδοται αὐτοῖς.

---

91. Ματθ. 7,7–8.

794

Ἐρώτηση

Ἄλλος φιλόχριστος ἐρώτησε τὸν ἴδιο Γέροντα.

Ἄραγε ὁ Θεὸς θὰ τοὺς δώσει ὁπωσδήποτε ἕναν ἀπὸ αὐτούς;

Ἀπόκριση

Αν θέλουν μὲ ὁμόνοια καὶ εὐθύτητα καρδιᾶς καὶ σύμφωνα μὲ τὴν πίστη στὸν Θεό, ὄχι μόνο ἕνα ἀπὸ αὐτούς, ἀλλὰ καὶ ἄγγελο ἂν ζητήσουν ἀπὸ τὸν οὐρανό, δηλαδὴ ἰσάγγελο ἄνδρα, ὁ Θεὸς θὰ τοὺς τὸν δώσει. Διότι δὲν εἶναι δυνατὸ νὰ διαψευσθεῖ ἐκεῖνος ποὺ εἶπε «ζητῆστε, καὶ θὰ σᾶς δοθεῖ, διότι ὅποιος ζητεῖ, παίρνει»[91]· ἐνῶ πρὸς ἐκείνους ποὺ ζητοῦν κακῶς εἶπε, «ζητᾶτε καὶ δὲν παίρνετε, διότι ζητᾶτε κακῶς»[92].

795

Ἐρώτηση

Τί λοιπὸν γίνεται, ὅταν ἀνάμεσα σ' αὐτοὺς ὑπάρχει κάποιος καλύτερος ἀπὸ τοὺς ἄλλους; Ἄραγε αὐτὸν δίνει ὁ Θεός;

Ἀπόκριση

Αν ἀφήσουν στὸν ἀρχιεπίσκοπο τὴν ἀπόφαση ἐκλογῆς τὴ σχετικὴ μ' αὐτούς, ὁ Θεός, ἐκεῖνον ποὺ βλέπει ὅτι θὰ τοὺς ὠφελήσει παραπάνω ἀπὸ τοὺς ἄλλους, αὐτὸν θὰ τοὺς δώσει· διότι, ἂν γιὰ παράδειγμα εἶναι αὐστηρὸς καὶ αὐτοὶ χρειάζονται ἀκόμη παιδεία γιὰ διόρθωση, θὰ τοὺς δώσει αὐτόν.

---

92. Ἰακ. 4,3.

ΨϞS'

Ἐρώτησις

Ἐὰν μερίζηται πόλις ἐκ τῶν τοιούτων καὶ οἱ μὲν κατὰ πίστιν τινὰς αἰτῶσι, οἱ δὲ κατὰ προσπάθειαν, ὦσι δὲ οἱ προβληθέντες ἐκ τῶν δύο μερῶν καλοί, τί ἐνταῦθα γίνεται;

Ἀπόκρισις

Τοῖς κατὰ πίστιν αἰτοῦσι δίδωσιν ὁ Θεός, ἐκείνοις δὲ οὐ δίδωσιν· οὐχ ὡς ἀποβάλλων τοὺς παρ' αὐτῶν προβληθέντας, ἀλλὰ τὴν κακὴν αἴτησιν αὐτῶν.

ΨϞΖ'

Ἐρώτησις

Τί οὖν ὅτε ὁ προβληθεὶς παρὰ τῶν μὴ κατὰ πίστιν αἰτούντων χρησιμώτερος μέλλει εἶναι τοῦ προβληθέντος ὑπὸ τῶν κατὰ πίστιν αἰτούντων;

Ἀπόκρισις

Ὁ Θεὸς ὁ καρδιογνώστης, ἐπιδὼν τὴν προαίρεσιν τῶν καλῶς αἰτούντων, δίδωσιν αὐτοῖς τὸν προβληθέντα παρὰ τῶν ἄλλων, οὐ διὰ τὴν ἐκείνων αἴτησιν τὴν κακῷ λογισμῷ γενομένην, ἀλλὰ διὰ τὴν ἀγαθὴν τούτων προαίρεσιν, ἡδέως μὲν ἐχόντων λαβεῖν τὸν καλλίω, ἐξ ἀγνοίας δὲ μὴ προβαλλομένων αὐτόν.

ΨϞΗ'

Ἐρώτησις

Ἀλλ' εὑρίσκονται καὶ οἱ μὴ ὀρθῷ λογισμῷ αἰτήσαντες,

796

Ἐρώτηση

Ἂν χωρίζεται ἡ πόλη σὲ ὁμάδες ἐξ αἰτίας τους καὶ οἱ πρῶτοι ζητοῦν κάποιους μὲ κριτήριο τὴν πίστη, ἐνῶ ἄλλοι μὲ βάση τὴ συμπάθεια καὶ εἶναι καλοὶ αὐτοὶ ποὺ προβλήθηκαν καὶ ἀπὸ τὰ δύο μέρη, τί γίνεται ἐδῶ;

Ἀπόκριση

Ο Θεὸς δίνει σ' αὐτοὺς ποὺ ζητοῦν μὲ κριτήριο τὴν πίστη, ἐνῶ στοὺς ἄλλους δὲν δίνει· διότι δὲν ἀπορρίπτει ἐκείνους ποὺ προβλήθηκαν ἀπὸ αὐτούς, ἀλλὰ τὴν κακὴ αἴτησή τους.

797

Ἐρώτηση

Τί γίνεται ὅμως ὅταν ἐκεῖνος, ποὺ προβλήθηκε ἀπὸ αὐτοὺς ποὺ δὲν ζητοῦν μὲ κριτήριο τὴν πίστη, πρόκειται νὰ εἶναι χρησιμότερος ἀπὸ αὐτὸν ποὺ προβλήθηκε ἀπὸ ἐκείνους ποὺ ζητοῦν μὲ κριτήριο τὴν πίστη;

Ἀπόκριση

Ο καρδιογνώστης Θεός, γνωρίζοντας τὴν προαίρεση αὐτῶν ποὺ ζητοῦν καλῶς, τοὺς δίνει ἐκεῖνον ποὺ προβλήθηκε ἀπὸ τοὺς ἄλλους, ὄχι ἐξ αἰτίας τῆς αἰτήσεως ἐκείνων ποὺ ἔγινε μὲ κακὸ λογισμό, ἀλλὰ ἐξ αἰτίας τῆς ἀγαθῆς προαιρέσεως αὐτῶν· εὐχαρίστως δηλαδὴ θὰ ἤθελαν νὰ λάβουν τὸν καλύτερο, δὲν τὸν προβάλλουν ὅμως ἀπὸ ἄγνοια.

798

Ἐρώτηση

Συμβαίνει ὅμως καὶ ἐκεῖνοι ποὺ δὲ ζήτησαν μὲ ὀρθὸ λογι-

καὶ αὐτοὶ παρ' ἀξίαν ἀπολαβόντες τὸν ἀγαθόν· τί οὖν γίνεται;

Ἀπόκρισις

Διὰ τοὺς ἀξίους ἐλεεῖ ὁ Θεὸς καὶ τοὺς ἀναξίους· αὐτὸς γὰρ «βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους», ἐφανέρωσε δὲ τοῦτο ἡμῖν διὰ τῆς θείας Γραφῆς λέγων πρὸς Ἀβραάμ· «ἐὰν εὕρω δέκα δικαίους ἐν τῇ πόλει οὐ μὴ ἀπολέσω τὸν τόπον δι' αὐτούς». Εἰ δὲ διὰ δέκα δικαίους τὴν πόλιν ἤφιε, πόσῳ μᾶλλον διὰ τοσούτους φείσεται καὶ τῶν ἄλλων;

Ψϟθʹ

Ἐρώτησις

Τί οὖν, ὅτε καλῇ μὲν πίστει προβάλλονται, καὶ ὅμως οὐδεὶς τῶν προβληθέντων μέλλει χρήσιμος αὐτοῖς εἶναι; ἆρα ἐξ ἑαυτοῦ δίδωσιν ὁ Θεός τινα;

Ἀπόκρισις

Ἐπειδὴ ἄξιοί εἰσιν εὐεργεσίας, παρορᾷ ὁ Θεὸς τὸ ψήφισμα, καὶ τῇ ὥρᾳ πάντως σπείρει τι εἰς αὐτοὺς ἕτερον ψηφίσασθαι, ἢ εἰς τὸν ἔχοντα τὴν ἐξουσίαν τῆς χειροτονίας ἄλλον δοῦναι αὐτοῖς χρησιμώτερον τῶν προβληθέντων παρ' αὐτῶν.

Ωʹ

Ἐρώτησις

Τί οὖν, ὅτε πάντες μὲν οἱ αἰτοῦντες οὐκ ὀρθῷ λογισμῷ αἰτοῦσι, ἀγαθὸν δὲ ἄρα προβάλλονται; ἆρα δίδοται αὐτοῖς ἢ οὔ;

---

93. Βλ. Γεν. 18,32.

σμὸ ν' ἀπολαμβάνουν καὶ αὐτοὶ χωρὶς νὰ τὸ ἀξίζουν τὸν καλό· τί γίνεται τότε;

᾿Απόκριση

Χάριν τῶν ἀξίων ὁ Θεὸς ἐλεεῖ τοὺς ἀναξίους· διότι αὐτὸς βρέχει σὲ δικαίους καὶ ἀδίκους· καὶ αὐτὸ μᾶς τὸ φανέρωσε μὲ τὴ θεία Γραφὴ λέγοντας πρὸς τὸν ᾿Αβραάμ· «ἂν βρῶ δέκα δικαίους στὴν πόλη δὲν θὰ καταστρέψω τὸν τόπο γιὰ χάρη τους»[93]· ἂν θὰ ἄφηνε λοιπὸν τὴν πόλη ἐξαιτίας τῶν δέκα δικαίων, πόσο περισσότερο θὰ λυπηθεῖ καὶ τοὺς ἄλλους ἐξαιτίας τῶν τόσων πολλῶν;

799

Ἐρώτηση

Τί γίνεται ὅμως ὅταν, προβάλλονται βέβαια μὲ καλὴ πίστη, ὅμως κανένας ἀπὸ αὐτοὺς ποὺ προβλήθηκαν δὲν πρόκειται νὰ τοὺς εἶναι χρήσιμος; Ἄραγε ὁ Θεὸς ἀπὸ μόνος του δίνει κάποιον;

᾿Απόκριση

Ἐπειδὴ εἶναι ἄξιοι εὐεργεσίας, ὁ Θεὸς παραβλέπει τὴν ἀπόφαση ἐκλογῆς, καὶ κατὰ τὴν ὥρα ἐκείνη τῆς ἀποφάσεως σπείρει ὁπωσδήποτε κάτι σ' αὐτούς, ὥστε νὰ ψηφίσουν ἄλλον, ἢ σ' ἐκεῖνον ποὺ ἔχει τὴν ἐξουσία τῆς χειροτονίας, ὥστε νὰ δώσει ἄλλον σ' αὐτοὺς χρησιμότερον ἀπὸ ἐκεῖνον ποὺ προβλήθηκε ἀπὸ αὐτούς.

800

Ἐρώτηση

Τί γίνεται ἐπίσης, ὅταν ὅλοι αὐτοὶ ποὺ ζητοῦν ἐπίσκοπο δὲν ζητοῦν μὲ ὀρθὸ λογισμό, ἀλλ' ὅμως προβάλλουν καλὸν ὑποψήφιο; Ἄραγε τοὺς τὸν δίνει ἢ ὄχι;

Ἀπόκρισις

Ὁ προγνώστης Θεός, ἐὰν ἴδῃ ὅτι μέλλουσι μετανοεῖν, δίδωσιν αὐτοῖς αὐτόν· ἄξιοι γὰρ εὑρίσκονται διὰ τὴν μέλλουσαν μετάνοιαν· ἐὰν δὲ ἴδῃ ὅτι ἀμετανόητοί εἰσιν, οὐ δίδωσιν αὐτοῖς τὸν τοιοῦτον, διὰ τὴν αὐτῶν ἀναξιότητα.

ΩΑ΄

Ἐρώτησις

Εἶπας, πάτερ, ὅτι κἂν μερισθῇ πόλις, ἀπολαύουσι καὶ οἱ ἀνάξιοι τοῦ διδομένου ἀγαθοῦ διὰ τοὺς καλῶς αἰτοῦντας. Πῶς οὖν ἔσται τὸ εἰρημένον τῇ Γραφῇ, ὅτι «πᾶσα βασιλεία μερισθεῖσα ἐφ' ἑαυτὴν οὐ σταθήσεται»; Ἰδοὺ γὰρ ἐνταῦθα μερίζεται ἡ πόλις, καὶ διὰ τῶν καλῶν ἡ πᾶσα σταθήσεται.

Ἀπόκρισις

Μερισθῆναι λέγεται, τὸ ἐκκλῖναι τὰ δύο μέρη εἰς τὸ κακόν· τότε γὰρ πληροῦται τό, «οὐ σταθήσεται», δηλονότι εἰς τὸ ἀγαθόν· τοῦτο δὲ οὐ ποιεῖ μερισμόν· ἡ γὰρ διδαχὴ τῶν Ἀποστόλων μία ἐστί· καὶ ὁ Ἀπόστολος εἶπεν· «εἰ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω». Τί οὖν; λέγομεν ὅτι ἐκ τούτου ἐμερίσθη ἡ Ἐκκλησία καὶ οὐ σταθήσεται; μὴ γένοιτο! εἶπε γὰρ ὁ Κύριος, «πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς»· ἀλλ' ὁ μὴ στήκων ἐν τῷ μέρει τοῦ ἀγαθοῦ οὗτος ἐμερίσθη ἐξ αὐτοῦ, ὁ δὲ στήκων οὐ μεμέρισται.

ΩΒ΄

Ἐρώτησις

Κατὰ γοῦν τὴν δοθεῖσαν αὐτοῖς ἀπόκρισιν παρὰ τοῦ γέροντος, οὕτως οἱ τῆς πόλεως ἐποίησαν, καὶ τοὺς τρεῖς ἐψηφίσαντο, καὶ ἐδόθη αὐτοῖς ἐπίσκοπος ἅγιος καὶ εὐάρε-

94. Ματθ. 12,25. 95. Α΄ Κορ. 7,15. 96. Ματθ. 16,18.

Ἀπόκριση

Ὁ προγνώστης Θεός, ἂν δεῖ ὅτι πρόκειται νὰ μετανοήσουν, τοὺς τὸν δίνει· διότι βρίσκονται ἄξιοι γιὰ τὴ μέλλουσα μετάνοια· ἂν ὅμως δεῖ ὅτι εἶναι ἀμετανόητοι, δὲν τοὺς τὸν δίνει, ἐξαιτίας τῆς ἀναξιότητάς τους.

801

Ἐρώτηση

Εἶπες, πάτερ, ὅτι κι ἂν χωρισθεῖ ἡ πόλη σὲ ὁμάδες θ' ἀπολαύσουν καὶ οἱ ἀνάξιοι τὸν διδόμενο καλὸ χάριν ἐκείνων ποὺ ζήτησαν καλῶς. Πῶς τότε θὰ βρεῖ ἐφαρμογὴ ἐκεῖνο ποὺ λέχθηκε στὴ Γραφή, ὅτι «κάθε βασιλεία ποὺ χωρίσθηκε ἀπὸ μόνη της δὲν θὰ σταθεῖ»[94]; Διότι νά, ἐδῶ χωρίζεται ἡ πόλη σὲ ὁμάδες καὶ ἐξαιτίας τῶν καλῶν ὅλη θὰ σταθεῖ.

Ἀπόκριση

Χωρισμὸς σὲ ὁμάδες λέγεται, τὸ νὰ ἐκκλίνουν τὰ δύο μέρη στὸ κακό· διότι τότε πραγματοποιεῖται τὸ «δὲν θὰ σταθεῖ», δηλαδὴ στὸ ἀγαθό. Αὐτὸ ὅμως δὲν δημιουργεῖ χωρισμό· διότι ἡ διδασκαλία τῶν Ἀποστόλων εἶναι μία, καὶ ὁ Ἀπόστολος εἶπε «ἂν ὁ ἄπιστος χωρίζεται, ἂς χωρισθεῖ»[95]. Τί λοιπόν; Λέμε ὅτι ἀπ' αὐτὸ χωρίσθηκε ἡ Ἐκκλησία καὶ δὲν θὰ σταθεῖ; Μὴ γένοιτο! Διότι ὁ Κύριος εἶπε, «οἱ πύλες τοῦ ἅδη δὲν θὰ ὑπερισχύσουν αὐτῆς»[96]· ἀλλ' ἐκεῖνος ποὺ δὲν στέκεται στὸ μέρος τοῦ ἀγαθοῦ, αὐτὸς χωρίσθηκε ἀπ' αὐτό. Ἐνῶ αὐτὸς ποὺ στέκεται, δὲν ἔχει χωρισθεῖ.

802

Ἐρώτηση

Σύμφωνα λοιπὸν μὲ τὴν ἀπόκριση ποὺ τοὺς δόθηκε ἀπὸ τὸν Γέροντα, ἔτσι ἔκαναν οἱ κάτοικοι τῆς πόλεως, καὶ ψήφισαν καὶ τοὺς τρεῖς, καὶ δόθηκε σ' αὐτοὺς ἐπίσκοπος

στος τῷ Θεῷ. Ὁ δὲ πρῶτος, τοῖς χρήμασι πεποιθώς, ἔδραμεν ἐπὶ τὸ Βυζάντιον, αἰτῶν λαβεῖν τὸν θρόνον, καὶ φήμης διαδραμούσης ὅτι κατώρθωσε, πάντες ἐγένοντο ἐναγώνιοι, καὶ ἔπεμψαν ἐρωτῶντες τὸν Γέροντα, τί δεῖ ποιῆσαι· εὐλαβοῦντο γὰρ γνωρίσαι τῷ βασιλεῖ διὰ τὴν ἀποτυχίαν καὶ τὴν συμβαίνουσαν τῇ Ἐκκλησίᾳ ζημίαν. Καὶ ἐδήλωσεν αὐτοῖς ὁ Γέρων.

Ἀπόκρισις

Πέμψατε δέησιν πληροφοροῦσαν τὸν βασιλέα περὶ τῆς ἐκβολῆς ἐκείνου, ὅτι ὀρθῶς ἐγένετο, καὶ τὰ ἴσα τῶν παραιτητικῶν αὐτοῦ λιβέλλων, καὶ εὐχαριστίαν ἐπὶ τῇ προβολῇ τούτου, ὅτι ἐκ Θεοῦ καὶ οὐκ ἐξ ἀνθρώπων ἐγένετο· καὶ οὕτω πληροφορεῖται ὁ βασιλεὺς κόψαι τὸν λογισμὸν ἐξ αὐτοῦ· οἱ δὲ κακῶς θέλοντες ποιῆσαι πρᾶγμα, οὐκ ἔχουσιν, εἰ μὴ κακῶς ἀπολέσαι τὰ χρήματα αὐτῶν, καὶ ὕστερον αἰσχυνθῆναι. Περὶ δὲ τῶν ἀναλωμάτων, καθὼς εἶπεν ἡ Γραφή, «ἄπελθε Σαμψὼν μετὰ τῶν ἀλλοφύλων».

ΩΓ'

Ἐρώτησις

Ταῦτα ἀκούσαντες ἐρρᾳθύμησαν πέμψαι τὴν δέησιν, καὶ κατέλαβεν ἐκεῖνος τὴν μητρόπολιν πρὸς τὸν ἄρχοντα μετὰ βασιλικῆς κελεύσεως, ὥστε ἀναλαβεῖν τὸν θρόνον· καὶ γενομένου πολλοῦ θορύβου καὶ ταραχῆς ἐν τῇ πόλει, ἔπεμψαν προσπίπτοντες τῷ Γέροντι περὶ τούτου. Ὁ δὲ ἐδήλωσεν αὐτοῖς οὕτω.

Ἀπόκρισις

Κακῶς ἐποιήσατε ῥᾳθυμήσαντες γνωρίσαι τῷ βασιλεῖ· μισεῖ γὰρ ὁ Θεὸς τὴν ῥᾳθυμίαν· ὅμως ἐν τῷ ὀνόματι τοῦ Κυρίου λέγω, ὅτι 'τὴν πόρταν τῆς πόλεως ἐὰν

ἅγιος καὶ εὐάρεστος στὸν Θεό. Ὁ πρῶτος, ἐπειδὴ εἶχε ἐμπιστοσύνη στὰ χρήματα ἔτρεξε στὸ Βυζάντιο, ζητώντας νὰ πάρει τὸ θρόνο, καὶ ἐπειδὴ διαδόθηκε ἡ φήμη ὅτι τὸ κατόρθωσε, ὅλοι κυριεύθηκαν ἀπὸ ἀγωνία. Ἔστειλαν τότε νὰ ἐρωτήσουν τὸν Γέροντα, τί πρέπει νὰ κάνουν· διότι δίσταζαν νὰ τὸ γνωστοποιήσουν στὸν βασιλιά, φοβούμενοι τὴν ἀποτυχία καὶ τὴ ζημία ποὺ συμβαίνει στὴν Ἐκκλησία· καὶ ὁ Γέροντας τοὺς δήλωσε.

Ἀπόκριση

Στεῖλτε ἀναφορὰ καὶ πληροφορῆστε τὸν βασιλιὰ γιὰ τὴν ἀπόρριψη ἐκείνου, ὅτι σωστὰ ἔγινε, ἐπίσης καὶ ἀντίγραφα τῶν ἀπολογητικῶν λιβέλλων του, καθὼς καὶ εὐχαριστία γιὰ τὴν προβολὴ αὐτοῦ, ὅτι ἔγινε ἀπὸ τὸν Θεὸ καὶ ὄχι ἀπὸ τοὺς ἀνθρώπους. Ἔτσι ὁ βασιλιὰς θὰ πληροφορηθεῖ ὥστε νὰ κόψει τὸν λογισμὸ ἀπ' αὐτόν. Ἐκεῖνοι ὅμως ποὺ θέλουν νὰ κάνουν κάποιο κακό, δὲν μποροῦν νὰ κάνουν τίποτε ἄλλο, παρὰ νὰ χάσουν κακῶς τὰ χρήματά τους καὶ ὕστερα νὰ ντροπιασθοῦν. Ὅσο γιὰ ἐκεῖνα ποὺ ξόδεψε, ὅπως εἶπε ἡ Γραφή, «πήγαινε Σαμψὼν μὲ τοὺς ἀλλοφύλους».

803

Ἐρώτηση

Ἀφοῦ ἄκουσαν αὐτὰ ραθύμησαν νὰ στείλουν τὴν ἀναφορὰ καὶ κατέλαβε ἐκεῖνος τὴ μητρόπολη μὲ βασιλικὴ διαταγὴ πρὸς τὸν ἄρχοντα, ὥστε νὰ ἀναλάβει τὸν θρόνο. Ἐπειδὴ ἔγινε πολὺς θόρυβος καὶ ταραχὴ στὴν πόλη, ἔστειλαν νὰ παρακαλέσουν τὸν Γέροντα γι' αὐτό. Αὐτὸς τοὺς δήλωσε τὰ ἑξῆς.

Ἀπόκριση

Κακῶς κάνατε ποὺ ραθυμήσατε νὰ τὰ γνωρίσετε στὸν βασιλιά· διότι ὁ Θεὸς μισεῖ τὴ ραθυμία. Ὅμως σᾶς λέγω στὸ ὄνομα τοῦ Κυρίου, ὅτι, ἂν φθάσει στὴν πόρ-

φθάση, εἰς τὴν πόλιν οὐκ ἐμβαίνει· οὐ συγχωρεῖ γὰρ αὐτῷ ὁ Θεός'.

Ταῦτα εἰπόντος τοῦ Γέροντος καὶ τοῦ ἄρχοντος τὴν πόλιν καταλαβόντος ἐπὶ τῷ πληρῶσαι τὴν βασιλικὴν προσταγὴν καὶ πάντων ἐν ἀθυμίᾳ καὶ φόβῳ τυγχανόντων, ἐξαίφνης κατέλαβε φήμη τὸν τοῦ βασιλέως μηνύουσα θάνατον καὶ πάντα τὰ προσδοκώμενα διελύθη. Καὶ ἀνεχώρησεν ἄπρακτος, εἰς μάτην αὐτῷ τῶν χρημάτων δαπανηθέντων, καθὼς προεῖπεν ὁ Γέρων, αὐτοῖς γὰρ ἐβεβαιώθη τοῖς ἔργοις ἡ πρόρρησις· «ὃ γὰρ ἔδησεν ἐπὶ τῆς γῆς, ἐδέθη ἐν τῷ οὐρανῷ», κατὰ τὸν λόγον τοῦ Κυρίου.

ΩΔ'

Ἐρώτησις

Ὁ χειροτονηθεὶς ἐπίσκοπος, ἔχων ἑαυτὸν ἀνάξιον τῆς ἱερατικῆς λειτουργίας καὶ ἀνίκανον πρὸς τὴν διοίκησιν τῶν ἐκκλησιαστικῶν πραγμάτων, ἐλογίσατο ἀναχωρῆσαι καὶ ἔπεμψεν ἐρωτῶν τὸν αὐτὸν μέγαν Γέροντα περὶ τούτου.

Ἀπόκρισις

Χαίροις ἐν Κυρίῳ, δοῦλε Θεοῦ καὶ ἱερουργὲ τῶν ἁγίων μυστηρίων. Γινώσκεις ὅτι ὁ ἅγιος Παῦλος ὁ Ἀπόστολος γράφων, ἔλεγεν· «ἀδελφοί, ἕκαστος ἐν ᾧ ἐκλήθη, ἐν τούτῳ μενέτω παρὰ τῷ Θεῷ»· κἀγὼ πιστεύω ὅτι νεύματι Θεοῦ ἐγένου καὶ οὐκ εἶ μισθωτός, ἀλλὰ ποιμήν. Μὴ οὖν θελήσῃς ἀποστῆναι, ἵνα μὴ αὐτὸν παροργίσῃς· αὐτὸς γὰρ εἶπεν· «ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι». Μὴ οὖν δειλανθῇς· γέγραπται γάρ, ὅτι μετὰ τὴν τελευτὴν

97. Ἐδῶ ἴσως πρόκειται γιὰ τὸν αὐτοκράτορα Ἰουστῖνο Α'.
98. Ματθ. 16,19.

τα τῆς πόλεως, στὴν πόλη δὲν μπαίνει· διότι ὁ Θεὸς δὲν τοῦ τὸ ἐπιτρέπει.

Ἐνῶ ὁ Γέροντας εἶπε αὐτὰ καὶ ὁ ἄρχοντας κατέλαβε τὴν πόλη γιὰ νὰ πραγματοποιήσει τὴ βασιλικὴ προσταγὴ καὶ ἐνῶ ὅλοι διακατέχονταν ἀπὸ ραθυμία καὶ φόβο, ξαφνικὰ ἔφθασε φήμη ποὺ μήνυε τὸν θάνατο τοῦ βασιλιᾶ[97] καὶ ὅλα τὰ προσδοκώμενα διαλύθηκαν. Ἀναχώρησε τότε ἄπρακτος, ἀφοῦ δαπανήθηκαν στὰ χαμένα τὰ χρήματα ἀπὸ αὐτόν, ὅπως προεῖπε ὁ Γέροντας, διότι ἐπιβεβαιώθηκε ἡ πρόρρηση μὲ τὰ ἴδια τὰ γεγονότα· «αὐτὸ ποὺ ἔδεσε στὴ γῆ, εἶναι δεμένο στὸν οὐρανό»[98], σύμφωνα μὲ τὸ λόγο τοῦ Κυρίου.

804

Ἐρώτηση

Ὁ ἐπίσκοπος ποὺ χειροτονήθηκε, ἐπειδὴ θεωροῦσε τὸν ἑαυτό του ἀνάξιο τῆς ἱερατικῆς λειτουργίας καὶ ἀνίκανο γιὰ τὴ διοίκηση τῶν ἐκκλησιαστικῶν πραγμάτων, σκέφθηκε νὰ φύγει καὶ ἔστειλε νὰ ἐρωτήσει τὸν ἴδιο μεγάλο Γέροντα γι' αὐτό.

Ἀπόκριση

Εἴθε νὰ χαίρεις ἐν Κυρίῳ, δοῦλε τοῦ Θεοῦ καὶ ἱερουργὲ τῶν ἁγίων μυστηρίων. Γνωρίζεις ὅτι ὁ ἅγιος Παῦλος ὁ Ἀπόστολος ἔλεγε στὴν ἐπιστολή· «ἀδελφοί, ὁ καθένας νὰ μείνει σὲ ὅ,τι κλήθηκε, κοντὰ στὸν Θεό»[99]· καὶ ἐγὼ πιστεύω ὅτι ἔγινες μὲ νεῦμα Θεοῦ καὶ δὲν εἶσαι μισθωτός, ἀλλὰ ποιμένας. Μὴ θελήσεις λοιπὸν νὰ φύγεις, γιὰ νὰ μὴ τὸν παροργίσεις· διότι αὐτὸς εἶπε, «ὁ οὐρανὸς καὶ ἡ γῆ θὰ παρέλθουν, τὰ λόγια μου ὅμως δὲν θὰ παρέλθουν»[1]. Μὴ δειλιάσεις λοιπόν, διότι ἔχει γραφεῖ, ὅτι μετὰ τὸν θάνατο τοῦ Μωϋσῆ, ἐπειδὴ ὁ Ἰησοῦς τοῦ

99. Α΄ Κορ. 7,24.
1. Ματθ. 24,35.

Μωϋσέως, φοβηθέντος Ἰησοῦ τοῦ Ναυῆ εἰσενεγκεῖν τὸν λαὸν εἰς τὴν γῆν τῶν ἐπαγγελιῶν, εἶπεν ὁ ἄγγελος πρὸς αὐτόν· «ἀνδρίζου καὶ ἴσχυε, μὴ φοβοῦ· ὅτι καθὼς ἤμην μετὰ Μωϋσέως, οὕτως ἔσομαι καὶ μετὰ σοῦ». Καὶ παρ' ἐμοῦ οὖν τοῦ ταλαιπώρου, ἄκουσον τὸν αὐτὸν λόγον· "Ἀνδρίζου καὶ ἴσχυε ἐν Κυρίῳ".

ΩΕ'

Ἐρώτησις

Ὁ αὐτὸς ἠρώτησε τὸν ἄλλον γέροντα.

Τίνας δεῖ, πάτερ, χειροτονεῖν κληρικούς; ἢ ποῖον ἔχοντας βίον;

Ἀπόκρισις

Ἀξίους τοῦ Θεοῦ καὶ καλοὺς δεῖ χειροτονεῖν, ὥστε λειτουργεῖν τὰ ἅγια θυσιαστήρια τοῦ Θεοῦ, μάλιστα τοὺς μαρτυρουμένους ὑπὸ ἄλλων ἀνθρώπων πολλῶν, κατὰ τὴν γραφήν. Τοὺς τοιούτους ὀφείλετε σπουδάζειν χειροτονεῖν καὶ κατακρίνειν αὐτοὺς μετὰ τὴν χειροτονίαν, ὅτι τὸ κρῖμα τῆς ἐκκλησίας ἔχει ὁ Θεὸς ἀπαιτῆσαι παρ' ὑμῶν, ἐὰν ἀναχωρήσητε ἀπ' αὐτῆς· καὶ τοῦτο ποιοῦντες δεικνύετε τῷ Θεῷ τὴν προαίρεσιν ὑμῶν, ὅτι καλοὺς ἀνθρώπους θέλετε χειροτονεῖν ταῖς ἐκκλησίαις τοῦ Θεοῦ.

ΩΣ'

Ἐρώτησις

Ἐὰν ἅγιοι πατέρες μαρτυρήσωσι περί τινος ὡς ἀξίου χειροτονηθῆναι, οὐκ ὀφείλει ἀρκεσθῆναι τῇ αὐτῶν μαρτυρίᾳ, μὴ δεόμενος τῆς ἀξιώσεως τῶν πολλῶν;

Ναυῆ φοβήθηκε νὰ ὁδηγήσει τὸν λαὸ στὴ γῆ τῶν ἐπαγγελιῶν, ὁ ἄγγελος τοῦ εἶπε, «γίνε ἀνδρεῖος καὶ δυνατός, μὴ φοβᾶσαι· διότι, ὅπως ἤμουν μὲ τὸν Μωϋσῆ, ἔτσι θὰ εἶμαι καὶ μὲ σένα»[2]. Καὶ ἀπὸ μένα λοιπὸν τὸν ταλαίπωρο ἄκουσε τὸν ἴδιο λόγο· 'Γίνε ἀνδρεῖος καὶ δυνατὸς ἐν Κυρίῳ'.

805

Ἐρώτηση

Ὁ ἴδιος ἐρώτησε τὸν ἄλλο γέροντα.

Πάτερ, ποιούς πρέπει νὰ χειροτονῶ κληρικούς, ἢ ποιόν τρόπο ζωῆς νὰ ἔχουν;

Ἀπόκριση

Πρέπει νὰ χειροτονεῖς τοὺς ἄξιους καὶ καλοὺς τοῦ Θεοῦ, ὥστε νὰ λειτουργοῦν τὰ ἅγια θυσιαστήρια τοῦ Θεοῦ, καὶ μάλιστα ἐκείνους ποὺ μαρτυροῦνται ἀπὸ πολλοὺς ἄλλους ἀνθρώπους σύμφωνα μὲ τὴ Γραφή. Ὀφείλετε νὰ φροντίζετε νὰ χειροτονεῖτε τοὺς τέτοιους καὶ νὰ τοὺς ὑπενθυμίζετε μετὰ τὴ χειροτονία, ὅτι ὁ Θεὸς πρόκειται νὰ ἀπαιτήσει ἀπὸ σᾶς τὸ κρῖμα τῆς ἐκκλησίας, ἂν ἀναχωρήσετε ἀπὸ αὐτήν. Κάνοντας αὐτό, δείχνετε στὸν Θεὸ τὴν προαίρεσή σας, ὅτι θέλετε νὰ χειροτονεῖτε καλοὺς ἀνθρώπους στὶς ἐκκλησίες τοῦ Θεοῦ.

806

Ἐρώτηση

Ἐὰν οἱ ἅγιοι πατέρες μαρτυρήσουν γιὰ κάποιον ὅτι εἶναι ἄξιος νὰ χειροτονηθεῖ, δὲν πρέπει ὁ ἐπίσκοπος νὰ ἀρκεσθεῖ στὴ μαρτυρία τους, μὴ χρειαζόμενος τὴν ἀξίωση τῶν πολλῶν;

2. Δευτ. 31,6· 7. Α΄ Παρλ. 22,13.

Ἀπόκρισις

Δεῖ ἀρκεσθῆναι τῇ μαρτυρίᾳ τῶν πατέρων, κατὰ τὸ θέλημα γὰρ τοῦ Θεοῦ λαλοῦσι, καὶ τοιούτους θέλει ὁ Θεὸς τοὺς λειτουργοὺς αὐτοῦ· ἐὰν δὲ μετὰ τὴν τοιαύτην μαρτυρίαν εὕρῃς τὸν λογισμὸν ἀφ' ἑαυτοῦ δυσχεραίνοντα, τοῦτο ζιζάνιόν ἐστι τοῦ διαβόλου.

ΩΖ'

Ἐρώτησις

Τί οὖν, ὅτε μετὰ τὴν μαρτυρίαν τῶν πατέρων παραιτεῖται ἐκεῖνος δέξασθαι τὴν χειροτονίαν, ἢ καὶ χειροτονηθεὶς ἀνεχώρησεν;

Ἀπόκρισις

Ἐὰν παραιτῆται ἐπενεχθῇ αὐτῷ ἀνάγκη· ἐὰν δὲ καὶ μετὰ τὴν ἀνάγκην τὴν χειροτονίαν φύγῃ, οὐκ ἔστι τοῦτο μέμψις τοῖς εἰποῦσι περὶ αὐτοῦ, ἀλλ' ἡ μέμψις αὐτῷ ἐστιν, ὅτι ἠθέτησε τὸ θέλημα τοῦ Θεοῦ· ὀφείλει γὰρ δοκιμάσαι καὶ κοπιάσαι εἰς τὸ πρᾶγμα, καὶ ὅταν ἴδῃ ἑαυτὸν μὴ δυνάμενον, πάλιν ὡς ἠρτυμένος ἅλατι Θεοῦ, ἐρωτήσει τοὺς ἁγίους καὶ κατὰ γνώμην αὐτῶν ποιήσει· πολλοὶ γὰρ τῶν ἁγίων παρῃτήσαντο καὶ ἠναγκάσθησαν ὑπὸ τοῦ Θεοῦ. Καὶ γὰρ Μωϋσῆς εἶπεν· «ἴδε προχείρισαι ἄλλον»· καὶ ὁ Ἰερεμίας φησί· «νεώτερός εἰμι καὶ οὐ δύναμαι λαλῆσαι. Καὶ ἄλλοι τῶν πατέρων ἔφυγαν τὴν χειροτονίαν, ἁρπαγέντες δὲ καὶ χειροτονηθέντες, ἐβάστασαν τὴν λειτουργίαν διὰ τὸ ὄνομα τοῦ Θεοῦ. Ὁ δὲ ἀναγκαζόμενος εἰς τοῦτο ἐλθεῖν καὶ παραιτούμενος, τὴν ὑπακοὴν φεύγει, καὶ ἡ Γραφὴ λέγει· «ἀγαθὴ ἡ ὑπακοὴ ὑπὲρ θυσίαν».

---

3. Βλ. Ἐξ. 4,13.
4. Ἰερ. 1,6.

Ἀπόκριση

Πρέπει νὰ ἀρκεσθεῖ στὴ μαρτυρία τῶν πατέρων, διότι μιλοῦν σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ, καὶ ὁ Θεὸς θέλει τοὺς λειτουργούς του τέτοιους· ἂν ὅμως μετὰ ἀπὸ αὐτὴ τὴ μαρτυρία βρεῖς τὸν λογισμὸ νὰ δυσανασχετεῖ ἀπὸ μόνος του, αὐτὸ εἶναι ζιζάνιο τοῦ διαβόλου.

807

Ἐρώτηση

Τί λοιπὸν πρέπει νὰ γίνει ὅταν μετὰ τὴ μαρτυρία τῶν πατέρων ἐκεῖνος ἀρνεῖται νὰ δεχθεῖ τὴ χειροτονία ἢ καί, ἀφοῦ χειροτονήθηκε, ἀναχώρησε;

Ἀπόκριση

Ἂν ἀρνεῖται θὰ τοῦ ἐπιβληθεῖ ἀναγκαστικά· ἂν ὅμως καὶ μετὰ τὴν ἀνάγκη ἀποφύγει τὴ χειροτονία, αὐτὸ δὲν ἀποτελεῖ μομφὴ γι' αὐτοὺς ποὺ τὸν ὑπέδειξαν, ἀλλ' ἡ μομφὴ ἀνήκει σ' αὐτόν, ποὺ ἀθέτησε τὸ θέλημα τοῦ Θεοῦ· διότι ὀφείλει νὰ δοκιμάσει καὶ νὰ κοπιάσει στὸ πρᾶγμα, καὶ ὅταν δεῖ τὸν ἑαυτό του νὰ μὴ μπορεῖ, πάλι, σὰν ἀρτυμένος μὲ τὸ ἁλάτι τοῦ Θεοῦ, νὰ ἐρωτήσει τοὺς ἁγίους καὶ νὰ κάνει σύμφωνα μὲ τὴ γνώμη τους· διότι πολλοὶ ἀπὸ τοὺς ἁγίους ἀρνήθηκαν, ἀλλ' ἀναγκάσθηκαν ἀπὸ τὸν Θεὸ νὰ δεχθοῦν. Πράγματι ὁ Μωϋσῆς εἶπε· «νά, διόρισε ἄλλον»[3]· καὶ ὁ Ἱερεμίας λέγει· «εἶμαι νεώτερος καὶ δὲν μπορῶ νὰ μιλήσω»[4]. Καὶ ἄλλοι ἀπὸ τοὺς πατέρες ἀπόφυγαν τὴ χειροτονία, ὅταν ὅμως ἁρπάχθηκαν καὶ χειροτονήθηκαν, βάσταξαν τὴ λειτουργία γιὰ τὸ ὄνομα τοῦ Θεοῦ[5]. Ἐκεῖνος ὅμως ποὺ ἐξαναγκάζεται νὰ δεχθεῖ αὐτὸ τὸ ἀξίωμα καὶ ἀρνεῖται, ἀποφεύγει τὴν ὑπακοή, καὶ ἡ Γραφὴ λέγει· «ἡ ὑπακοὴ εἶναι καλὴ περισσότερο ἀπὸ τὴ θυσία»[6].

5. Π. Χ. ὁ Γρηγόριος ὁ Θεολόγος.
6. Α' Βασ. 15,22.

Ἐὰν δὲ κατανοήσῃ τις ἄλλους ἡσυχάζοντας καὶ μὴ συντυγχάνοντάς τινι τὸ σύνολον, οὐκ ὀφείλει λογίσασθαι περὶ αὐτῶν τι τοιοῦτον, ὥστε ἐλθεῖν εἰς τὸ μέσον τῶν ἀνθρώπων. Ὅταν δὲ τις συντυγχάνῃ καὶ γενομένης χρείας οὐ παραιτεῖται εἰσελθεῖν καὶ εἰς κώμας καὶ πόλεις καὶ μαρτυρηθῇ ὅτι καλός ἐστι καὶ ἐπιτήδειος, τοὺς τοιούτους ὀφείλουσιν οἱ ἐπίσκοποι καὶ ἁρπάζειν καὶ χειροτονεῖν. Οὗτοι γὰρ δύνανται οὐ μόνον τὴν ἑαυτῶν ψυχὴν ὠφελῆσαι, ἀλλὰ καὶ ἄλλων· διὰ τοῦτο γὰρ παρήγγειλεν ὁ Ἀπόστολος Τίτῳ «καταστῆσαι κατὰ πᾶσαν ἐκκλησίαν πρεσβυτέρους»· δηλονότι ἀξίους τοῦ πράγματος, οἷος καὶ ὁ Τιμόθεος ἦν. Καὶ ὁ ἅγιος δὲ Γρηγόριος καὶ οἱ κατ' αὐτὸν ἐξ ἀνάγκης ἐγένοντο. Καὶ ἐὰν ἐρευνήσωμεν, καὶ ἄλλοι πολλοὶ εὑρίσκονται ἐπὶ τῶν χρόνων ἡμῶν δοῦλοι τοῦ Θεοῦ τὸ αὐτὸ παθόντες, ὅμως περισσότερον θλιβέντες ὑπέμειναν τὸν κόπον, φοβούμενοι ἀθετῆσαι τὸ θέλημα τοῦ Θεοῦ, εἰ δὲ ἀκρίτως τις παραιτήσηται, εὐχῶν χρεία, ἵνα μὴ θλίψῃ ἡ παραίτησις τὴν αὐτοῦ ψυχήν. Συμβαίνει γὰρ διὰ δικαιώματος τὸν σατανᾶν ὑποσκελίσαι τὸν ἄνθρωπον, ὃν καταργήσαι Κύριος μακρὰν ἀπὸ τῶν ψυχῶν ἡμῶν καὶ ἀπὸ πάντων τῶν φοβουμένων αὐτόν. Ἀμήν.

ΩΗ'

Ἐρώτησις

Ὁ αὐτὸς ἐν φόβῳ Θεοῦ θέλων χειροτονῆσαι διακόνους τῇ ἐκκλησίᾳ καὶ προβαλέσθαι τινὰς εἰς τὰ ἐκκλησιαστικὰ ὀφφίκια, ἀγνοῶν τίνας κατὰ Θεὸν ἐπιλέξηται, ἔπεμψε γνῶσιν τῷ αὐτῷ γέροντι, περιέχουσαν τὰ ὀνόματα τῶν κληρικῶν, ἵνα οὓς βούλεται αὐτὸς ἐπιλέξηται· τοῦ δὲ γέροντος ἐπιλεξαμένου τινὰς ἐξ αὐτῶν δοκοῦντας κατὰ ἄνθρωπον ἀνεπιτηδείους εἶναι πρὸς τὴν διοίκησιν, θαυμάσας ὁ ἐπίσκοπος ἠρώτησεν αὐτὸν περὶ τούτων.

7. Τίτ. 1,5.

Ἂν ὅμως κάποιος σκεφθεῖ ἄλλους ποὺ ἡσυχάζουν καὶ δὲν συναναστρέφονται κανένα ἀπολύτως, δὲν πρέπει νὰ σκεφθεῖ κάτι τέτοιο γι' αὐτούς, ὥστε νὰ ἔρθουν μέσα στοὺς ἀνθρώπους. Ἐνῶ, ἂν κάποιος συναναστρέφεται ἄλλους καὶ ὅταν παρουσιάζεται ἀνάγκη δὲν ἀποφεύγει νὰ εἰσέλθει καὶ σὲ κωμοπόλεις καὶ σὲ πόλεις καὶ δοθεῖ μαρτυρία ὅτι εἶναι καλὸς καὶ κατάλληλος, οἱ ἐπίσκοποι πρέπει νὰ ἁρπάζουν καὶ νὰ τοὺς χειροτονοῦν αὐτούς. Διότι αὐτοὶ μποροῦν νὰ ὠφελήσουν ὄχι μόνο τὴ δική τους ψυχή, ἀλλὰ καὶ τῶν ἄλλων. Γι' αὐτὸ ὁ Ἀπόστολος παρήγγειλε στὸν Τίτο «νὰ χειροτονήσει πρεσβυτέρους σὲ κάθε Ἐκκλησία»[7]· δηλαδὴ ἄξιους τοῦ πράγματος, ὅπως ἦταν καὶ ὁ Τιμόθεος. Ἀλλὰ καὶ ὁ ἅγιος Γρηγόριος καὶ οἱ σύγχρονοί του ἀπὸ ἀνάγκη ἔγιναν. Καὶ ἂν ἐρευνήσομε, καὶ ἄλλοι πολλοὶ βρίσκονται στὰ χρόνια μας δοῦλοι τοῦ Θεοῦ ποὺ ἔπαθαν τὸ ἴδιο, ὅμως, ἂν καὶ τοὺς βρῆκαν περισσότερες θλίψεις, ὑπέμειναν τὸν κόπο, ἐπειδὴ φοβοῦνταν ν' ἀθετήσουν τὸ θέλημα τοῦ Θεοῦ. Ἂν ὅμως κάποιος ἀρνηθεῖ ἀπερίσκεπτα, εἶναι ἀναγκαῖες οἱ προσευχές, γιὰ νὰ μὴ θλίψει ἡ παραίτηση τὴν ψυχή του. Διότι συμβαίνει ὁ Σατανᾶς μὲ τὴν αὐθαιρεσία νὰ ὑποσκελίσει τὸν ἄνθρωπο, τὸν ὁποῖο Σατανᾶ εἴθε νὰ καταργήσει ὁ Κύριος καὶ νὰ τὸν κρατᾶ μακριὰ ἀπὸ τὶς ψυχές μας καὶ ἀπὸ ὅλους ὅσους τὸν φοβοῦνται. Γένοιτο.

808

Ἐρώτηση

Ὁ ἴδιος ἐπίσκοπος, θέλοντας νὰ χειροτονήσει διακόνους στὴν ἐκκλησία καὶ νὰ προβάλει μερικοὺς στὰ ἐκκλησιαστικὰ ἀξιώματα, ἐπειδὴ ἀγνοοῦσε ποιούς νὰ διαλέξει κατὰ Θεόν, ἔστειλε εἴδηση στὸν ἴδιο γέροντα, ποὺ περιεῖχε τὰ ὀνόματα τῶν κληρικῶν, γιὰ νὰ διαλέξει αὐτὸς ὅποιους θέλει, καὶ ὁ γέροντας διάλεξε μερικοὺς ἀπὸ αὐτοὺς ποὺ φαινόταν μὲ κριτήρια ἀνθρώπου ὅτι εἶναι ἀκατάλληλοι γιὰ τὴ διοίκηση. Ὁ ἐπίσκοπος ἀπόρησε τότε καὶ τὸν ἐρώτησε γι' αὐτοὺς καὶ αὐτὸς ἀποκρίθηκε ὡς ἑξῆς.

Ἀπόκρισις

Μὴ γὰρ ἀπ' ἐμαυτοῦ εἶπόν τι; εὐχὴν ἐποιησάμην καὶ εἴ τι ἐπληροφόρησεν ὁ Θεὸς εἶπον· οὐχ ὅτι δὲ ἱκανός εἰμι ἐρρέθη ἡ ἀπόκρισις αὕτη δι' ἐμοῦ· χρείας γὰρ γενομένης, καὶ τὸ στόμα τῆς ὄνου ἤνοιξεν ὁ Θεός.

ΩΘ'

Ἐρώτησις

Ὁ αὐτὸς ἔπεμψεν ἐρωτῶν τὸν αὐτὸν γέροντα Ἰωάννην.

Πῶς δύνανται οὗτοι ἀπαντῆσαι εἰς τὰ πράγματα ἢ εἰς ἀποκρίσεις ἀναγκαίας πεμφθῆναι, ἰδιῶται ὄντες τῷ λόγῳ καὶ εὐκαταφρόνητοι τοῖς ἀνθρώποις γινόμενοι;

Ἀπόκρισις

Εἰπὲ τῷ κυρίῳ τῷ ἐπισκόπῳ· Ἐὰν γένῃ κατὰ τὸν Ἀβραάμ, ἐκ τῶν λίθων τούτων δύναται ὁ Θεὸς ἐγεῖραι σοι τέκνα, καὶ ἐὰν σπουδάσῃς ἔχειν ὅλην σου τὴν ἐλπίδα εἰς τὸν Θεόν, ἀλάλους καὶ ἀνοήτους ἀνθρώπους ἐὰν καταστήσῃς οἰκονόμους καὶ ἐκδίκους, φοβερωτέρους τῶν ἀρχόντων ποιεῖ αὐτοὺς ὁ Θεός· κἂν εἰς ἀποκρίσεις αὐτοὺς πέμψῃς, πάντα ὅσα θέλεις ἀνύεις δι' αὐτῶν, εἰς δόξαν τοῦ ὀνόματος αὐτοῦ· ἐὰν δὲ μή, ῥήτορα συνήγορον ἐὰν πέμψῃς, ὡς ὑπάγει ἔρχεται. Πολεμάρχαι ἦσαν οἱ υἱοὶ Ἰσραὴλ καὶ ὅτε κατεύθυνον τὴν καρδίαν αὐτῶν, ἐνίκων τοὺς ἐχθρούς, καὶ ὅτε ἠμέλουν τῆς σωτηρίας αὐτῶν, ἡττῶντο ὑπὸ τῶν ἐχθρῶν αὐτῶν.

ΩΙ'

Ἐρώτησις

Καὶ πῶς δύναμαι γενέσθαι κατὰ τὸν Ἀβραάμ;

---

8. Ἀριθμ. 22,28.

Ἀπόκριση

Μήπως εἶπα τίποτε ἀπὸ μόνος μου; ἔκανα προσευχὴ καὶ εἶπα ὅ,τι μὲ πληροφόρησε ὁ Θεός. Αὐτὴ ἡ ἀπόκριση δόθηκε μέσω ἐμοῦ ὄχι διότι εἶμαι ἱκανός· ἀφοῦ ὅταν παρουσιάσθηκε ἀνάγκη ὁ Θεὸς ἄνοιξε καὶ τὸ στόμα τῆς ὄνου[8].

809

Ἐρώτηση

Ὁ ἴδιος ἔστειλε νὰ ἐρωτήσει τὸν ἴδιο γέροντα Ἰωάννη.

Πῶς μποροῦν αὐτοὶ ν' ἀντιμετωπίζουν τὶς καταστάσεις ἢ ν' ἀπαντοῦν σὲ ἀναγκαῖες ἀποκρίσεις ποὺ θὰ στέλλονται, τὴ στιγμὴ ποὺ εἶναι ἀμαθεῖς στὸν λόγο καὶ ἔγιναν εὐκαταφρόνητοι γιὰ τοὺς ἀνθρώπους;

Ἀπόκριση

Πὲς στὸν κύριο τὸν ἐπίσκοπο· Ἂν γίνεις σὰν τὸν Ἀβραάμ, ὁ Θεὸς μπορεῖ ἀπὸ καὶ ἀπὸ τὶς ἴδιες τὶς πέτρες νὰ σοῦ δώσει τέκνα· καὶ ἂν φροντίσεις νὰ ἔχεις ὅλη τὴν ἐλπίδα σου στὸν Θεό, ἀκόμη καὶ ἂν καταστήσεις οἰκονόμους καὶ ὑπερασπιστὲς ἀνθρώπους ἄλαλους καὶ ἀνόητους, ὁ Θεὸς τοὺς κάνει φοβερότερους ἀπὸ τοὺς ἄρχοντες· κι ἂν στείλεις αὐτοὺς γιὰ ἀποκρίσεις, ὅλα ὅσα θέλεις τὰ κατορθώνεις μ' αὐτοὺς πρὸς δόξα τοῦ ὀνόματός του· ἂν ὅμως δὲν συμβαίνει αὐτὸ καὶ ρήτορα ἀκόμη νὰ στείλεις συνήγορο, ἔτσι ὅπως θὰ πάει ἔτσι καὶ θὰ γυρίσει. Οἱ υἱοὶ τοῦ Ἰσραὴλ ἦταν πολεμάρχες καὶ ὅταν κατεύθυναν σωστὰ τὴν καρδιά τους, νικοῦσαν τοὺς ἐχθρούς, ὅταν ὅμως ἀμελοῦσαν γιὰ τὴ σωτηρία τους, νικοῦνταν ἀπὸ τοὺς ἐχθρούς τους.

810

Ἐρώτηση

Καὶ πῶς εἶναι δυνατὸ νὰ γίνω ὅμοιος μὲ τὸν Ἀβραάμ;

Ἀπόκρισις

Οὐκ εἶπον "Ἐὰν μὴ γένῃ κατὰ τὸν Ἀβραὰμ εἰς πάντα', ἀλλ' εἰς τὸ κόψαι μόνον τὸ θέλημά σου ὡς ἐκεῖνος καὶ θῦσαι τὸν υἱὸν αὐτοῦ τῇ προαιρέσει· καὶ γὰρ πολλὰ ἦν τὰ κατορθώματα αὐτοῦ, καὶ ἐὰν μὴ δυνάμεθα εἰς πάντα αὐτῷ ὁμοιωθῆναι, ἀλλ' εἰς φανερὰ δυνάμεθα.

ΩΙΑ'

Ἐρώτησις

Πέπεισμαι, ὅτι ἃ λέγετε παρὰ τοῦ Θεοῦ εἰσι καὶ ὀφείλω πάντως ποιῆσαι, ἀλλ' ἐπειδὴ νομίζω πάντας τοὺς τῆς ἐκκλησίας ἐν τούτῳ εἰς ἐμὲ σκανδαλίζεσθαι καὶ βαρεῖται ἐκ τούτου ὁ λογισμός, τί κελεύεις; ἵνα αὐτοὺς πάντας ποιήσω, ἢ τοὺς νομιζομένους εἶναι ἡμῖν χρησίμους εἰς τὰ πράγματα;

Ἀπόκρισις

Ὁ Κύριος εἶπεν, «εἴ τις οὐ μισεῖ πατέρα, μητέρα, γυναῖκα, τέκνα, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχήν, οὐ δύναταί μου εἶναι μαθητής», τὸ δὲ μισεῖν τὴν ψυχήν ἐστιν, ἵνα σὺν τῇ ἀσκήσει κόψῃ τις καὶ τὰ ἴδια θελήματα. Καὶ ὁ τοιοῦτος οὔτε λόγοις ἀνθρώπων οὔτε ἀνθρωπαρεσκείᾳ προσέχει, ἀλλ' ἐρωτήμασι θείοις καὶ ἀποκρίσεσι διὰ στόματος ἁγίων. Πιστεύειν δὲ δεῖ τὸν ἐρωτῶντα, ὅτι κατὰ τὴν καρδίαν αὐτοῦ ἐμβάλλει ὁ Θεὸς εἰς τὸ στόμα τοῦ ἐρωτωμένου· φησὶ γάρ· «δώῃ σοι κατὰ τὴν καρδίαν σου». Ἐφανερώθημεν οὖν, ὅτι ἄνθρωποί ἐσμεν μὴ δυνάμενοι βαστάσαι ὀνειδισμοὺς καὶ θλίψεις ἀνθρώπων· κἂν γὰρ θελήσῃ τις πάντας οἰκοδομεῖν οὐ δύναται· οὐδὲ γὰρ πάντες τὸ αὐτὸ θέλουσιν.

---

9. Λουκᾶ 14,26. 10. Ψαλμ. 19,4.

Ἀπόκριση

Δὲν εἶπα, 'ἂν δὲν γίνεις ὅμοιος μὲ τὸν Ἀβραὰμ σὲ ὅλα', ἀλλὰ στὸ νὰ κόψεις μόνο τὸ θέλημά σου, ὅπως ἐκεῖνος, ὥστε νὰ θυσιάσει τὸν γιό του κατὰ τὴν προαίρεση. Πραγματικὰ ἦταν πολλὰ τὰ κατορθώματά του, καὶ ἂν δὲν μποροῦμε νὰ ὁμοιωθοῦμε σὲ ὅλα μ' αὐτόν, ὅμως μποροῦμε σὲ ὅσα εἶναι φανερά.

811

Ἐρώτηση

Ἔχω πεισθεῖ, ὅτι ὅσα λέτε εἶναι ἀπὸ τὸν Θεὸ καὶ ὀφείλω ὁπωσδήποτε νὰ τὰ κάνω, ἀλλ' ἐπειδὴ νομίζω ὅτι ὅλοι οἱ ἄνθρωποι τῆς ἐκκλησίας σκανδαλίζονται γι' αὐτὸ μὲ μένα καὶ βαρύνεται ἀπὸ αὐτὸ ὁ λογισμός, τί διατάζεις, νὰ τοὺς κάνω ὅλους αὐτοὺς κληρικούς, ἢ μόνο ἐκείνους ποὺ θεωροῦνται ὅτι μᾶς εἶναι χρήσιμοι στὰ πράγματα;

Ἀπόκριση

Ὁ Κύριος εἶπε· «ἂν κάποιος δὲν μισεῖ τὸν πατέρα, τὴ μητέρα, τὴ γυναίκα, τὰ παιδιά, ἀκόμη καὶ τὴν ψυχή του, δὲν μπορεῖ νὰ εἶναι μαθητής μου»[9]· τὸ νὰ μισεῖ κανεὶς τὴν ψυχὴ σημαίνει μαζὶ μὲ τὴν ἄσκηση νὰ κόψει καὶ τὰ θελήματά του. Καὶ ὁ τέτοιος δὲν προσέχει οὔτε τὰ λόγια τῶν ἀνθρώπων, οὔτε τὴν ἀνθρωπαρέσκεια, ἀλλὰ τὶς θεῖες ἐρωτήσεις καὶ τὶς ἀποκρίσεις μὲ τὸ στόμα τῶν ἁγίων. Ἐκεῖνος ποὺ ἐρωτᾶ πρέπει νὰ πιστεύει, ὅτι ὁ Θεὸς ἀνάλογα μὲ τὴν καρδιά του βάζει καὶ τὰ λόγια στὸ στόμα ἐκείνου ποὺ ἐρωτᾶται. Διότι λέγει· «εἴθε νὰ σοῦ δώσει σύμφωνα μὲ τὴν καρδιά σου»[10]. Ἀποδειχθήκαμε λοιπόν, ὅτι εἴμαστε ἄνθρωποι ποὺ δὲν μποροῦμε νὰ βαστάξομε ὀνειδισμοὺς καὶ θλίψεις ἀνθρώπων· διότι, κι ἂν ἀκόμη θελήσει κάποιος νὰ οἰκοδομήσει ὅλους, δὲν μπορεῖ, ἀφοῦ δὲν θέλουν ὅλοι τὸ ἴδιο.

Ἠρώτησας περὶ τελειότητος, τουτέστι τὸ ρίψαι τὸ πᾶν τῷ Θεῷ ἐπιλέξασθαι οὓς θέλει, καὶ ὅτε ἠκούσαμεν οὐκ ἐβαστάσαμεν, καὶ οὐκ οἴδαμεν, ὅτι οὐχ ὡς βλέπει ὁ Θεὸς βλέπουσιν οἱ ἄνθρωποι· οἱ γὰρ ἄνθρωποι τὰ φαινόμενα διακρίνουσι καὶ ἔχουσι μεμιγμένον καὶ τὸ θέλημα, ὁ δὲ Θεὸς τὰ μὴ φαινόμενα καὶ τὰ βάθη τῆς καρδίας καὶ βλέπει τὰ μέλλοντα ὡς ὄντα.

Ἐπεὶ οὖν πολλὰ ὠφέλησαν τὸ γνῶναι, ὅτι ἀκμὴν μένει ἐν ἡμῖν τὸ ἀνθρώπινον, ἵνα μάθωμεν τὰ μέτρα ἡμῶν ποῦ ἐσμεν καὶ ταπεινωθῶμεν, ἵνα λάβωμεν τὴν χάριν τῶν ταπεινῶν, ἐδεήθημεν τοῦ Θεοῦ, ἵνα, καθὼς ἔδωκε τῷ προφήτῃ Ἰεζεκιὴλ ἀντὶ τῶν ἀνθρωπίνων βολβίτων βόλβιτα βοῶν, καὶ τοῖς Ἰσραλίταις βασιλέα, ὅτε εἶδεν αὐτὸς τοῦτο θέλοντας, οὕτω συγκατέλθῃ τῷ θελήματι τῆς ἀσθενείας ἡμῶν. Καὶ ἰδού, συγκατέβη ἡ ἀγαθότης αὐτοῦ καὶ ἔκοψεν ἡμῖν τὸ θέλημα αὐτοῦ. Ἐὰν οὖν μεμψώμεθα ἑαυτοὺς λέγοντες, ὅτι 'ἀκμὴν λάχανα ἐσθίομεν', καταξιοῖ ἡμᾶς ὁ Θεὸς τῆς στερεᾶς τροφῆς, ἥτις ἐστὶ τῶν τελείων ἐν Χριστῷ. Ἀμήν.

ΩΙΒ'

Ἐρώτησις

Ἐπειδὴ νοτάριον ἔχω εὐλαβῆ καὶ χρήσιμον καὶ μαρτυρούμενον, ὀκνῶ δὲ χειροτονῆσαι αὐτόν, ἵνα μὴ σκανδαλίσω τινάς, ὡς ἴδιον ποιήσας, τί κελεύεις ποιήσω;

Ἀπόκρισις

Περὶ τοῦ νοταρίου οὐ καλῶς ἐλογίσω· καὶ γὰρ εἰ σαπρὸς καὶ ἀποίητος ἦν καὶ μὴ μαρτυρούμενος, καλῶς ἂν ἔλεγες· εἰ δὲ ὡς καλὸς καὶ πεποιημένος μαρτυρεῖται, μὴ διὰ δικαιώματος παρέλθῃς τὴν ἐντολὴν τοῦ Ἀποστόλου λέγοντος, τοὺς τοιούτους ποιεῖν. Τοῦτο δὲ ἵνα μάθητε, ὅτι ὁ ποιῶν

Ἐρώτησες γιὰ τελειότητα, δηλαδὴ ν' ἀφήσεις τὸ πᾶν στὸν Θεὸ γιὰ νὰ διαλέξει αὐτὸς ὅποιους θέλει· ὅταν ὅμως ἀκούσαμε δὲν βαστάξαμε, καὶ δὲν γνωρίζομε ὅτι οἱ ἄνθρωποι δὲν βλέπουν ὅπως βλέπει ὁ Θεός· διότι οἱ ἄνθρωποι διακρίνουν μόνο ἐκεῖνα ποὺ φαίνονται καὶ ἔχουν ἀναμιγμένο καὶ τὸ θέλημα, ἐνῶ ὁ Θεὸς διακρίνει ἐκεῖνα ποὺ δὲν φαίνονται, καὶ τὰ βάθη τῆς καρδιᾶς, καὶ βλέπει τὰ μέλλοντα ὅπως εἶναι.

Ἐπειδὴ λοιπὸν πολλὰ ὠφέλησαν νὰ γνωρίσομε ὅτι ἀκόμα μένει σὲ μᾶς τὸ ἀνθρώπινο θέλημα, γιὰ νὰ μάθομε τὰ μέτρα μας, ποῦ βρισκόμαστε δηλαδὴ καὶ νὰ ταπεινωθοῦμε, ὥστε νὰ λάβομε τὴ χάρη τῶν ταπεινῶν, παρακαλέσαμε τὸν Θεό, ὅπως ἔδωσε στὸν προφήτη Ἰεζεκιὴλ ἀντὶ τῶν ἀνθρώπινων κοπριῶν κοπριὲς βοδιῶν, καὶ στοὺς Ἰσραηλίτες βασιλιά, ὅταν τοὺς εἶδε νὰ τὸ θέλουν αὐτό, ἔτσι νὰ δείξει συγκατάβαση στὸ θέλημα τῆς ἀσθένειάς μας. Καὶ νά, ἔδειξε συγκατάβαση ἡ ἀγαθότητά του καὶ χάρισε σ' ἐμᾶς τὸ θέλημά του. Ἂν λοιπὸν κατακρίνομε τοὺς ἑαυτούς μας λέγοντας, ὅτι ἀκόμα τρῶμε λάχανα, μᾶς καταξιώνει ὁ Θεὸς νὰ λάβομε τὴ στερεὴ τροφή, ἡ ὁποία εἶναι, μὲ τὴ βοήθεια τοῦ Χριστοῦ, τῶν τελείων. Γένοιτο.

812

Ἐρώτηση

Ἐπειδὴ ἔχω ἕναν εὐλαβῆ καὶ χρήσιμο καὶ μαρτυρημένο νοτάριο, διστάζω ὅμως νὰ τὸν χειροτονήσω, γιὰ νὰ μὴ σκανδαλίσω μερικοὺς κάνοντας τὸ δικό μου θέλημα, τί διατάζεις νὰ κάνω;

Ἀπόκριση

Γιὰ τὸν νοτάριο δὲν σκέφθηκες σωστά· διότι, ἂν ἦταν σαπρὸς καὶ ἄχρηστος καὶ μὴ μαρτυρημένος, σωστὰ θὰ μποροῦσες νὰ ἐρωτήσεις, ἂν ὅμως μαρτυρεῖται σὰν καλὸς καὶ χρήσιμος, νὰ μὴ παραβεῖς αὐθαίρετα τὴν ἐντολὴ τοῦ Ἀποστόλου ποὺ λέγει, νὰ χειροτονεῖς αὐτοὺς τοὺς ἀνθρώπους.

πρᾶγμα κατὰ φόβον Θεοῦ, μὴ κλίνων τὴν καρδίαν πρὸς τὰ ἀνθρώπινα, τούτῳ, ἐὰν παρακολουθήσῃ σκάνδαλον, οὐ μένει οὔτε βλάπτει τινά· τὸ γὰρ σκάνδαλον τοῦτο τοῦ φθόνου ἐστὶ τοῦ διαβόλου. Οὐ γὰρ ποιεῖ καρποὺς καλοὺς κακὸν δένδρον, ὡς οὐδὲν τὸ καλὸν κακούς.

Παρακαλῶ συγχωρήσατέ μοι διὰ τὸν Κύριον, καὶ εὔξασθε ὑπὲρ ἐμοῦ.

ΩΙΓ'

Ἐρώτησις

Μοναχός τις ἀπὸ σχολαστικῶν ἐζήτει χειροτονηθῆναι πρεσβύτερος ἐν τῇ ἐκκλησίᾳ τῆς ἁγίας πόλεως, καὶ συνδρομῇ τινων συναρπαγεὶς ὁ ἐπίσκοπος ἐχειροτόνησεν αὐτὸν διάκονον, προσέχων τῷ ὀνόματι τοῦ σχολαστικοῦ, παρεκαλεῖτο δὲ καὶ πρεσβύτερον αὐτὸν χειροτονῆσαι. Καὶ μεταμεληθεὶς ἐπὶ τῷ γενομένῳ, ἔπεμψεν ἐρωτῶν τὸν αὐτὸν γέροντα, εἰ καλῶς ἐποίησεν ἐπὶ τῇ πρώτῃ χειροτονίᾳ τῆς διακονίας, καὶ εἰ δεῖ πρεσβύτερον αὐτὸν ποιῆσαι.

Ἀπόκρισις

Ἀπὸ τῆς ἄρτι ὃ γέγονε, γέγονε· μὴ οὖν λυπηθῇς περὶ τούτου· δυνατὸς γάρ ἐστιν ὁ Θεὸς κατὰ τὸ θέλημα αὐτοῦ ἐνεγκεῖν τὸν ἀδελφὸν εἰς ἐπίγνωσιν τῆς ἀληθείας. Περὶ δὲ πρεσβυτερίας ἐν τῷ νῦν καιρῷ μὴ συναρπαγῇς ποιῆσαι αὐτόν· ἐὰν γὰρ δείξῃ καρποὺς ἀξίους τοῦ πράγματος, τότε πληροφορεῖ ὁ Θεὸς περὶ αὐτοῦ· οὐκ ἔστι γὰρ μακρὰν ἀφ' ἡμῶν. Οὐκ ὀφείλεις δὲ προσέχειν τῷ ὀνόματι τοῦ σχολαστικοῦ ἢ τῇ τοῦ κόσμου μόνῃ σοφίᾳ· ἐὰν γὰρ μὴ ἔχῃ ἄνθρωπος τὴν ἄνωθεν πνευματικὴν σοφίαν, εἰς μάτην ἔχει ταύτην· ἐὰν δὲ καὶ ταύτην ἔχῃ κᾀκείνην, μακάριός ἐστιν ὁ τοιοῦτος. Φησὶ γὰρ «πᾶς γραμμα-

Καὶ αὐτό, γιὰ νὰ μάθετε ὅτι ἐκεῖνος ποὺ κάνει κάτι μὲ φόβο Θεοῦ, χωρὶς νὰ κλίνει τὴν καρδιά του στὰ ἀνθρώπινα, ἂν τὸν ἀκολουθήσει σκάνδαλο, αὐτὸ δὲν μένει οὔτε βλάπτει κάποιον, διότι τὸ σκάνδαλο αὐτὸ προέρχεται ἀπὸ τὸν φόβο τοῦ διαβόλου. Τὸ κακὸ δένδρο δὲν κάνει καλοὺς καρπούς, ὅπως οὔτε τὸ καλὸ κακούς.

Παρακαλῶ, συγχωρέστε με στὸ ὄνομα τοῦ Κυρίου καὶ προσευχηθεῖτε γιὰ μένα.

813

Ἐρώτηση

Κάποιος μοναχὸς ἀπὸ τοὺς σχολαστικοὺς ζητοῦσε νὰ χειροτονηθεῖ πρεσβύτερος στὴν ἐκκλησία τῆς ἁγίας πόλεως καὶ μὲ τὴ βοήθεια μερικῶν παρασύρθηκε ὁ ἐπίσκοπος καὶ τὸν χειροτόνησε διάκονο, δίνοντας σημασία στὸ ὄνομα τοῦ σχολαστικοῦ. Ἀλλὰ τὸν παρακαλοῦσαν νὰ τὸν χειροτονήσει καὶ πρεσβύτερο. Αὐτὸς τότε, μεταμελημένος γι' αὐτὸ ποὺ ἔγινε, ἔστειλε νὰ ἐρωτήσει τὸν ἴδιο γέροντα ἂν ἔκανε καλὰ γιὰ τὴν πρώτη χειροτονία τῆς διακονίας, καὶ ἂν πρέπει νὰ τὸν κάνει πρεσβύτερο.

Ἀπόκριση

Ὅ,τι ἔγινε ὥς τώρα, ἔγινε· μὴ λυπηθεῖς λοιπὸν γι' αὐτό· διότι ὁ Θεὸς εἶναι δυνατὸς νὰ φέρει τὸν ἀδελφὸ σύμφωνα μὲ τὸ θέλημά του σὲ ἐπίγνωση τῆς ἀληθείας. Γιὰ τὴν πρεσβυτερία ὅμως κατὰ τὸν τωρινὸ τουλάχιστο καιρὸ μὴ παρασυρθεῖς νὰ τὸν κάνεις· ἂν δείξει καρποὺς ἄξιους τοῦ πράγματος, τότε ὁ Θεὸς θὰ σὲ πληροφορήσει γι' αὐτο· δὲν βρίσκεται μακριὰ ἀπὸ μᾶς. Δὲν πρέπει νὰ προσέχεις τὸ ὄνομα τοῦ σχολαστικοῦ ἢ μόνο τὴ σοφία τοῦ κόσμου· διότι, ἂν ὁ ἄνθρωπος δὲν ἔχει τὴν οὐράνια πνευματικὴ σοφία, ἀνώφελα ἔχει αὐτήν· ἂν ὅμως ἔχει καὶ αὐτὴν καὶ ἐκείνην, αὐτὸς εἶναι μακάριος. Διότι λέγει «κάθε γραμματικὸς ποὺ μαθήτευσε στὴ βασιλεία

τεὺς μαθητευθεὶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ὅμοιός ἐστιν ἀνθρώπῳ πλουσίῳ ἐκβάλλοντι ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά». Βλέπε δὲ μὴ παντὶ ἀνέμῳ περιφέρου· «φθείρουσι γὰρ ἤθη χρηστά, ὁμιλίαι κακαί».

ΩΙΔ'

Ἐρώτησις

Ἐὰν δὲ ἀγνοῶ τίνας δεῖ χειροτονῆσαι ἐν ταῖς ἐκκλησίαις τῶν κτημάτων, τί ὀφείλω ποιῆσαι;

Ἀπόκρισις

Μαρτυρήσουσιν οἱ ἀπὸ τοῦ κτήματος, καὶ πιστεύων τῇ μαρτυρίᾳ αὐτῶν καὶ τὸ κρῖμα τῶν μαρτυριῶν ρίπτων ἐπάνω αὐτῶν, χειροτόνησον τοὺς παρ' αὐτῶν προβαλλομένους· καὶ αὐτοὶ μὲν ὄψονται, σὺ δὲ ἀθῷος ἔσῃ.

ΩΙΕ'

Ἐρώτησις

Ἐὰν ἔχῃ ἡ κώμη τοὺς ἀρκοῦντας κληρικοὺς καὶ μαρτυρῶσιν οἱ τῆς κώμης περὶ ἄλλων, θέλοντες καὶ αὐτούς, ἆρα δεῖ ἀνέχεσθαι καὶ αὐτῶν καὶ ποιεῖν ὑπὲρ τὴν χρείαν;

Ἀπόκρισις

Ἐὰν ἔχῃ ἡ ἐκκλησία ἱκανοὺς πλέον τῆς χρείας, οὐκ ὀφείλετε ποιῆσαι, ἵνα μὴ καὶ σύγχυσις γένηται· καὶ ὅπου εἰσὶν ἀρκούντως, οὐ χρὴ ἀνέχεσθαι τοῦ λαοῦ μαρτυροῦντος περὶ ἄλλων. Τί γάρ; ἐὰν ἔχῃ ἡ κώμη ἄλλους δέκα ἀξίους,

---

11. Ματθ. 13,52.
12. Βλ. Ἐφ. 4,14.
13. Α' Κορ. 15,33.

τῶν οὐρανῶν, εἶναι ὅμοιος μὲ πλούσιο ἄνθρωπο ποὺ βγάζει ἀπὸ τὸν θησαυρό του καινούργια καὶ παλαιά»[11]. Πρόσεχε λοιπὸν νὰ μὴ παρασύρεσαι μὲ κάθε ἄνεμο[12]· διότι «οἱ κακὲς συναναστροφὲς φθείρουν τὰ καλὰ ἤθη»[13].

814

Ἐρώτηση

Ἂν ὅμως ἀγνοῶ ποιούς πρέπει νὰ χειροτονήσω στὶς ἐκκλησίες τῶν χωριῶν, τί πρέπει νὰ κάνω;

Ἀπόκριση

Θὰ δώσουν μαρτυρία ἐκεῖνοι ποὺ εἶναι ἀπὸ τὸ χωριό, καὶ σύ, ἔχοντας ἐμπιστοσύνη στὴ μαρτυρία τους καὶ ρίχνοντας πάνω τους τὸ κρῖμα τῶν μαρτυριῶν, χειροτόνησε ἐκείνους ποὺ προβάλλονται ἀπὸ αὐτούς· καὶ αὐτοὶ βέβαια θὰ εἶναι ὑπόλογοι, ἐνῶ ἐσὺ θὰ εἶσαι ἀθῶος.

815

Ἐρώτηση

Ἂν ἡ κωμόπολη ἔχει κληρικοὺς ποὺ τῆς ἀρκοῦν καὶ οἱ κάτοικοι τῆς κωμόπολης δίνουν μαρτυρία γιὰ ἄλλους, θέλοντας καὶ αὐτοὺς νὰ γίνουν, ἄραγε πρέπει νὰ δεχθῶ νὰ τοὺς χειροτονήσω καὶ αὐτούς, κάνοντας περισσότερους ἀπὸ ἐκείνους ποὺ χρειάζονται;

Ἀπόκριση

Ἂν ἡ ἐκκλησία ἔχει πολλοὺς κληρικοὺς καὶ περισσότερους ἀπὸ ἐκείνους ποὺ χρειάζεται, δὲν πρέπει νὰ τοὺς χειροτονήσετε, γιὰ νὰ μὴ γίνει σύγχυση. Ὅπου εἶναι ἀρκετοί, δὲν πρέπει νὰ ἀνέχεσθε ὅταν ὁ λαὸς δίνει μαρτυρία γιὰ

μαρτυροῦντος τοῦ λαοῦ, ὀφείλουσι χειροτονεῖσθαι; Οὐχί· ἀλλὰ πάντα μετὰ καταστάσεως δεῖ γίνεσθαι· εἰ δὲ χρείαν ἔχουσιν ἀληθῶς ἄλλου κληρικοῦ καὶ μαρτυροῦσι περὶ αὐτοῦ, κᾂν παραιτῆται, ὀφείλετε ποιῆσαι.

ΩΙΣΤ'

Ἐρώτησις

Κώμη χρῄζουσα κληρικῶν, ἐμαρτύρησαν περὶ δύο, ὧν ὁ εἷς δίγαμός ἐστι καὶ εὔπορος, ὁ δὲ ἄλλος πένης· τίνα χρὴ ποιῆσαι;

Ἀπόκρισις

Οὐκ ὀφείλετε χειροτονῆσαι τὸν δίγαμον, ὅτι παρὰ κανόνα ἐστίν, ἀλλὰ τὸν πένητα, καὶ ἐπινοῆσαι πόθεν συγκροτῆσαι αὐτῷ μικρὸν ἕνεκεν τῆς πτωχείας αὐτοῦ διὰ τὸν Θεόν.

ΩΙΖ'

Ἐρώτησις

Ἐπειδὴ εὑρίσκονταί τινες τῶν παρ' ἡμῖν κεχειροτονημένων κληρικῶν λειτουργοί, ἄλλοι δὲ χειροτονηθέντες ἀλλαχοῦ τάσσονται κατ' ἀξίωσιν τῆς κώμης εἰς τὸν αὐτῆς κλῆρον, ὄντες καὶ αὐτοὶ λειτουργοί, ἔστι δὲ κατὰ ἀνάγκην δυνατῶν τάσσονταί τινες.

---

14. Δηλαδὴ τὸν ιζ' Ἀποστολικὸ κανόνα.

ἄλλους. Διότι τί; ἂν ἡ κωμόπολη ἔχει ἄλλους δέκα ἄξιους καὶ ὁ λαὸς δίνει μαρτυρία γι' αὐτούς, πρέπει νὰ χειροτονηθοῦν; Ὄχι· ἀλλ' ὅλα πρέπει νὰ γίνονται μὲ τάξη. Ἂν ὅμως πράγματι ἔχουν ἀνάγκη ἄλλου κληρικοῦ, καὶ δίνουν μαρτυρία γι' αὐτόν, ἔστω κι ἂν αὐτὸς ἀρνεῖται, πρέπει νὰ τὸν χειροτονήσετε.

816

Ἐρώτηση

Σὲ μία κωμόπολη, ποὺ χρειαζόταν κληρικούς, ἔδωσαν μαρτυρία γιὰ δύο, ἀπὸ τοὺς ὁποίους ὁ ἕνας εἶναι δίγαμος καὶ εὔπορος, καὶ ὁ ἄλλος φτωχός· ποιόν πρέπει νὰ χειροτονήσω;

Ἀπόκριση

Δὲν πρέπει νὰ χειροτονήσετε τὸν δίγαμο, διότι αὐτὸ εἶναι ἀντίθετο μὲ τὸν κανόνα[14], ἀλλὰ τὸν φτωχό, καὶ νὰ σκεφθεῖτε ἀπὸ ποῦ θὰ βρεῖτε λίγους πόρους γι' αὐτὸν λόγω τῆς φτώχειας του γιὰ τὸν Θεό.

817

Ἐρώτηση

Ἐπειδὴ μερικοὶ ἀπὸ τοὺς κληρικοὺς ποὺ χειρονήσαμε ἐμεῖς εἶναι λειτουργοὶ[15] κι ἄλλοι ποὺ χειροτονήθηκαν ἀλλοῦ ἐντάσσονται μὲ ἀξίωση τῆς κωμοπόλεως στὸν κλῆρο της, ὄντας καὶ αὐτοὶ λειτουργοί, συμβαίνει μάλιστα μερικοὶ νὰ τοποθετοῦνται σ' αὐτὴ τὴ θέση ἀπὸ παράκληση τῶν δυνατῶν· τί πρέπει νὰ γίνεται στὴν περίπτωση αὐτή;

---

15. Λειτουργοὶ εἶναι ἐκεῖνοι ποὺ ἦταν γραμμένοι στὸν κατάλογο τῶν χορηγῶν γιὰ τὶς ἀνάγκες τοῦ κράτους καὶ ἢ χορηγοῦσαν χρήματα ἢ παρεῖχαν προσωπικὴ ἐργασία.

Ἀπόκρισις

Οἱ χειροτονηθέντες ἢ ταγέντες κατὰ ἀξίωσιν τῆς κώμης, οὐκ ὤφειλον ὑποκεῖσθαι οὔτε σωματικῇ οὔτε χρηματικῇ λειτουργίᾳ. Οἱ δὲ κατὰ ἀνάγκην τινῶν, ἤτοι παράκλησιν, ταγέντες, σωματικῶς οὐκ ὤφειλον λειτουργεῖν, ἀλλὰ χρηματικῶς, κἂν ἀκουσθῇ ὅτι διὰ δόσεως ἐχειροτονήθησαν· ὀφείλει γὰρ μὴ θεῖναι τὸ σχῆμα διὰ τὴν ἔν τινι πράγματι ἀνάγκην· καὶ αὐτὸς ὄψεται βαστάζων τὸ κρῖμα.

ΩΙΗ'

Ἐρώτησις

Χειροτονίαν ποιῶν ἀφῆκά τινα κατὰ λύπην καὶ συνθλίβομαι, ὅτι οὐκ οἶδα εἰ καλῶς ἐποίησα ἢ οὔ.

Ἀπόκρισις

Εἰ μὲν δικαίως ἐλυπήθης δι' ἀμέλειαν αὐτοῦ ἢ δι' ἄλλο ἁμάρτημα, καλῶς ἐποίησας· εἰ δὲ διὰ λύπην σακρικὴν ἀνταπόδοσιν ἐποίησας, ὀφείλεις μᾶλλον μετανοῆσαι καὶ ἀπὸ σαυτοῦ χειροτονῆσαι αὐτόν.

ΩΙΘ'

Ἐρώτησις

Ἐπειδὴ πολλή μοι ὄχλησις γίνεται ἐκ διαφόρων προσώπων, αἰτούντων χειροτονίαν τινῶν, συνεῖδον τέως μηδένα χειροτονῆσαι. Καὶ τίς ποτε φιλόχριστος ἀγαπητὸς γνήσιος ἡμῶν, καὶ πολλὰ διὰ τὸν Θεὸν κοπιῶν πρὸς δυνατοὺς ἀνθρώπους ὑπὲρ ἡμῶν, ᾔτησέ τινα χειροτονῆσαι κοσμικόν,

---

16. Λειτουργία ἐδῶ ὀνομάζει τὰ διδόμενα σύμφωνα μὲ τὸν νόμο χαράτσια στοὺς βασιλεῖς, καὶ τὶς ὑπηρεσίες κατὰ τὶς ἑκάστοτε βασιλικὲς ἀγγαρεῖες.

Ἀπόκριση

Αὐτοὶ ποὺ χειροτονήθηκαν ἢ ἐντάχθηκαν κατ' ἀξίωση στὸν κλῆρο τῆς κωμοπόλεως, δὲν πρέπει νὰ τοὺς ἀνατίθεται οὔτε σωματικὴ ὑπηρεσία οὔτε χρηματικὴ χορηγία[16]. Ἐνῶ ἐκεῖνοι ποὺ ἐντάχθηκαν ἀπὸ ἀνάγκη κάποιων, δηλαδὴ ἀπὸ παράκληση, δὲν πρέπει νὰ ὑπηρετοῦν σωματικὰ ἀλλὰ χρηματικά, ἔστω κι ἂν ἀκουσθεῖ ὅτι χειροτονήθηκαν μὲ δόσιμο· διότι δὲν πρέπει ἐξαιτίας τῆς παρακλήσεως νὰ ἐντάξει τὸ ἱερατικὸ σχῆμα σὲ κάποιο πρᾶγμα· καὶ αὐτὸς θὰ δώσει λόγο, βαστάζοντας τὸ κρῖμα.

818

Ἐρώτηση

Κάνοντας χειροτονία ἄφησα κάποιον, διότι μὲ λύπησε, καὶ θλίβομαι πολὺ γι' αὐτό, διότι δὲν ξέρω ἂν ἔκανα καλὰ ἢ ὄχι.

Ἀπόκριση

Ἂν λυπήθηκες δίκαια ἐξαιτίας ἀμέλειας αὐτοῦ ἢ γιὰ ἄλλο ἁμάρτημα, καλὰ ἔκανες· ἂν ὅμως ἐξαιτίας σαρκικῆς λύπης ἔκανες ἀνταπόδοση, ὀφείλεις μᾶλλον νὰ μετανοήσεις καὶ ἀπὸ μόνος σου νὰ τὸν χειροτονήσεις.

819

Ἐρώτηση

Ἐπειδὴ ἐνοχλοῦμαι πολὺ ἀπὸ διάφορα πρόσωπα, ποὺ ζητοῦν τὴ χειροτονία κάποιων, σκέφθηκα νὰ μὴ χειροτονήσω πρὸς στιγμὴ κανένα. Κάποτε ὅμως κάποιος φιλόχριστος γνήσιος ἀγαπητός μας, ποὺ ἀγωνίσθηκε πολὺ γιὰ τὸν Θεὸ πρὸς τοὺς δυνατοὺς ἀνθρώπους ὑπὲρ ἡμῶν, ζήτησε νὰ χειροτονήσω κάποιον κοσμικό, δίνοντας μαρ-

μαρτυρῶν αὐτῷ ὅτι καλὸς ἄνθρωπός ἐστι· ἆρα ὀφείλω δι' αὐτὸν ποιῆσαι;

Ἀπόκρισις

Εἰ μὲν εἶχες ὅλην τὴν ἐλπίδα εἰς τὸν Θεόν, οὐκ ἐφρόντιζές τινος· εἰ δὲ ἀκμὴν χρήζεις τῶν ἀνθρώπων, ὀφείλεις καὶ αὐτὸς χάριν ἀνταποδιδόναι ἀντὶ χάριτος· γέγραπται γὰρ «ὡς θέλετε ἵνα ποιωσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως». Ὅμως εἰ καλός ἐστιν, ὡς λέγεις, ὁ αἰτῶν σε καὶ καλός ἐστι καὶ ἐκεῖνος ὑπὲρ οὗ μαρτυρεῖ, οὐκ ὀφείλεις δυσχεράναι εἰς τὴν μαρτυρίαν ἢ εἰς τὴν χειροτονίαν· αὐτὸς γὰρ βαστάζει τὸ κρῖμα· εἰ δὲ οἶδας, ὅτι οὐκ ἔστι καλὸς ὁ μέλλων χειροτονεῖσθαι, ἀλλὰ διαβεβλημένος εἴς τι, οὐκ ὀφείλεις ἀνασχέσθαι ποιῆσαι αὐτόν· ἐπεὶ σὺ βαστάζεις τὸ κρῖμα.

ΩΚ'

Ἐρώτησις

Ἐπειδή τινες ἐφανερώθησαν ὅτι Μανιχαῖοί εἰσι καὶ τὸν κίνδυνον φεύγοντες, ἀπῆλθον ἀλλαχοῦ ὡς ἔτυχε βαπτισθῆναι, τί κελεύεις ποιήσω;

Ἀπόκρισις

Διὰ τοὺς ὁμολογουμένους Μανιχαίους ὀφείλεις γράψαι ὡς κωλύων καὶ δηλῶν τοῖς θέλουσιν αὐτοὺς βαπτίσαι, ὅτι τοιοῦτοί εἰσι, καὶ ἐν αὐτοῖς εἰσι τὸ βαπτίσαι αὐτοὺς ἢ μὴ βαπτίσαι· οὐ πάντες γὰρ ὡς δεῖ προσέχουσι τοῖς πράγμασι καὶ οὐκ οἴδασιν ὅτι πολλῆς σπουδῆς καὶ μακροῦ χρόνου καὶ ἀκροάσεως θείων λογίων καὶ κατηχήσεως ὁσίων ἱερέων ἐπιδέονται οἱ τοιοῦτοι εἰς τὸ προσδεχθῆναι καὶ μὴ ἀφαρεὶ μηδ' ὡς ἂν

17. Λουκᾶ 6,31.

τυρία γι' αὐτὸν ὅτι εἶναι καλὸς ἄνθρωπος· ἄραγε πρέπει γιὰ χάρη του νὰ τὸν χειροτονήσω;

'Απόκριση

Αν εἶχες ὅλη τὴν ἐλπίδα στὸν Θεό, δὲν θὰ φρόντιζες γιὰ τίποτε· ἂν ὅμως χρειάζεσαι ἀκόμα τοὺς ἀνθρώπους, πρέπει καὶ ὁ ἴδιος ν' ἀνταποδίδεις χάρη ἀντὶ χάριτος· διότι ἔχει γραφεῖ «ὅπως θέλετε νὰ συμπεριφέρονται οἱ ἄνθρωποι πρὸς ἐσᾶς, ἔτσι νὰ συμπεριφέρεστε καὶ σεῖς πρὸς αὐτούς»[17]. Ὅμως ἂν εἶναι καλός, ὅπως λές, αὐτὸς ποὺ σοῦ ζητᾶ χειροτονία, καὶ εἶναι καλὸς καὶ ἐκεῖνος γιὰ τὸν ὁποῖο δίνει μαρτυρία, δὲν πρέπει νὰ στενοχωρεῖσαι γιὰ τὴ μαρτυρία ἢ γιὰ τὴ χειροτονία· διότι αὐτὸς βαστάζει τὸ κρῖμα· ἂν ὅμως γνωρίζεις, ὅτι αὐτὸς ποὺ πρόκειται νὰ χειροτονηθεῖ δὲν εἶναι καλός, ἀλλ' ἔχει κατηγορηθεῖ γιὰ κάτι, δὲν πρέπει νὰ δεχθεῖς νὰ τὸν χειροτονήσεις· διότι τότε ἐσὺ βαστάζεις τὸ κρῖμα.

820

Ἐρώτηση

Ἐπειδὴ μερικοὶ φανερώθηκαν ὅτι εἶναι Μανιχαῖοι καί, ἀποφεύγοντας τὸν κίνδυνο, ἔφυγαν καὶ πῆγαν ἀλλοῦ γιὰ νὰ βαπτισθοῦν ὅπως ἔτυχε, τί προστάζεις νὰ κάνω;

'Απόκριση

Γιὰ τοὺς ὁμολογουμένους Μανιχαίους πρέπει νὰ γράψεις γιὰ νὰ ἐμποδίσεις τὴ βάπτισή τους καὶ νὰ φανερώσεις σ' αὐτοὺς ποὺ θέλουν νὰ τοὺς βαπτίσουν, ὅτι εἶναι τέτοιοι, καὶ ἀπόκειται σ' αὐτοὺς νὰ τοὺς βαπτίσουν ἢ νὰ μὴ τοὺς βαπτίσουν· διότι δὲν προσέχουν ὅλοι τὰ πράγματα ὅπως πρέπει. Καὶ δὲν γνωρίζουν ὅτι οἱ τέτοιοι χρειάζονται πολλὴ φροντίδα καὶ μεγάλο χρόνο, καθὼς καὶ ἀκρόαση θείων λόγων καὶ κατήχηση ὁσίων ἱερέων γιὰ νὰ γίνουν ἀποδεκτοὶ καὶ

ἔλθῃ· φρικτὸν γάρ ἐστι τὸ πρᾶγμα. Καὶ ὅπου οὐκ ἔστι πόθος κατὰ Θεόν, ἐκεῖ ὀφείλομεν μνημονεῦσαι τοῦ Δεσπότου ἡμῶν λέγοντος· «μὴ δότε τὰ ἅγια τοῖς κυσὶ» καὶ τὰ λοιπά.

ΩΚΑ'

Ἐρώτησις

Διάταξις ἐξεφωνήθη παρὰ τοῦ βασιλέως, κελεύουσα τοὺς Ἕλληνας μὴ κεχρῆσθαι τοῖς ἐπιτηδεύμασιν αὐτῶν, ὁμοίως δὲ καὶ τοὺς ἀποσχίστας· καί τινες μὴν μετὰ τὸ ἅγιον Πάσχα προσῆλθον οἱ μὲν βαπτισθῆναι, οἱ δὲ κοινωνῆσαι. Ἆρα δεῖ αὐτοὺς δέξασθαι; καὶ πότε δεῖ αὐτοὺς ἀξιῶσαι τοῦ βαπτίσματος καὶ τῆς ἁγίας κοινωνίας;

Ἀπόκρισις

Τοὺς θέλοντας φωτισθῆναι, δεῖ δέξασθαι, δοῦναι δὲ αὐτοῖς τὸ ἅγιον βάπτισμα τῇ ἁγίᾳ Τεσσαρακοστῇ ἢ εἰς τὴν ἁγίαν Ἀνάληψιν τοῦ Σωτῆρος, καὶ εὑρίσκονται ἔχοντες τὴν ἑβδομάδα ὡς ἑορτήν. Ἐὰν δέ τις ἐξ αὐτῶν ὑπινοῆται διὰ ἐπιτήδευμα ἢ ἁπλῶς διὰ τὸν φόβον τῆς διατάξεως ποιεῖν τοῦτο, εἰπὲ αὐτῷ· 'Εἰ μὲν διὰ τὴν διάταξιν προσέρχῃ, ἁμαρτία ἐστίν· εἰ δὲ μετὰ φόβου τοῦ Θεοῦ διὰ τὴν σὴν ζωήν, δύο καλά σοι γίνεται· καὶ τὸ τῆς ζωῆς ὄφελος καὶ τὸ σαρκικόν'. Τὸ αὐτὸ δὲ χρὴ ῥηθῆναι καὶ τοῖς βουλομένοις κοινωνῆσαι τῇ Ἐκκλησίᾳ· κἂν εἴπωσι 'διὰ τὸν Θεὸν προσερχόμεθα', δέξαι αὐτοὺς παραχρῆμα. Χριστιανοὶ γάρ εἰσι.

ΩΚΒ'

Ἐρώτησις

Ἐπειδὴ ἐκρατήθη τις τῶν ἀλλοεθνῶν ἐν τῇ χώρᾳ τῶν πι-

18. Ματθ. 7,6.
19. Ἡ ἐρώτηση προέρχεται ἀπὸ ἐπίσκοπο.

ὄχι ἀμέσως, οὔτε ἔτσι ὅπως ἔρθει· διότι τὸ πρᾶγμα εἶναι φρικτό. Καὶ ὅπου δὲν ὑπάρχει πόθος κατὰ Θεόν, ἐκεῖ πρέπει νὰ θυμηθοῦμε τὸν Δεσπότη μας ποὺ λέγει· «μὴ δώσετε τὰ ἅγια στοὺς σκύλους»[18] καὶ τὰ ὑπόλοιπα.

821

Ἐρώτηση

Ἐκφωνήθηκε διάταγμα τοῦ βασιλιᾶ, ποὺ διατάζει τοὺς Ἐθνικοὺς νὰ μὴ ἐπιτελοῦν τὰ τῆς λατρείας τους, ὁμοίως καὶ τοὺς ἀποσχίστες, καὶ ἦρθαν μερικοὶ μετὰ τὸ ἅγιο πάσχα, ἄλλοι γιὰ νὰ βαπτισθοῦν καὶ ἄλλοι γιὰ νὰ κοινωνήσουν. Ἄραγε πρέπει νὰ τοὺς δεχθῶ; καὶ πότε πρέπει νὰ τοὺς ἀξιώσω νὰ λάβουν τὸ βάπτισμα καὶ τὴν ἁγία κοινωνία[19];

Ἀπόκριση

Πρέπει νὰ δέχεσαι ἐκείνους ποὺ θέλουν νὰ βαπτισθοῦν καὶ νὰ τοὺς δίνεις τὸ ἅγιο βάπτισμα κατὰ τὴν ἁγία σαρακοστὴ ἢ τὴν ἁγία Ἀνάληψη τοῦ Σωτήρα, καὶ βρίσκονται νὰ ἔχουν τὴ ἑβδομάδα σὰν γιορτή. Ἂν κάποιος δώσει τὴν ὑποψία ὅτι προσέρχεται ἀπὸ ὑποκρισία ἢ ἁπλῶς ἀπὸ τὸ φόβο τοῦ διατάγματος, πές του· 'Ἂν προσέρχεσαι λόγω τοῦ διατάγματος εἶναι ἁμαρτία, ἂν ὅμως προσέρχεσαι μὲ φόβο Θεοῦ γιὰ τὴ δική σου ζωή, σοῦ γίνονται δύο καλά· καὶ τὸ ὄφελος τῆς ζωῆς καὶ τὸ σαρκικό'. Τὸ ἴδιο πρέπει νὰ λεχθεῖ καὶ σ' ἐκείνους ποὺ θέλουν νὰ κοινωνήσουν μὲ τὴν Ἐκκλησία· καὶ ἂν ποῦν 'προσερχόμαστε γιὰ τὸν Θεό', νὰ τοὺς δεχθεῖς ἀμέσως. Διότι εἶναι Χριστιανοί.

822

Ἐρώτηση

Ἐπειδὴ κάποιος ἀπὸ τοὺς ἀλλοεθνεῖς κρατήθηκε στὴ

στῶν καὶ πολλοὶ λέγουσι ὅτι ὀφείλει φονευθῆναι ἢ καῆναι, ἆρα καλόν ἐστιν ἢ οὔ;

Ἀπόκρισις

Οὐ χρὴ φονευθῆναι αὐτὸν ἢ καῆναι, οὐκ ἔστι γὰρ τοῦτο Χριστιανῶν, ἀλλὰ βουνευρισθῆναι καὶ ζημιωθῆναι, ταῦτα γὰρ ἅπτεται τῶν ἀνθρώπων, καὶ παραδοῦναί τινι φοβουμένῳ τὸν Θεόν, ὥστε διδάξαι αὐτὸν τὴν ὁδὸν τοῦ Θεοῦ καὶ οὕτω φωτίσαι αὐτόν.

ΩΚΓ'

Ἐρώτησις

Πολλήν, πάτερ, εὑρίσκω δυσχέρειαν ἐκ τῶν ἀνθρώπων τῶν τρεχόντων εἰς τὴν ἀδικίαν καὶ ἀντιλέγων αὐτοῖς, γίνομαι ἐχθρὸς καὶ οὐχ εὑρίσκω βοήθειαν παρά τινος καὶ θλίβομαι καὶ θέλω ἀναχωρῆσαι ἐκ τῆς ἐκκλησίας.

Ἀπόκρισις

Εἰπέ μοι, ἁμαρτία ἐστὶ τὸ παραβῆναι τὴν ἐντολὴν τοῦ Ἀποστόλου ἢ οὔ; Φανερόν ἐστι πάντως ὅτι ἁμαρτία ἐστίν. Εἰ τοίνυν ἁμαρτία ἐστίν, ὁ Ἀπόστολος λέγει· «δέδεσαι γυναικί, μὴ ζήτει λύσιν». Καὶ σὺ οὖν γυναῖκα ἔλαβες τὴν ἐκκλησίαν, μὴ ζητήσῃς αὐτῆς ἀποστῆναι, ἐπεὶ πάντως ἔχεις πειρασθῆναι καὶ μετανοῆσαι περὶ τοῦ πράγματος. Πάντα οὖν τὰ ἐπερχόμενά σοι γενναίως ὑπένεγκε, καὶ ὕστερον εὑρήσεις τὸ ἔλεος τοῦ Θεοῦ· φησὶ γὰρ «ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται». Ἀντίστα οὖν τῇ πονηρίᾳ, καὶ ὁ Κύριος φέρει τοὺς ἐχθρούς σου εἰς τοὺς πόδας σου, καὶ τὸ ἐναντίον, φίλοι σου γίνονται. Ἕως θανάτου συναγώνισαι ὑπὲρ τῆς ἀληθείας καὶ ὁ Θεὸς πολεμεῖ ὑπὲρ σοῦ.

---

20. Α' Κορ. 7,27.
21. Ματθ. 10,22.

χώρα τῶν πιστῶν καὶ πολλοὶ λένε ὅτι πρέπει νὰ φονευθεῖ ἢ νὰ καεῖ, ἄραγε εἶναι καλὸ ἢ ὄχι;

Ἀπόκριση

Δὲν πρέπει νὰ φονευθεῖ αὐτὸς ἢ νὰ καεῖ, διότι αὐτὸ δὲν εἶναι γνώρισμα τῶν Χριστιανῶν, ἀλλὰ νὰ μαστιγωθεῖ καὶ νὰ τιμωρηθεῖ μὲ πρόστιμο, διότι αὐτὰ ἐγγίζουν τοὺς ἀνθρώπους· καὶ νὰ παραδοθεῖ σὲ κάποιον ποὺ φοβᾶται τὸν Θεό, ὥστε νὰ τοῦ διδάξει τὸν δρόμο τοῦ Θεοῦ, καὶ ἔτσι νὰ τὸν βαπτίσει.

823

Ἐρώτηση

Πάτερ, ἀντιμετωπίζω μεγάλη δυσκολία ἀπὸ τοὺς ἀνθρώπους ποὺ τρέχουν στὴν ἀδικία καὶ ὅταν τοὺς ἀντιλέγω, γίνομαι ἐχθρὸς καὶ δὲν βρίσκω βοήθεια ἀπὸ κανένα, πρᾶγμα ποὺ μὲ θλίβει καὶ θέλω νὰ φύγω ἀπὸ τὴν ἐκκλησία.

Ἀπόκριση

Πές μου, εἶναι ἁμαρτία τὸ νὰ παραβεῖς τὴν ἐντολὴ τοῦ Ἀποστόλου ἢ ὄχι; Ὁπωσδήποτε εἶναι φανερὸ ὅτι εἶναι ἁμαρτία. Ἂν λοιπὸν εἶναι ἁμαρτία, ὁ Ἀπόστολος λέγει· «ἔχεις δεθεῖ μὲ γυναίκα, μὴ ζητᾶς λύση»[20]. Καὶ σὺ λοιπὸν ἔλαβες γυναίκα τὴν Ἐκκλησία· μὴ ζητήσεις νὰ φύγεις ἀπὸ αὐτήν, διότι ὁπωσδήποτε θὰ πειραχθεῖς καὶ θὰ μετανοήσεις γιὰ τὸ πρᾶγμα. Ὑπόφερε λοιπὸν γενναῖα ὅλα ἐκεῖνα ποὺ σοῦ ἔρχονται, καὶ ὕστερα θὰ βρεῖς τὸ ἔλεος τοῦ Θεοῦ· διότι λέγει· «ἐκεῖνος ποὺ θὰ δείξει ὑπομονὴ μέχρι τὸ τέλος, αὐτὸς θὰ σωθεῖ»[21]. Ἀντιστάσου λοιπὸν στὴν κακία, καὶ ὁ Κύριος θὰ φέρει τοὺς ἐχθρούς σου στὰ πόδια σου, καὶ θὰ γίνουν ἀντιθέτως φίλοι σου. Ἀγωνίσου γιὰ τὴν ἀλήθεια μέχρι θανάτου καὶ ὁ Θεὸς πολεμεῖ ὑπὲρ σοῦ.

Μὴ οὖν ζητήσῃς βοήθειαν ἀνθρώπων· ὁ γὰρ ἔχων εἰς ἄνθρωπον ἐλπίδα, ταχέως πίπτει. Περισσοτέρα γάρ ἐστιν ἡ βοήθεια τοῦ Θεοῦ, ὑπὲρ βοήθειαν μυριάδων ἀνθρώπων· λέγει γὰρ «Κύριος ἐμοὶ βοηθὸς καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος». Στήριξον οὖν τὴν καρδίαν σου ἐν Κυρίῳ καὶ ἀνδρίζου καὶ ἴσχυε, καὶ ὁ Κύριος ἔσται μετὰ σοῦ.

ΩΚΔ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν μέγαν Γέροντα.*

Εἴ τί μοι κελεύεις, δέσποτα, οὐκ ἐναντιοῦμαι· ἀλλ' εὖξαι ὑπὲρ ἐμοῦ, ἵνα τύχω παρὰ τοῦ Θεοῦ βοηθείας καὶ σκεπασθῶ ἀπὸ τῶν ἐπανισταμένων μοι πειρασμῶν.

Ἀπόκρισις

Οἶδα ὅτι οὐδέν εἰμι, καὶ εὐχήν, ὡς θέλει ὁ Θεός, οὐκ ἔχω· ἀλλ' ὅμως ὁ αἰτῶν τινα εὔχεσθαι ὑπὲρ αὐτοῦ, ὀφείλει καὶ αὐτὸς μικρὸν κόπον συνεισενεγκεῖν τῇ προσευχῇ τοῦ εὐχομένου. Γέγραπται γὰρ «πολὺ ἰσχύει δέησις δικαίου ἐνεργουμένη», ἤγουν βοηθουμένη ὑπὸ τοῦ τὴν εὐχὴν ἐξαιτησαμένου. Γνῶναι οὖν ὀφείλει ὁ ἄγγελος ὑμῶν, ὅτι οὐ μικρῶς ἐσκέπασέ σε ὁ Θεὸς καὶ σκεπάζει διὰ τῶν εὐχῶν τῶν ἁγίων· ἀλλὰ πρόσεχε πῶς εὔχεται περὶ σοῦ ὁ διάκονος, λέγων τὸν λόγον τοῦ Ἀποστόλου «ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας». Καὶ ὀρθοτόμησον καὶ σὺ καὶ μὴ αἰσχυνθῇς ἄνθρωπον, μηδὲ ἀνθρωπαρεσκήσῃς τινί, καὶ εὑρίσκεις χάριν ἐνώπιον Θεοῦ

---

22. Ψαλμ. 117,6.
23. Ἰακ. 5,16.

Μὴ ζητήσεις λοιπὸν βοήθεια ἀνθρώπων· διότι αὐτὸς ποὺ ἔχει τὴν ἐλπίδα στὸν ἄνθρωπο, πέφτει γρήγορα. Ἐνῶ ἡ βοήθεια τοῦ Θεοῦ εἶναι μεγαλύτερη ἀπὸ τὴ βοήθεια μυριάδων ἀνθρώπων· διότι λέγει «ὁ Κύριος εἶναι βοηθός μου καὶ δὲν θὰ φοβηθῶ τί θὰ μοῦ κάνει ὁ ἄνθρωπος»[22]. Στήριξε λοιπὸν τὴν καρδιά σου στὸ ὄνομα τοῦ Κυρίου καὶ γίνε ἀνδρεῖος καὶ δυνατός, καὶ ὁ Κύριος θὰ εἶναι μαζί σου.

824

Αἴτηση τοῦ ἰδίου πρὸς τὸν μεγάλο Γέροντα.

Ὅταν μὲ διατάζεις κάτι, δέσποτα, δὲν ἐναντιώνομαι, προσευχήσου ὅμως γιὰ μένα, γιὰ νὰ πετύχω βοήθεια ἀπὸ τὸν Θεὸ καὶ νὰ προστατευθῶ ἀπὸ τοὺς πειρασμοὺς ποὺ ἐξεγείρονται ἐναντίον μου.

Ἀπόκριση

Γνωρίζω ὅτι δὲν εἶμαι τίποτε, καὶ προσευχή, ὅπως θέλει ὁ Θεός, δὲν ἔχω· ἀλλ᾽ ὅμως ἐκεῖνος ποὺ ζητᾶ κάποιον νὰ προσεύχεται γι᾽ αὐτόν, ὀφείλει καὶ αὐτὸς νὰ συνεισφέρει μικρὸ κόπο μὲ τὴν προσευχὴ τοῦ προσευχομένου. Διότι ἔχει γραφεῖ, «ἔχει μεγάλη δύναμη ἡ δέηση ποὺ γίνεται ἀπὸ τὸν δίκαιο»[23], δηλαδὴ ὅταν βοηθεῖται ἀπὸ ἐκεῖνον ποὺ ζήτησε τὴν προσευχή. Πρέπει λοιπὸν ὁ ἄγγελός σας νὰ γνωρίζει ὅτι ὁ Θεὸς δὲν σὲ προστάτευσε λίγο καὶ σὲ προστατεύει μὲ τὶς προσευχὲς τῶν ἁγίων. Πρόσεχε ὅμως πῶς προσεύχεται γιὰ σένα ὁ διάκονος, λέγοντας τὸν λόγο τοῦ Ἀποστόλου «ποὺ ὀρθοτομεῖ τὸν λόγο τῆς ἀληθείας»[24]. Ὀρθοτόμησε καὶ σὺ καὶ μὴ ντραπεῖς ἄνθρωπο, οὔτε νὰ θελήσεις νὰ φανεῖς ἀρεστὸς σὲ κάποιον ἄνθρωπο, καὶ θὰ βρεῖς χάρη ἐνώπιον τοῦ Θεοῦ καὶ τῶν ἀνθρώ-

24. Αὐτὰ λέγει ὁ διάκονος κατὰ τὴ θεία λειτουργία. «Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ ἀρχιεπισκόπου ἡμῶν (...), ὃν χάρισαι ταῖς ἁγίαις σου ἐκκλησίαις ἐν εἰρήνῃ, σῶον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα καὶ ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας». Βλ. Β΄ Τιμ. 2,15.

καὶ ἀνθρώπων καὶ μηδὲν φρονήσῃς κατὰ ἄνθρωπον. Πᾶν γὰρ πρᾶγμα ἀνθρώπινον, βδελυκτόν ἐστιν ἐνώπιον τοῦ Θεοῦ. Καὶ μὴ ἀδικήσῃ ἡ ἐκκλησία τινά, ἀλλὰ τύπος γενέσθω πᾶσι τῇ ὀρθότητι, καὶ γίνεται ὁ Θεὸς ἐν σοὶ καὶ σὺ ἐν τῷ Θεῷ, καὶ φυλάττει σε ἀπὸ παντὸς κακοῦ καὶ ἀπὸ πασῶν τῶν παγίδων τοῦ ἐχθροῦ.

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς μετὰ τοῦ πνεύματός σου. Ἀμήν.

ΩΚΕ'

Ἐρώτησις

Ὁ αὐτὸς παριδών τινα δίκαια τῆς ἐκκλησίας πρὸς ἀνθρωπαρέσκειάν τινων καὶ διὰ τοῦτο κατὰ συγχώρησιν Θεοῦ πειρασμῷ παραδοθεὶς καὶ θλιβόμενος, ἔπεμψεν ἐρωτῶν τὸν αὐτὸν μέγαν Γέροντα περὶ τούτου. Ὁ δὲ ἀπεκρίνατοῃ αὐτῷ οὕτως.

Ἀπόκρισις

Ἁπλῶς ἐκτὸς τοῦ Θεοῦ οὐκ ἐγένετο αὕτη ἡ παράδοσις· ἐρευνήσωμεν οὖν τὰς καρδίας ἡμῶν, ποίαν ἐντολὴν παρέβημεν τοῦ Θεοῦ καὶ μανθάνομεν, ὅτι δι' αὐτὴν παρεδόθημεν.

ΩΚS'

Αἴτησις *τοῦ αὐτοῦ.*

Πάτερ ἅγιε, οἶδα ὅτι ἔβλαψα καὶ τὴν ἐμὴν ψυχὴν καὶ τὴν ἁγίαν τοῦ Θεοῦ Ἐκκλησίαν, καὶ ἐγένετο κατ' αὐτῆς σκληρὰ τὰ πράγματα. Πολλοὶ γάρ εἰσι καὶ δυνατοὶ οἱ πολεμοῦντες αὐτήν, κἂν θελήσω ἀντιστῆναι, ζημία παρακολουθεῖ. Καὶ ὅσον κατὰ ἄνθρωπον, οὐκ ἔχει διόρθωσιν, ἀλλὰ τῷ Θεῷ πάντα δυνατά. Προσπίπτω οὖν σοι, δέσπο-

πων, καὶ μὴ σκεφθεῖς τίποτε κατὰ ἄνθρωπο. Κάθε ἀνθρώπινο πρᾶγμα εἶναι βδελυκτὸ ἐνώπιον τοῦ Θεοῦ. Καὶ ἡ ἐκκλησία νὰ μὴ ἀδικήσει κάποιον, ἀλλὰ νὰ γίνει μὲ τὴν ὀρθότητα παράδειγμα σὲ ὅλους, καὶ τότε ὁ Θεὸς θὰ ἔλθει μέσα σου καὶ σὺ μέσα στὸν Θεό, καὶ θὰ σὲ φυλάξει ἀπὸ κάθε κακὸ καὶ ἀπὸ ὅλες τὶς παγίδες τοῦ ἐχθροῦ.

Ὁ Κύριός μας Ἰησοῦς Χριστὸς ἂς εἶναι μαζὶ μὲ τὸ πνεῦμα σου. Γένοιτο.

825

Ἐρώτηση

Ὁ ἴδιος, ἐπειδὴ περιφρόνησε κάποια δίκαια τῆς ἐκκλησίας γιὰ νὰ φανεῖ ἀρεστὸς σὲ κάποιους ἀνθρώπους καὶ γι' αὐτὸ κατὰ παραχώρηση Θεοῦ παραδόθηκε σὲ πειρασμὸ καὶ θλιβόταν, ἔστειλε νὰ ἐρωτήσει τὸν ἴδιο μεγάλο Γέροντα γι' αὐτὸ καὶ αὐτὸς τοῦ ἀπάντησε τὰ ἑξῆς.

Ἀπόκριση

Αὐτὴ ἡ παράδοση δὲν ἔγινε ἁπλῶς καὶ χωρὶς τὸν Θεό. Ἂς ἐρευνήσομε λοιπὸν τὶς καρδιές μας, ποιά ἐντολὴ τοῦ Θεοῦ παραβήκαμε, καὶ θὰ μάθομε, ὅτι γι' αὐτὴν παραδοθήκαμε.

826

Αἴτηση τοῦ ἰδίου.

Ἅγιε πάτερ, γνωρίζω ὅτι ἔβλαψα καὶ τὴ δική μου ψυχὴ καὶ τὴν ἁγία Ἐκκλησία τοῦ Θεοῦ, καὶ ἔγιναν ἐναντίον της σκληρὰ τὰ πράγματα. Διότι εἶναι πολλοὶ καὶ δυνατοὶ ἐκεῖνοι ποὺ πολεμοῦν αὐτὴν καὶ ἂν θελήσω ν' ἀντισταθῶ, ἀκολουθεῖ ζημία. Καὶ δὲν ὑπάρχει διόρθωση σ' αὐτὴν ὅσο τὸ πρᾶγμα ἐξαρτᾶται ἀπὸ ἄνθρωπο, ὅμως ὅλα εἶναι δυνατὰ στὸν Θεό. Σὲ παρακαλῶ λοιπόν, δέσποτα, ζήτησε

τα, αἴτησόν μοι συγχώρησιν καὶ βοήθησον κἀμοὶ καὶ αὐτ καὶ ἀνακάλεσαι τὴν θλῖψιν ὡς θέλεις· δύνασαι γάρ.

Ἀπόκρισις

Εἰ πάντα δυνατὰ τῷ Θεῷ, καὶ οὕτω πιστεύομεν, ποιήσωμεν αὐτῷ τὴν δύναμιν ἡμῶν, καὶ αὐτὸς ἐξολοθρεύσει τοὺς ἐπανισταμένους ἡμῖν· «αὐτὸς γὰρ διασκεδάζε βουλὰς ἐθνῶν, καὶ ἀθετεῖ βουλὰς ἀρχόντων», ἡ δὲ βουλὴ το Θεοῦ μένει εἰς τὸν αἰῶνα. Στῆσον τὴν ἀλήθειαν καὶ ἀγώνισα ὑπὲρ αὐτῆς, καὶ ὁ Θεὸς πολεμεῖ ὑπὲρ σοῦ τοὺς ἀντιδίκους αὐτῆς. Αὐτοὶ ἀνθίστανται σαρκικῶς, στῆθι σὺ πνευματικῶς, τουτέστιν ἐν εὐχαῖς καὶ ἱκεσίαις περὶ οἱουδήποτε πράγματος, αἰτῶ παρὰ τοῦ Θεοῦ τὴν αὐτοῦ βοήθειαν. Καὶ ἔλεγχε μετὰ παρρησία καὶ ἐπιτίμησον καὶ παρεκάλεσον, ὡς πρέπει τῷ πνευματικῷ διδασκάλῳ, καὶ μὴ φοβηθῆς αὐτούς· πλείονες γάρ εἰσιν οἱ μεθ ἡμῶν τῶν μετ' αὐτῶν· ἐκεῖνοι μετὰ τοῦ διαβόλου καὶ τῶ ὁμοιοπαθῶν αὐτῶν ἀνθρώπων, ἡμεῖς δὲ μετὰ τοῦ Θεοῦ κα τῶν ἁγίων αὐτοῦ. Ἡμεῖς εἰς τὸν Θεὸν ἔχομεν τὴν ἐλπίδα τὸν λέγοντα «οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλίπω», καὶ ποιεῖ ἐκ περισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν, καὶ πληροῦται εἰς ἡμᾶς τὸ «μακάριος οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ», αὐτοὶ δὲ εἰς τοὺς ἀνθρώπους ἔχουσι τὴν ἐλπίδα, οἷς οὐκ ἔστι σωτηρία.

Ἐὰν οὖν μικρὰ ζημία παρακολουθήσῃ, καταφρονήσωμεν καὶ μὴ δῶμεν καὶ αἰσχυνθῶμεν πρόσωπον ἀνθρώπου, ἐπεὶ τὸν Θεὸν παροργίζομεν· ἀλλὰ στῶμεν ἐν τῇ ἀληθείᾳ, καὶ οὐ βραδύνουσιν οἱ ὑπεναντίοι ἐλθεῖν εἰς τοὺς πόδας σου, καὶ δοξάζεται ὁ πάντοτε δοξαζόμενος Θεὸς διὰ τῶν δούλων αὐτοῦ. Ἔχε οὖν τοὺς ἁγίους συμμάχους διὰ τῶν πρὸς Θεὸν ὑπὲρ ὑμῶν εὐχῶν. Ὀρθοτόμησον ὡς ἤκουσας τὸν λόγον τῆς ἀληθείας, ὡς ἐπίσκο-

25. Ψαλμ. 32,10.
26. Ἑβρ. 13,5. 27. Ψαλμ. 145,5.

συγχώρηση γιὰ μένα, καὶ βοήθησε καὶ ἐμένα καὶ αὐτὴ καὶ κατάργησε τὴ θλίψη, ὅπως ἐσὺ θέλεις· διότι μπορεῖς.

Ἀπόκριση

Αν ὅλα εἶναι δυνατὰ στὸν Θεὸ καὶ ἔτσι πιστεύομε, θὰ κάνομε τὰ δυνατά μας πρὸς αὐτόν, καὶ αὐτὸς θὰ ἐξολοθρεύσει ἐκείνους ποὺ ἐπαναστατοῦν ἐναντίον μας· «διότι αὐτὸς διασκορπίζει βουλὲς ἐθνῶν, καὶ ἀθετεῖ βουλὲς ἀρχόντων»[25], ἐνῶ ἡ βουλὴ τοῦ Θεοῦ μένει στὸν αἰώνα. Στήριξε τὴν ἀλήθεια καὶ ἀγωνίσου γι' αὐτήν, καὶ ὁ Θεὸς θὰ πολεμήσει γιὰ σένα τοὺς ἀντιδίκους αὐτῆς. Αὐτοὶ προβάλλουν ἀντίσταση σαρκική, ἐσὺ ὅμως ἀντιστάσου πνευματικά, δηλαδὴ μὲ προσευχὲς καὶ ἱκεσίες γιὰ ὁποιοδήποτε πρᾶγμα, ζητώντας ἀπὸ τὸν Θεὸ τὴ βοήθειά του. Ἔλεγχε μὲ παρρησία καὶ ἐπιτίμησε καὶ παρακάλεσε, ὅπως ταιριάζει σὲ πνευματικὸ διδάσκαλο, καὶ μὴ τοὺς φοβηθεῖς· διότι αὐτοὶ ποὺ εἶναι μαζί μας εἶναι περισσότεροι ἀπὸ ἐκείνους ποὺ εἶναι μαζί τους. Ἐκεῖνοι εἶναι μὲ τὸν διάβολο καὶ μὲ τοὺς ὁμοιοπαθεῖς ἀνθρώπους τους, ἐνῶ ἐμεῖς μὲ τὸν Θεὸ καὶ τοὺς ἁγίους του. Ἐμεῖς ἔχομε τὴν ἐλπίδα στὸν Θεὸ ποὺ λέγει «οὔτε θὰ σὲ στενοχωρήσω, οὔτε θὰ σὲ ἐγκαταλείψω»[26]. Αὐτὸς θὰ κάνει περισσότερα ἀπὸ ὅσα ζητᾶμε ἢ σκεπτόμαστε καὶ πραγματοποιεῖται σὲ μᾶς τὸ «εἶναι μακάριος ἐκεῖνος τοῦ ὁποίου ὁ Θεὸς τοῦ Ἰακὼβ εἶναι βοηθός του καὶ ἡ ἐλπίδα του στηρίζεται στὸν Κύριο τὸν Θεό του»[27]. Αὐτοὶ στηρίζουν τὴν ἐλπίδα τους στοὺς ἀνθρώπους, στοὺς ὁποίους δὲν ὑπάρχει σωτηρία.

Ἂν λοιπὸν ἀκολουθήσει μικρὴ ζημία, νὰ τὴν περιφρονήσομε καὶ νὰ μὴ ὑποκύψομε καὶ ντραποῦμε πρόσωπο ἀνθρώπου, διότι παροργίζομε τὸν Θεό, ἀλλὰ νὰ σταθοῦμε στὴν ἀλήθεια καὶ δὲν θὰ ἀργήσουν οἱ ἐχθροὶ νὰ ἔρθουν στὰ πόδια σου, δοξαζόμενος ἔτσι ὁ Θεὸς ποὺ δοξάζεται πάντοτε μὲ τοὺς δούλους του. Ἔχε λοιπὸν συμμάχους τοὺς ἁγίους μὲ τὶς προσευχές τους πρὸς τὸν Θεὸ γιὰ σᾶς. Ὀρθοτόμησε, ὅπως ἄκουσες, τὸν λόγο τῆς ἀληθείας, σὰν ἐπίσκοπος τοῦ Θεοῦ, καὶ θὰ τρέξουν πρὸς

πος Θεοῦ, καὶ προσπίπτουσί σοι οἱ ἄνθρωποι, ὡς δούλῳ Θε γνησίῳ μετὰ φόβου καὶ τρόμου καὶ ἀγάπης· φοβεροὶ γάρ ε τοῖς ἀνθρώποις οἱ φοβούμενοι τὸν Θεόν, καθὼς καὶ οἱ ἄγγε αὐτοῦ τοῖς δαίμοσι.

Μὴ οὖν φοβηθῇς, μετὰ σοῦ γὰρ ὁ Θεὸς καὶ ἡ χάρις αὐτ Λάβε τὴν ἐξ ὕψους δύναμιν, ἣν ἔλαβον οἱ Ἀπόστολοι, χάρ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ διαμένει ἡ χάρις αὐτοῦ μετὰ σ ἕως ὑστέρας ἀναπνοῆς.

Ἀσπάζομαί σε ἐν φιλήματι ἁγίῳ. Ἀσπάζομαί σε ἐν ἁγι Πνεύματι, παρακαλῶν εὔξασθαι ὑπὲρ ἐμοῦ διὰ τὴν ἀγάπην.

ΩΚΖ'

Ἐρώτησις

Ἐπειδή, πάτερ, κατὰ τοὺς ἁγίους ὑμῶν λόγους, πολλ εἶχε βοήθειαν ἡ Ἐκλησία παρὰ τοῦ Θεοῦ, καί τινες τά ἀδικησάντων αὐτὴν καὶ ἐπελθόντων τοῖς ἀνθρώποις α τῆς συμπαρακαλοῦσι γενέσθαι εἰρήνην, καὶ ἐπαγγέλλοντ ἡμᾶς θεραπεύειν καὶ διορθοῦσθαι τὰ καθ' ἡμῶν ἀδικήμ τα, καὶ σωφρονίζειν τοὺς καθ' ἡμῶν ἀνθρώπους, τί κ λεύεις; δέξωμαι αὐτοὺς ἢ οὔ;

Ἀπόκρισις

Ἐὰν παρακαλῶσι, δέξαι αὐτούς, διὰ τὸν εἰπόντα συγχα ρεῖν ἀλλήλοις, καὶ ἔασον σωφρονεῖν φειδομένως κ μὴ ἀφειδῶς καὶ ἀσυμπαθῶς, καὶ τύπον δοθῆναι, ὥστ ἑκάστῳ φυλαχθῆναι τὰ ἴδια δίκαια.

ΩΚΗ'

Ἐρώτησις

Καλόν ἐστι τὸ ποιεῖν τὰ λογάρια τῆς Ἐκκλησίας;

ἐσένα οἱ ἄνθρωποι, σὰν γνήσιο δοῦλο τοῦ Θεοῦ, μὲ φόβο καὶ τρόμο καὶ ἀγάπη· διότι αὐτοὶ ποὺ φοβοῦνται τὸν Θεὸ εἶναι φοβεροὶ στοὺς ἀνθρώπους, ὅπως καὶ οἱ ἄγγελοι αὐτοῦ στοὺς δαίμονες.

Μὴ φοβηθεῖς λοιπόν, διότι ὁ Θεὸς καὶ ἡ χάρη του εἶναι μαζί σου. Λάβε τὴ δύναμη ἀπὸ τὸν οὐρανό, τὴν ὁποία ἔλαβαν οἱ Ἀπόστολοι, μὲ τὴ χάρη τοῦ Χριστοῦ τοῦ Θεοῦ μας, καὶ θὰ μείνει ἡ χάρη του μαζί σου, μέχρι τὴν τελευταία ἀναπνοή.

Σὲ ἀσπάζομαι στὸ ὄνομα τοῦ ἁγίου Πνεύματος, καὶ σὲ παρακαλῶ νὰ προσεύχεσαι γιὰ μένα χάριν τῆς ἀγάπης.

827

Ἐρώτηση

Ἐπειδή, πάτερ, σύμφωνα μὲ τὰ ἅγια λόγια σου, ἡ Ἐκκλησία εἶχε πολλὴ βοήθεια ἀπὸ τὸν Θεό, καὶ μερικοὶ ἀπὸ ἐκείνους ποὺ τὴν ἀδίκησαν καὶ ἐπιτέθηκαν ἐναντίον τῶν ἀνθρώπων της παρακαλοῦν νὰ γίνει εἰρήνη, ὑποσχόμενοι νὰ ὑπηρετήσουν ἐμᾶς καὶ νὰ διορθώσουν τὰ ἐναντίον μας ἀδικήματά τους καὶ νὰ σωφρονίζουν τοὺς ἀνθρώπους ποὺ εἶναι ἐναντίον μας, τί διατάζεις; νὰ τοὺς δεχθῶ ἢ ὄχι;

Ἀπόκριση

Αν παρακαλοῦν, νὰ τοὺς δεχθεῖς χάριν Ἐκείνου ποὺ εἶπε, νὰ συγχωροῦμε ὁ ἕνας τὸν ἄλλον, καὶ ἄφησε νὰ σωφρονοῦν, μὲ περίσκεψη ὅμως καὶ ὄχι ἀπερίσκεπτα καὶ χωρὶς πάθος· καὶ νὰ ὁρισθεῖ κανονισμός, ὥστε γιὰ τὸν καθένα νὰ φυλαχθοῦν τὰ δικαιώματά του.

828

Ἐρώτηση

Εἶναι καλὸ ν' ἀσχολοῦμαι μὲ τὴ διαχείριση τῆς ἐκκλησίας;

Ἀπόκρισις

Ἐὰν ὡς ἐκκλησίας λογάρια ποιῇς, τὰ τοῦ Θεοῦ λογάρια ποιεῖς· οἰκονόμος γὰρ εἶ αὐτοῦ καὶ χρεωστεῖς ποιῆσαι τοὺς λόγους αὐτῶν, ἵνα, ἐὰν περισσεύσῃ, τρέφῃς πτωχοὺς καὶ ὀρφανούς, ὧν Πατήρ ἐστι καὶ τροφεὺς ὁ Θεός, καὶ τοὺς οἴκους αὐτῶν οἰκονομῇς· ἐὰν δὲ μὴ περισσεύσῃ, φροντίζῃς περισσεῦσαι· εἰ δὲ οὐχ οὕτως, οὐ ποιεῖς λογάρια ἐκλησίας, ἀλλ' ὡς θέλων σεαυτῷ περιποιῆσαι· οὕτω δὲ ποιοῦντός σου, οὐκ ἔτι τῷ Θεῷ, ἀλλὰ τῷ διαβόλῳ τὰ λογάρια γίνεται. Κατὰ Θεὸν οὖν πρᾶξον πάντα καὶ τὸν μισθὸν εὑρίσκεις παρ' αὐτῷ.

ΩΚΘ'

Ἐρώτησις

Ἐπειδὴ διαφόρως ἐπηνέχθη ἡ αὐτὴ ζημία καὶ θλίβομαι ὡς μὴ εὑρίσκων εἰς τὰς χεῖράς μου, τί ποιήσω;

Ἀπόκρισις

Ἡ Γραφὴ λέγει, ὅτι «ὁ ἀδικῶν ὑμᾶς, οὐκ ἀδικεῖ ὑμᾶς, ἀλλὰ τὸ Πνεῦμα τὸ ἅγιον τὸ κατοικοῦν ἐν ὑμῖν». Μὴ λυπηθῇς οὖν περὶ ζημίας ἀνθρωπίνης· οὐ γὰρ στερεῖ σε Κύριος, ὧν οἶδεν ὅτι χρείαν ἔχεις. Αὐτὸς γὰρ εἶπεν, ὅτι «οἶδεν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος ὧν χρείαν ἔχετε, πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν», ἀλλὰ ζήτησον τὴν βασιλείαν τοῦ Θεοῦ ποιῶν τὰ ἔργα αὐτῆς, καὶ ταῦτα πάντα προστεθήσεταί σοι. Κἂν θλιβῇς μικρὸν διὰ τὴν ἀπορίαν τῶν πραγμάτων, ἀλλ' ἔχεις εὑρεῖν κατὰ πλάτος ἔμπροσθέν σου τὰ ἀγαθά, θελήματι Θεοῦ. Μνήσθητι ὅτι γέγραπται «οἱ θέλοντες κατὰ Θεὸν ζῆν, διωχθήσονται». Καὶ πάλιν λέγει· «χαίρετε ἐν Κυρίῳ πάντοτε ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις». Οὗτός ἐστιν ὁ διωγμὸς καὶ οὗτοι οἱ πειρα-

---

28. Ματθ. 6,32.
29. Βλ. Β' Τιμ. 3,12.
30. Ἰακ. 1,2.

Ἀπόκριση

Αν ἀσχολεῖσαι μὲ τὴ διαχείριση τῆς ἐκκλησίας, ἀσχολεῖσαι μὲ τὴ διαχείριση τοῦ Θεοῦ· διότι εἶσαι οἰκονόμος αὐτοῦ καὶ χρωστᾶς νὰ κάνεις τὴ διαχείρισή του, ὥστε, ἂν περισσέψει κάτι, νὰ τρέφεις φτωχοὺς καὶ ὀρφανούς, τῶν ὁποίων πατέρας καὶ τροφεὺς εἶναι ὁ Θεός, καὶ νὰ οἰκονομεῖς τὰ σπίτια τους. Ἂν ὅμως δὲν περισσέψει τίποτε, νὰ φροντίζεις νὰ περισσέψει, ἀλλιῶς δὲν ἀσκεῖς διαχείριση τῆς ἐκκλησίας, ἀλλὰ περιποιεῖσαι τὸν ἑαυτό σου ὅπως θέλεις. Κι ἂν ἐνεργεῖς ἔτσι, ἡ διαχείριση δὲν γίνεται γιὰ τὸν Θεό, ἀλλὰ γιὰ τὸν διάβολο. Πράττε λοιπὸν ὅλα ὅπως ἀρέσει στὸν Θεό, καὶ θὰ βρεῖς μισθὸ ἀπὸ αὐτόν.

829

Ἐρώτηση

Ἐπειδὴ μοῦ συνέβηκε σοβαρὴ ζημία καὶ θλίβομαι, διότι δὲν βρίσκω τίποτε στὰ χέρια μου, τί νὰ κάνω;

Ἀπόκριση

Η Γραφὴ λέγει, ὅτι ἐκεῖνος ποὺ σᾶς ἀδικεῖ, δὲν ἀδικεῖ ἐσᾶς, ἀλλὰ τὸ ἅγιο Πνεῦμα ποὺ κατοικεῖ μέσα σας. Νὰ μὴ λυπηθεῖς λοιπὸν γιὰ ἀνθρώπινη ζημία· ὁ Κύριος δὲν σὲ στερεῖ ἀπὸ ὅσα γνωρίζει ὅτι ἔχεις ἀνάγκη. Διότι αὐτὸς εἶπε, «ὁ οὐράνιος Πατέρας σας γνωρίζει ὅσα ἔχετε ἀνάγκη, πρὶν τοῦ τὰ ζητήσετε»[28], ἀλλὰ ζήτησε τὴ βασιλεία τοῦ Θεοῦ, κάνοντας τὰ ἔργα της, καὶ ὅλα αὐτὰ θὰ σοῦ προστεθοῦν. Καὶ ἂν ἀκόμη θλιβεῖς λίγο ἐξαιτίας τῆς ἐλλείψεως τῶν πραγμάτων, ὅμως μπορεῖς νὰ βρεῖς ἄφθονα μπροστά σου ἀγαθά, μὲ τὸ θέλημα τοῦ Θεοῦ· θυμήσου ὅτι ἔχει γραφεῖ «ὅσοι θέλουν νὰ ζοῦν ἔτσι ὅπως ἀρέσει στὸν Θεό, θὰ διωχθοῦν»[29]. Καὶ πάλι λέγει· «νὰ χαίρεσθε ἐν Κυρίῳ πάντοτε, ὅταν περιπέσετε σὲ ποικίλους πειρασμούς»[30]. Αὐτὸς εἶναι ὁ διωγμὸς καὶ αὐτοὶ οἱ πειρασμοί,

σμοί, ἀλλὰ γενναίως φέρε καὶ πιστῶς καὶ ἔχει ὁ Θεὸς διὰ σοῦ δοξασθῆναι· ἡ ὑπομονὴ γὰρ εἰς δοκιμὴν φέρει τὸν ἄνθρωπον, ἡ δὲ δοκιμὴ εἰς ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει.

Εὔχου ὑπὲρ ἐμοῦ.

ΩΛ΄

Ἐρώτησις

Ἐπειδὴ οἱ λεγόμενοι πράκτορες ἔρχονται εἰς τὴν πόλιν ταύτην καὶ ἀεὶ προσδοκῶσι ξένια ἐκ τῆς ἐκκλησίας, ἀπορῶ τί ποιῆσαι. Πέμψαι; ἐνίοτε προσκρούω τῷ Θεῷ, ἀναλίσκων κακῶς τὰ τῶν πτωχῶν. Μὴ πέμψαι; λέγουσί με κακῶς παρὰ τοῖς ἄρχουσι. Τί οὖν κελεύεις;

Ἀπόκρισις

Οἱ πράκτορες ὑπηρέται εἰσὶν ἐξουσιῶν ἀνθρωπίνων, καὶ τὸ πέμψαι αὐτοῖς, σημεῖόν ἐστιν ἀνθρωπίνου φόβου. Ἐὰν οὖν θέλωμεν μὴ φοβεῖσθαι αὐτούς, σταθῶμεν ἐν τῇ ἀληθείᾳ, ἐν φόβῳ Θεοῦ, καὶ ἀκούσωμεν τοῦ Ἀποστόλου λέγοντος· «θέλεις μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς»· καὶ μὴ φροντίσῃς καταλαλιᾶς· φησὶ γάρ, «ἐν τῷ καταλαλεῖσθαι ὑμᾶς, αἰσχυνθήσονται οἱ ἐπηρεάζοντες ὑμῶν τὴν ἐνΧριστῷ ἀγαθὴν ἀναστροφήν»· καὶ πάλιν· «εἰ ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην».

ΩΛΑ΄

Ἐρώτησις

Ἐπηρεαζομένων ἀγρῶν τινων τῆς ἐνορίας ὑπὸ τῶν στρατιωτῶν τοῦ δουκὸς καὶ ἁρπαζομένων αὐτῶν ἐκ τῶν ὅρων τῶν ἁγίων ἐκκλησιῶν, ἐβουλεύσαντο οἱ πρῶτοι τῆς πόλεως μετὰ τοῦ ἐπισκόπου γνωρίσαι τῷ βασιλεῖ, καὶ

31. Δηλαδὴ εἰσπράκτορες τῶν κρατικῶν φόρων.
32. Ρωμ. 13,3. 33. Α΄ Πέτρ. 3,16. 34. Γαλ. 1,10.

ἀλλὰ ὑπόφερέ τα γενναῖα καὶ μὲ πίστη καὶ θὰ δοξασθεῖ μὲ σένα ὁ Θεός· διότι ἡ ὑπομονὴ φέρει τὸν ἄνθρωπο σὲ δοκιμασία, ἐνῶ ἡ δοκιμασία σὲ ἐλπίδα, καὶ ἡ ἐλπίδα δὲν καταντροπιάζει.

Νὰ προσεύχεσαι γιὰ μένα.

830

Ἐρώτηση

Ἐπειδὴ οἱ λεγόμενοι πράκτορες[31] ἔρχονται σ᾽ αὐτὴ τὴν πόλη καὶ προσδοκοῦν πάντοτε δῶρα ἀπὸ τὴν ἐκκλησία, ἀπορῶ τί νὰ κάνω. Νὰ στείλω; Μερικὲς φορὲς προσκρούω στὸν Θεό, σπαταλώντας κακῶς τὰ τῶν φτωχῶν. Νὰ μὴ στείλω; Μὲ κακολογοῦν στοὺς ἄρχοντες. Τί διατάζεις λοιπόν;

Ἀπόκριση

Οἱ πράκτορες εἶναι ὑπηρέτες τῶν ἀνθρώπινων ἐξουσιῶν, καὶ τὸ νὰ στείλεις σ᾽ αὐτοὺς εἶναι δεῖγμα ἀνθρώπινου φόβου. Ἂν λοιπὸν θέλομε νὰ μὴ τοὺς φοβόμαστε, νὰ σταθοῦμε ἀληθινὰ μὲ φόβο Θεοῦ καὶ ν᾽ ἀκούσομε τὸν Ἀπόστολο ποὺ λέγει· «θέλεις νὰ μὴ φοβᾶσαι τὴν ἐξουσία; κάνε τὸ καλό, καὶ θὰ ἔχεις ἔπαινο ἀπὸ αὐτήν»[32]. Καὶ νὰ μὴ φοβηθεῖς τὴν καταλαλιά· διότι λέγει «μὲ τὸ νὰ καταλαλεῖσθε ἐσεῖς, θὰ ντροπιασθοῦν ἐκεῖνοι ποὺ κακολογοῦν τὴν ἐν Χριστῷ ἀγαθὴ ἀναστροφή σας»[33]· καὶ πάλι, «ἂν ἄρεσα στοὺς ἀνθρώπους δὲν θὰ ἤμουν δοῦλος τοῦ Χριστοῦ»[34].

831

Ἐρώτηση

Ἐπειδὴ μερικοὶ ἀγροὶ τῆς ἐνορίας καταστρέφονταν ἀπὸ τοὺς στρατιῶτες τοῦ δούκα καὶ ἁρπάζονταν ἀπὸ τὰ ὅρια τῶν ἁγίων ἐκκλησιῶν, οἱ προϊστάμενοι τῆς πόλεως μὲ τὸν ἐπίσκοπο σκέφθηκαν νὰ τὸ ποῦν στὸν βασιλιά, ἀλλὰ φο-

ἐφοβοῦντο τὸν δοῦκα μὴ βλάψῃ αὐτούς· καὶ ἔπεμψαν ἐρωτῶντες τὸν μέγαν Γέροντα περὶ τούτου.

Ἀπόκρισις

Εἰ ἔχετε τὸν Θεὸν φειδόμενον τῶν πτωχῶν, στῆτε γενναίως ἐν τῷ πράγματι· πάντως γὰρ ὁ φειδόμενος τῶν πτωχῶν, προΐσταται τῶν ἀγωνιζομένων ὑπὲρ αὐτῶν· αὐτὸς γὰρ εἶπεν· «ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε». Βλέπετε μὴ εἰς ὑμᾶς πληρωθῇ, ὅτι «ἀρξάμενοι πνεύματι, νῦν σαρκὶ ἐπιτελεῖσθε». Οὐκ οἴδατε ὅτι ἔργον Θεοῦ ἐστι; καὶ οὐχ ὑμεῖς μόνον ἀγωνίζεσθε ὑπὲρ τοῦ πράγματος, ἀλλὰ καὶ ἄλλοι πολλοὶ συναγωνίζονται ὑμῖν ταῖς εὐχαῖς; Βλέπετε ὅτι, ἐὰν προδῶτε τὸ ἔργον τοῦ Θεοῦ, προδοῦναι ὑμᾶς ἔχει ὁ Θεός.

Περὶ δὲ τῶν ἐξουσιῶν, μηδεὶς ὑμᾶς φοβερίσῃ, ὅτι τῷ βουλήματι τοῦ Θεοῦ οὐδεὶς δύναται ἀντιστῆναι. Πάντοτε μνημονεύετε, τὸ ἕως θανάτου ἀγωνίζεσθαι ὑπὲρ τῆς ἀληθείας.

ὁ Κύριος ἀντιπολεμήσοι ὑπὲρ ὑμῶν.

ΩΛΒ'

Ἐρώτησις

Ἐπειδή, πάτερ, σπουδάζω καθ' ἡμέραν νηστεύειν ἕως ἑσπέρας, εἰπέ μοι ἦ καλόν ἐστι καὶ εἰ ὀφείλω ποιεῖν τι πρὶν προσεύξασθαι.

Ἀπόκρισις

Περὶ τῆς νηστείας ψηλάφησον τὴν καρδίαν, μὴ κλεφθῇ ὑπὸ κενοδοξίας, καὶ ἐὰν μὴ κλεφθῇ, ψηλάφησον τὸ δεύτερον μὴ ποιῇ σε ἀσθενέτερον ἐν τῇ ὀχλήσει τῶν

35. Ματθ. 25,40.
36. Γαλ. 3,3.

βοῦνταν τὸν δούκα, μήπως τοὺς βλάψει· ἔστειλαν λοιπὸν νὰ ἐρωτήσουν τὸν μεγάλο Γέροντα γι' αὐτό.

Ἀπόκριση

Αν ἔχετε τὸν Θεὸ ποὺ περιβάλλει μὲ εὐσπλαγχνία τοὺς φτωχούς, σταθεῖτε γενναῖα στὸ πρᾶγμα, διότι ὁπωσδήποτε αὐτὸς ποὺ περιβάλλει μὲ εὐσπλαγχνία τοὺς φτωχούς, προστατεύει ἐκείνους ποὺ ἀγωνίζονται ὑπὲρ αὐτῶν· διότι αὐτὸς εἶπε· «ἐφ' ὅσον κάνατε κάτι σὲ ἕναν ἀπὸ αὐτοὺς τοὺς ἐλάχιστους, τὸ κάνατε σὲ μένα»[35]. Προσέχετε νὰ μὴ πραγματοποιηθεῖ σὲ σᾶς τό, «ἐνῶ ἀρχίσατε πνευματικά, τώρα τελειώνετε σαρκικά»[36]. Δὲν γνωρίζετε ὅτι εἶναι ἔργο Θεοῦ, καὶ ὅτι δὲν ἀγωνίζεσθε μόνο ἐσεῖς γιὰ τὸ πρᾶγμα, ἀλλὰ καὶ πολλοὶ ἄλλοι συναγωνίζονται μαζί σας μὲ τὶς προσευχές; Προσέχετε, διότι, ἂν προδώσετε τὸ ἔργο τοῦ Θεοῦ, θὰ σᾶς προδώσει ὁ Θεός.

Σχετικὰ μὲ τὶς ἐξουσίες, νὰ μὴ σᾶς φοβερίσει κανένας, διότι κανένας δὲν μπορεῖ ν' ἀντισταθεῖ στὴ θέληση τοῦ Θεοῦ. Πάντοτε νὰ θυμᾶσθε, νὰ ἀγωνίζεσθε ὑπὲρ τῆς ἀλήθειας μέχρι θανάτου.

Εἴθε ὁ Κύριος ν' ἀντιπολεμήσει γιὰ σᾶς.

832

Ἐρώτηση

Ἐπειδή, πάτερ, φροντίζω νὰ νηστεύω κάθε μέρα μέχρι τὸ βράδυ, πές μου ἂν εἶναι καλό, καὶ ἂν πρέπει νὰ κάνω κάτι προτοῦ προσευχηθῶ·

Ἀπόκριση

Σχετικὰ μὲ τὴ νηστεία ἐξέτασε τὴν καρδιά, μὴ τυχὸν κλεφθεῖ ἀπὸ κενοδοξία, καὶ ἂν δὲν κλεφθεῖ, ἐξέτασέ την δεύτερη φορά, μὴ σὲ κάνει ἀσθενέστερο μὲ τὴν

πραγμάτων· ἡ γὰρ ἀσθένεια αὕτη οὐκ ὠφελεῖ. Εἰ δὲ μηδὲ εἰς τοῦτο ἀδικεῖ σε, καλή ἐστιν ἡ νηστεία.

Ἡ δὲ προσευχὴ φῶς ἐστι καὶ ὀφείλει ἕκαστος Χριστιανὸς πρὶν ποιῆσαί τί ποτε προσεύχεσθαι, μάλιστα ὁ ἱερεὺς τοῦ Θεοῦ. Μὴ ἀνθρωπαρεσκήσῃς ὅλως καὶ λαμβάνεις τὴν χάριν τοῦ Θεοῦ· οἱ τοιοῦτοι γὰρ ἀλλότριοι τοῦ Θεοῦ καὶ Πνεῦμα Θεοῦ οὐκ ἔστιν ἐν αὐτοῖς. Ἔχε Πνεῦμα Θεοῦ καὶ διδάσκει σε πάντα ὀρθῶς· ἄνευ γὰρ αὐτοῦ κατορθῶσαί τι οὐ δύνασαι.

Φύλαξον δὲ σεαυτὸν ἀπὸ ταραχῆς καὶ ὀργῆς. Ἐὰν δὲ συμβῇ τινα ταραχθῆναι εἰς σέ, μετὰ ταπεινώσεως καὶ ἀγάπης ἐν συνέσει ἀποκρίθητι αὐτῷ τὰ τῆς ἀληθείας, καὶ καταπραΰνει αὐτὸν ὁ Θεὸς εὐχαῖς ἁγίων. Ἀμήν.

ΩΛΓ'

Ἐρώτησις

Ἐὰν ἀμφιβάλλω περὶ πράγματος, εἰ ὀφείλω αὐτὸ ποιῆσαι ἢ μὴ ποιῆσαι, εἰπέ.

Ἀπόκρισις

Εὰν ἐμπέσῃ σοι πρᾶγμα, τρίτον εὖξαι τῷ Θεῷ περὶ αὐτοῦ, δεόμενος ἵνα μὴ πλανηθῇς· καὶ ἐὰν μείνῃς ἐν τῷ αὐτῷ λογισμῷ, τότε ποίησον τὰ τοῦ λογισμοῦ· ἐκ Θεοῦ γὰρ γίνεταί σοι καὶ οὐκ ἀπὸ σαυτοῦ, ὅταν οὐκ ἔχῃς ἄδειαν ἐρωτῆσαι τοὺς πατέρας.

ΩΛΔ'

Ἐρώτησις

Ὅταν οἱ πατέρες λέγουσί μοί τί ποτε καὶ δοκεῖ ἐναντίον

ἐνόχληση τῶν πραγμάτων· διότι αὐτὴ ἡ ἀσθένεια δὲν ὠφελεῖ. Ἂν ὅμως δὲν σὲ ἀδικεῖ οὔτε σ' αὐτὸ ἡ νηστεία, εἶναι καλή.

Ὅσο γιὰ τὴν προσευχὴ εἶναι φῶς, καὶ ὁ κάθε Χριστιανὸς προτοῦ κάνει ὁτιδήποτε, ὀφείλει νὰ προσεύχεται, κυρίως ὁ ἱερεὺς τοῦ Θεοῦ. Ὁπωσδήποτε νὰ μὴ θελήσεις νὰ φανεῖς ἀρεστὸς στοὺς ἀνθρώπους καὶ θὰ λάβεις τὴ χάρη τοῦ Θεοῦ· διότι οἱ τέτοιοι ἄνθρωποι εἶναι ξένοι τοῦ Θεοῦ, καὶ δὲν ἔχουν Πνεῦμα Θεοῦ. Νὰ ἔχεις Πνεῦμα Θεοῦ καὶ αὐτὸ θὰ σὲ διδάσκει πάντοτε τὰ σωστά, διότι δὲν μπορεῖς νὰ κατορθώσεις κάτι χωρὶς αὐτό.

Φύλαξε τὸν ἑαυτό σου ἀπὸ τὴν ταραχὴ καὶ τὴν ὀργή. Ἂν ὅμως συμβεῖ νὰ ταραχθεῖ κάποιος μὲ σένα, μὲ ταπείνωση, ἀγάπη καὶ σύνεση πές του τὴν ἀλήθεια, καὶ ὁ Θεὸς θὰ τὸν καταπραΰνει μὲ τὶς προσευχὲς τῶν ἁγίων. Γένοιτο.

833

Ἐρώτηση

Ἂν ἀμφιβάλλω γιὰ κάτι, πές μου, πρέπει νὰ τὸ κάνω ἢ νὰ μὴ τὸ κάνω;

Ἀπόκριση

Αν σὲ ἀπαασχολεῖ λογισμὸς γιὰ κάποιο πρᾶγμα, προσευχήσου τρεῖς φορὲς στὸν Θεὸ γι' αὐτό, παρακαλῶντας νὰ μὴ πλανηθεῖς, καὶ ἂν μείνεις στὸν ἴδιο λογισμό, τότε κάνε τὰ τοῦ λογισμοῦ· διότι σοῦ γίνεται ἀπὸ τὸν Θεὸ καὶ ὄχι ἀπὸ τὸν ἑαυτό σου, ὅταν δὲν ἔχεις εὐκαιρία νὰ ἐρωτήσεις τοὺς πατέρες.

834

Ἐρώτηση

Ὅταν οἱ πατέρες μοῦ λένε κάτι καὶ μοῦ φαίνεται ὅτι εἶναι

εἶναι, πολεμοῦμαι ἐκ τῆς ἀπιστίας καὶ ἀεὶ λέγω τῷ λογισμῷ, ὅτι 'οὕτως ἔχει γενέσθαι, ὡς λέγουσιν οἱ πατέρες'. Ἆρα τοῦτο πίστεώς ἐστιν ἢ ἀπιστίας;

Ἀπόκρισις

Τὸ οὕτως ἀποκρίνασθαι τῷ λογισμῷ πίστεώς ἐστιν· ἀλλ' ὅμως πύκτευσον ἵνα, ἐὰν εἴπωσί σοι οἱ πατέρες σου ....καὶ ὅτι ἐκτὸς τοῦ Θεοῦ οὐδὲν λαλοῦσι· χρεία δὲ νήψεως πολλῆς· ὅτι ἄρτι λέγει ὁ Θεὸς λόγον ποιῆσαι καὶ ἔσται πρὸς τὸ προκείμενον, καὶ μετ' ὀλίγον γίνεται μεταβολὴ εἰς τὸ πρᾶγμα, καὶ ἐὰν μὴ ᾖ τις ἐστηριγμένος ἐν τῇ πίστει, σκανδαλίζεται. Οὕτω καὶ ἐπὶ τῶν ἁγίων. Καὶ ἐπειδή τινες, μὴ γινώσκοντες τὴν δύναμιν καὶ τὴν οἰκονομίαν τοῦ Θεοῦ τὴν γινομένην δι' αὐτῶν, ἀεὶ λέγουσι, 'Διατί οὐκ εἶπον οἱ ἅγιοι ὅτι μεταβολὴ γίνεται, ἀλλὰ πρὸς τὸ προκείμενον λαλοῦσιν; Ἐὰν δὲ μετὰ τὴν μεταβολὴν ἐρωτηθῶσιν, ἄλλως λέγουσι, κατὰ τὸν διδάσκαλον αὐτῶν εἰπόντα ἐνεγκεῖν τὴν ὀργὴν κατὰ τοῦ Ἀχαάβ, καὶ μεταβληθέντος αὐτοῦ, μετεβλήθη καὶ ἀπὸ τῆς ὀργῆς αὐτοῦ ὁ Θεός, λέγων «οὐ μὴ ἐπενέγκω τὴν ὀργὴν ἐν ταῖς ἡμέραις αὐτοῦ»'.

Τί οὖν οἱ ἀνόητοι λέγουσι περὶ τοῦ Θεοῦ; ὅτι ἔχει καὶ αὐτὸς ἀγνωσίαν; Πλανῶνται, μὴ γινώσκοντες ὅτι τὰ κρίματα τοῦ Θεοῦ ἄβυσσος πολλὴ καὶ ἀκατάληπτα. Τὰ μυστήρια ταῦτα πιστοῖς ἀνθρώπιος πιστεύονται καὶ οὐ πάντες χωροῦσιν. Ἵνα δὲ μάθῃς, ἀδελφέ, ὅτι οἱ ἀληθινοὶ πατέρες οὐ θλίβονται ὅταν δοκῶσι παρά τισιν εἶναι ψεῦσται, τοῖς μὴ εἰδόσι τὰ μυστήρια τοῦ Θεοῦ· ἐὰν γὰρ μὴ ὠφελῇ αὐτοὺς τοῦτο, οὐδὲ βλάπτει· οὐδὲ γὰρ ἀντιποιοῦνται δόξης κατὰ τὸν Δεσπότην αὐτῶν.

ΩΛΕ'

Ἐρώτησις *τοῦ ἐπισκόπου πρὸς τὸν ἄλλον γέροντα Ἰωάννην.*

Λαμπρότατοι πολιτευόμενοι βούλονται καινοτομῆσαι τὴν

37. Στὸ σημεῖο αὐτὸ λείπει ἀπὸ τὸ χειρόγραφο μία φράση.

ἀντίθετο, πολεμοῦμαι ἀπὸ τὴν ἀπιστία καὶ πάντα λέγω στὸν λογισμό, ὅτι πρέπει νὰ γίνει ἔτσι, ὅπως λένε οἱ πατέρες. Ἄραγε αὐτὸ εἶναι δεῖγμα πίστεως ἢ ἀπιστίας;

Ἀπόκριση

Τὸ νὰ ἀπαντᾶς ἔτσι στὸν λογισμὸ εἶναι δεῖγμα πίστεως· ἀλλ᾽ ὅμως ἀγωνίσου ὥστε, ἂν σοῦ ποῦν οἱ πατέρες σου ....[37] καὶ δὲν λέγουν τίποτε χωρὶς τὸν Θεό. Χρειάζεται πολλὴ νήψη, διότι ὁ Θεὸς γιὰ μιὰ στιγμὴ λέγει λόγο νὰ κάνεις κάτι καὶ εἶναι κατάλληλο γιὰ τὴν περίσταση, καὶ μετὰ ἀπὸ λίγο γίνεται μεταβολὴ στὸ πρᾶγμα, καὶ ἂν κάποιος δὲν εἶναι στηριγμένος στὴν πίστη σκανδαλίζεται. Ἔτσι καὶ στοὺς ἁγίους. Ἐπειδὴ μερικοὶ χωρὶς νὰ γνωρίζουν τὴ δύναμη καὶ τὴν οἰκονομία τοῦ Θεοῦ ποὺ γίνεται δι᾽ αὐτῶν πάντοτε λένε· 'Γιατί οἱ ἅγιοι δὲν εἶπαν ὅτι γίνεται μεταβολή, ἀλλὰ μιλοῦν γιὰ τὴν προκείμενη περίσταση; Ἂν ὅμως ἐρωτηθοῦν μετὰ τὴ μεταβολή, λένε διαφορετικά, σύμφωνα μὲ τὸ διδάσκαλο αὐτῶν ποὺ εἶπε νὰ ἐπιφέρει τὴν ὀργὴ κατὰ τοῦ Ἀχαάβ, καὶ ἐπειδὴ ἄλλαξε αὐτός, μεταβλήθηκε καὶ ὁ Θεὸς ἀπὸ τὴν ὀργή του, λέγοντας, «δὲν θὰ ἐπιφέρω τὴν ὀργὴ κατὰ τὶς ἡμέρες αὐτοῦ».

Τί λένε λοιπὸν οἱ ἀνόητοι γιὰ τὸν Θεό; Ὅτι ἔχει καὶ αὐτὸς ἀγνωσία; Πλανῶνται, μὴ γνωρίζοντας ὅτι τὰ κρίματα τοῦ Θεοῦ εἶναι ἄβυσσος μεγάλη καὶ ἀκατάληπτα. Αὐτὰ τὰ μυστήρια τὰ ἐμπιστεύονται σὲ πιστοὺς ἀνθρώπους καὶ δὲν τὰ χωροῦν ὅλοι. Γιὰ νὰ μάθεις ὅμως, ἀδελφέ, ὅτι οἱ ἀληθινοὶ πατέρες δὲν θλίβονται ὅταν θεωροῦνται ἀπὸ μερικοὺς ψεῦτες, ἀπὸ ἐκείνους ποὺ δὲν γνωρίζουν τὰ μυστήρια τοῦ Θεοῦ, ἂν αὐτὸ δὲν τοὺς ὠφελεῖ οὔτε τοὺς βλάπτει· διότι δὲν διεκδικοῦν τὴ δόξα, ὅπως καὶ ὁ δεσπότης τους.

835

Ἐρώτηση τοῦ ἐπισκόπου πρὸς τὸν ἄλλο γέροντα Ἰωάννη.

Ἐκλαμπρότατοι πολιτευόμενοι θέλουν κατὰ τὴν ἀρχιερα-

ἐκκλησίαν ἐπὶ ἐμοῦ καὶ ἀπαιτῆσαι τέλος τοῦ καταφερομένου οἴνου εἰς τοὺς αὐτῆς ὅρμους, καὶ συμβουλεύουσί τινες ἡμῖν ἐκλαβεῖν ὅλον τὸ τέλος, διαβεβαιούμενοι κέρδος αὐτὸ ἔχειν πολύ. Κελεύεις οὖν ἐκλάβωμεν;

Ἀπόκρισις

Οὐ πρέπει τῇ ἐκκλησίᾳ ἐκλαβεῖν τέλη· κοσμικῶν γάρ ἐστι τοῦτο τὸ πρᾶγμα. Εἰπὲ δὲ αὐτοῖς· 'Εἰ Χριστιανοί ἐσμεν ἄνθρωποι, οὐ χρείαν ἔχομεν ἀκοῦσαι παρὰ ἀνθρώπων, ἀλλὰ αὐτῷ τῷ Σωτῆρι ἐξακολουθῆσαι τῷ λέγοντι «καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς». Βλέπετε ὅτι τὰ τῆς Ἐκκλησίας ἀφιερωμένα εἰσὶ τῷ Θεῷ, καὶ οὐ συμφέρει ὑμῖν τι ἐξ αὐτῶν μειῶσαι· οὐαὶ γὰρ τῷ βλάπτοντι αὐτὴν ἔν τινι.

ΩΛS'

Ἐρώτησις

Φιλόχριστος ἠρώτησε τὸν αὐτὸν γέροντα.

Καλόν ἐστιν ἵνα ὑποβάλλω τῷ κυρῷ τῷ ἐπισκόπῳ εἴ τι νομίζω συμφέρειν αὐτῷ;

Ἀπόκρισις

Ἔχε τὴν καρδίαν σου ἐνώπιον τοῦ Θεοῦ καθαράν, καὶ οὐ βλάπτει σε τοῦτο, τὸ δὲ ἔχειν τὴν καρδίαν σου καθαράν, τὸ μὴ λέγειν τίποτε κατά τινος, ὡς ποιῶν αὐτῷ ἀνταπόδομα, ἀλλὰ δι' αὐτὸ τὸ ἀγαθόν. Μὴ νομίσῃς οὖν τοῦτο εἶναι καταλαλιάν· πᾶν πρᾶγμα γινόμενον πρὸς διόρθωσιν οὐκ ἔστι καταλαλιά· ἐκ τούτου γὰρ οὐδὲν ἀγαθὸν ἀποβαίνει, ὧδε δὲ πρόκειται προβῆναι τὸ ἀγαθόν, καὶ διὰ τοῦτο οὐκ ἔστι καταλαλιά.

---

38. Λουκᾶ 6,31.

τία μου νὰ καινοτομήσουν στὴν ἐκκλησία καὶ νὰ ἀπαιτήσουν τὸν φόρο τοῦ μεταφερομένου οἴνου στὰ λιμάνια της· καὶ μερικοὶ μᾶς συμβουλεύουν νὰ πάρομε ὅλο τὸ φόρο, διαβεβαιώνοντας ὅτι αὐτὸ ἔχει πολὺ κέρδος. Διατάζεις λοιπὸν νὰ τὸν πάρομε;

Ἀπόκριση

Δὲν ἁρμόζει στὴν ἐκκλησία νὰ πάρει φόρους· διότι αὐτὸ τὸ πρᾶγμα εἶναι τῶν κοσμικῶν. Πὲς σ' αὐτούς, ἂν εἴμαστε ἄνθρωποι Χριστιανοί, δὲν ἔχομε ἀνάγκη ν' ἀκούσομε ἀπὸ τοὺς ἀνθρώπους, ἀλλὰ ν' ἀκολουθήσομε τὸν ἴδιο τὸν Σωτήρα ποὺ λέγει, «ἐκεῖνο ποὺ θέλετε νὰ κάνουν σὲ σᾶς οἱ ἄνθρωποι, αὐτὸ νὰ κάνετε καὶ σεῖς σ' αὐτούς»[38]. Προσέχετε, διότι τὰ τῆς ἐκκλησίας εἶναι ἀφιερωμένα στὸν Θεό, καὶ δὲν σᾶς συμφέρει νὰ μειώσετε κάτι ἀπὸ αὐτά· διότι ἀλλοίμονο σ' ἐκεῖνον ποὺ τὴν βλάπτει σὲ κάτι.

836

Ἐρώτηση

Φιλόχριστος ἐρώτησε τὸν ἴδιο γέροντα.

Εἶναι καλὸ νὰ λέγω κάτι στὸν κύριο τὸν ἐπίσκοπο, ἐὰν νομίζω ὅτι τὸν συμφέρει;

Ἀπόκριση

Ἔχε τὴν καρδιά σου καθαρὴ ἐνώπιον τοῦ Κυρίου καὶ αὐτὸ δὲν σὲ βλάπτει. Τὸ νὰ ἔχεις καθαρὴ τὴν καρδιά σου σημαίνει νὰ μὴ λὲς τίποτα ἐναντίον κάποιου, σὰν νὰ κάνεις ἀνταπόδοση σ' αὐτόν, ἀλλὰ γιὰ τὸ ἴδιο τὸ καλό. Μὴ νομίσεις λοιπὸν ὅτι αὐτὸ εἶναι καταλαλιά· διότι κάθε πρᾶγμα ποὺ γίνεται γιὰ διόρθωση, δὲν εἶναι καταλαλιά· ἀπὸ αὐτὴν δὲν ἀποβαίνει κανένα καλό, ἐνῶ ἐδῶ πρόκειται ν' ἀποβεῖ τὸ καλό, καὶ γι' αὐτὸ δὲν εἶναι καταλαλιά.

ΩΛΖ'

Ἀπόκρισις *τοῦ μεγάλου Γέροντος Βαρσανουφίου πρὸς πατέρας τοῦ κοινοβίου.*

Ἀπόκρισις

Εμμανουὴλ' ἑρμηνεύεται, 'μεθ' ἡμῶν ὁ Θεός'. Ψηλαφήσωμεν οὖν ἡμᾶς αὐτούς, εἰ ἀληθῶς ἐστι μεθ' ἡμῶν ὁ Θεός· εἰ γὰρ ἐμακρύνθημεν ἀπὸ τῶν κακῶν καὶ ξένοι τῷ τεχνίτῃ αὐτῶν διαβόλῳ γεγόναμεν, ἀληθῶς μεθ' ἡμῶν ὁ Θεός· καὶ εἰ ἐπικράνθη ἡμῖν ἡ τῶν κακῶν ἡδονὴ καὶ ἡδύνθη ἡ τῶν ἀγαθῶν πράξεων ἐπιθυμία καὶ τὸ πάντοτε ἔχειν ἐν οὐρανοῖς τὸ πολίτευμα, ἀληθῶς μεθ' ἡμῶν ὁ Θεός· εἰ πάντας ἀνθρώπους βλέπομεν ἓν καὶ ὅλας τὰς ἡμέρας ἴσας, ἀληθῶς μεθ' ἡμῶν ὁ Θεός. Εἰ ἀγαπῶμεν τοὺς μισοῦντας ἡμᾶς καὶ ὀνειδίζοντας καὶ ὑβρίζοντας καὶ καταφρονοῦντας καὶ ζημιοῦντας καὶ θλίβοντας ὡς τοὺς ἀγαπῶντας ἡμᾶς καὶ ἐπαινοῦντας καὶ κερδοποιοῦντας καὶ ἀναπαύοντας, ἀληθῶς μεθ' ἡμῶν ὁ Θεός. Τὸ δὲ σημεῖον τοῦ φθάσαντος εἰς τὸ μέτρον τοῦτο, ἐστὶ τὸ ἔχειν μεθ' ἑαυτοῦ πάντοτε τὸν Θεόν· πάντοτε γάρ ἐστι μετ' αὐτοῦ ὁ Θεός. Τὸν δὲ μὴ οὕτως ἔχοντα μηδὲ μεθ' ἑαυτοῦ ἔχοντα τὸν Θεόν, ἀνάγκη τὰ τοῦ ἐναντίου ἔχειν, καὶ τὸ ἑξῆς νενόηται τοῖς νοῦν ἔχουσι.

ΩΛΗ'

Ἐρώτησις

Ὁ ἄλλος γέρων ἠρωτήθη ταῦτα καὶ ἀπεκρίθη.

Ἀπόκρισις

Πρόσεχε σεαυτῷ· οὔτε γὰρ δούξ, οὔτε βασιλεὺς λυτροῦται ἐν ἡμέρᾳ κρισίου. Μὴ οὖν χαυνώσῃς τὸ πρᾶγμα, ἵνα σχῇς παρρησίαν εὑρεῖν ἔλεος ἐνώπιον τοῦ Θεοῦ· καὶ μὴ φοβηθῇς· οὐχ ὑμεῖς γὰρ βαστάζετε τὸ πρᾶγμα τοῦτο, ἀλλ' ὁ Θεὸς καὶ ὁ γέρων. Ἐὰν οὖν ποιήσητε τὴν δύναμιν ὑμῶν, κοινωνοί ἐστε τοῦ μισθοῦ· ἐὰν δὲ μή, ὑμεῖς βαστάζετε τὸ κρῖμα.

Εὖξαι ὑπὲρ ἐμοῦ.

837

Ἀπόκριση τοῦ μεγάλου Γέροντα Βαρσανουφίου πρὸς τοὺς πατέρες τοῦ κοινοβίου

Η λέξη "Ἐμμανουὴλ' ἑρμηνεύεται, 'ὁ Θεὸς εἶναι μαζί μας'. Ἂς ἐρευνήσομε λοιπὸν τοὺς ἑαυτούς μας, ἂν ἀληθινὰ ὁ Θεὸς εἶναι μαζί μας. Ἂν δηλαδὴ ἀπομακρυνθήκαμε ἀπὸ τὰ κακὰ καὶ ἔχομε γίνει ξένοι στὸν τεχνίτη αὐτῶν διάβολο, πραγματικὰ ὁ Θεὸς εἶναι μαζί μας· ἂν ἐπίσης πικράθηκε σὲ μᾶς ἡ ἡδονὴ τῶν κακῶν καὶ ἔχομε πάντοτε τὸ πολίτευμα στοὺς οὐρανούς, πραγματικὰ ὁ Θεὸς εἶναι μαζί μας· ἂν βλέπομε ὅλους τοὺς ἀνθρώπους σὰν ἕναν, καὶ ὅλες τὶς ἡμέρες ἴσες, πραγματικὰ ὁ Θεὸς εἶναι μαζί μας. Ἂν ἀγαπᾶμε ἐκείνους ποὺ μᾶς μισοῦν, μᾶς κακολογοῦν, μᾶς βρίζουν, μᾶς περιφρονοῦν, μᾶς ζημιώνουν καὶ μᾶς θλίβουν ὅπως ἐκείνους ποὺ μᾶς ἀγαποῦν, μᾶς ἐπαινοῦν, μᾶς ὠφελοῦν καὶ μᾶς ἀναπαύουν, πραγματικὰ ὁ Θεὸς εἶναι μαζί μας. Τὸ γνώρισμα ἐκείνου ποὺ ἔφθασε σ' αὐτὸ τὸ μέτρο εἶναι νὰ ἔχει πάντοτε μαζί του τὸν Θεό· διότι ὁ Θεὸς εἶναι πάντοτε μαζί του. Ὅποιος δὲν διάκειται ἔτσι, οὔτε ἔχει τὸν Θεὸ μαζί του, κατ' ἀνάγκη ἔχει τὰ τοῦ ἐναντίου, καὶ ἡ συνέχεια αὐτῶν μπορεῖ νὰ κατανοηθεῖ ἀπὸ αὐτοὺς ποὺ ἔχουν νοῦ.

838

Ὁ ἄλλος γέροντας ἐρωτήθηκε αὐτὰ καὶ ἀποκρίθηκε.

Ἀπόκριση

Πρόσεχε τὸν ἑαυτό σου· διότι οὔτε ὁ δούκας οὔτε ὁ βασιλιὰς θὰ λυτρωθοῦν κατὰ τὴν ἡμέρα τῆς κρίσεως. Μὴ λοιπὸν χαυνώσεις τὴν προσπάθεια, γιὰ νὰ ἔχεις παρρησία νὰ βρεῖς ἔλεος ἐνώπιον τοῦ Θεοῦ· καὶ μὴ φοβηθεῖς, διότι δὲν βαστάζετε ἐσεῖς αὐτὴν τὴν προσπάθεια, ἀλλ' ὁ Θεὸς καὶ ὁ γέροντας. Ἂν λοιπὸν κάνετε ὅ,τι ἐξαρτᾶται ἀπὸ σᾶς, θὰ εἶστε κοινωνοὶ τοῦ μισθοῦ· ἂν ὅμως ὄχι, ἐσεῖς βαστάζετε τὸ κρῖμα.

Προσευχήσου γιὰ μένα.

ΩΛΘ'

Ἡ Ἐρώτησις λείπει.

Ἀπόκρισις

Γράψον αὐτῷ ταῦτα· Χαρὰ ἡμῖν οὐ μικρὰ καὶ πᾶσι τοῖς φοβουμένοις τὸν Θεὸν ἐγένετο, ἐπὶ τῇ εἰσόδῳ ὑμῶν ἐν τῇ τοῦ Χριστοῦ πίστει, μείζων δὲ ταύτης γίνεται, ὅταν βλέπωμεν τοὺς πνευματικοὺς καρποὺς ἐν ὑμῖν θάλλοντας. Καὶ γὰρ ὡς ἀληθῶς χαρὰ ἡμῖν ἐστιν, ἵνα εἰς ὑμᾶς πληρωθῇ ὁ εὐαγγελικὸς λόγος «οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς», Ὡς ἐπίσταται ἡ μεγαλοπρέπεια ὑμῶν, τὰ νεόφυτα πολλοὺς καὶ ὡραίους καρποὺς φέρει· ἐπειδὴ οὖν νεόφυτοί ἐστε, δείξατε πᾶσιν εἰς οἰκοδομὴν τοὺς πολλοὺς καὶ ὡραίους καὶ πνευματικοὺς καρποὺς ὑμῶν εἰς δόξαν τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος καὶ εἰς ἔπαινον ὑμέτερον παρὰ τοῖς φιλοχρίστοις βασιλεῦσι, παρ' ὧν ἠξιώθητε ταύτης τῆς μεγάλης τοῦ φωτίσματος δωρεᾶς.

Ποῖοι δέ εἰσιν οἱ πνευματικοὶ καρποὶ ἢ τὸ ἀγωνίσασθαι περὶ τῆς πίστεως τοῦ Χριστοῦ καὶ στῆσαι τὸν Χριστιανισμόν; Εἰ γὰρ καὶ τὰ μάλιστα διὰ τοῦ Χριστοῦ στήκει, ἀλλὰ θέλει ὁ Θεὸς δοκιμάσαι τὰς προαιρέσεις τῶν ἀνθρώπων, εἰς ἐπίδειξιν πάντως ποῦ ῥέπουσι· καὶ γὰρ λυθῆναι αὐτὴν οὐ δυνατόν· ἐπαγγελία γὰρ Θεοῦ ἐστιν ὅτι «ἐπὶ ταύτῃ τῇ Πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς».

Ἔδει οὖν τὸ ἀγαθὸν ἐλθεῖν, μακάριος δὲ δι' οὗ ἔρχεται. Ἁρπάζετε οὖν, φιλόχριστοι, τὸν τοιοῦτον μακαρισμόν. Τοῦτο δὲ γινώσκειν θέλω τὴν ὑμῶν ἐνδοξότητα, ὅτι, εἰ ἦν Ἕλλην ὁ ἐγχειρισθεὶς τὴν ἀρχὴν καὶ ὑπεναντίος τῆς πίστεως καὶ ἔπραξέ τί ποτε, οὐδὲν ἄλλο εἴχομεν ποιῆσαι, ἢ κλεῖσαι τὰς ἐκκλησίας ἕως οὗ ἀνοιγῶσιν ὑπὸ τῶν φιλοχρίστων βασιλέων.

---

39. Ματθ. 5,16.

839

Ἡ Ἐρώτηση λείπει

Γράψε του αὐτά. Μεγάλη χαρὰ ἦρθε σὲ μᾶς καὶ σὲ ὅλους ὅσοι φοβοῦνται τὸν Θεό, μὲ τὴν εἴσοδό σας στὴν πίστη τοῦ Χριστοῦ, καὶ γίνεται μεγαλύτερη ἀπὸ αὐτήν, ὅταν βλέπομε τοὺς πνευματικοὺς καρποὺς ν' ἀνθίζουν ἀνάμεσά σας. Πράγματι εἶναι μεγάλη ἡ χαρά μας, ἂν πραγματοποιηθεῖ σὲ σᾶς ὁ εὐαγγελικὸς λόγος, «ἔτσι νὰ λάμψει τὸ φῶς σας μπροστὰ στοὺς ἀνθρώπους, γιὰ νὰ δοῦν τὰ καλὰ ἔργα σας καὶ νὰ δοξάσουν τὸν Πατέρα σας ποὺ βρίσκεται στοὺς οὐρανούς»[39]. Ὅπως γνωρίζει ἡ μεγαλοπρέπειά σας, τὰ νεόφυτα παράγουν πολλοὺς καὶ ὡραίους καρπούς. Ἐπειδὴ λοιπὸν εἶστε νεόφυτοι, δεῖξτε σὲ ὅλους πρὸς οἰκοδομὴ τοὺς πολλοὺς καὶ ὡραίους καὶ πνευματικοὺς καρπούς σας, πρὸς δόξα τῆς ἁγίας καὶ ὁμοούσιας Τριάδας καὶ γιὰ δικό σας ἔπαινο ἀπὸ τοὺς φιλόχριστους βασιλεῖς, ἀπὸ τοὺς ὁποίους ἀξιωθήκατε αὐτὴ τὴ μεγάλη δωρεὰ τοῦ φωτίσματος.

Καὶ ποιοί εἶναι οἱ πνευματικοὶ καρποί, παρὰ τὸ νὰ ἀγωνισθεῖτε γιὰ τὴν πίστη τοῦ Χριστοῦ καὶ νὰ στηρίξετε τὸν Χριστιανισμό; Διότι, ἂν καὶ κυρίως στέκεται διὰ τοῦ Χριστοῦ, ἀλλ' ὁ Θεὸς θέλει νὰ δοκιμάσει τὶς προαιρέσεις τῶν ἀνθρώπων, γιὰ νὰ φανεῖ ὁπωσδήποτε ποῦ ρέπουν. Εἶναι ὑπόσχεση τοῦ Θεοῦ καὶ δὲν εἶναι δυνατὸ νὰ παύσει νὰ ἰσχύει αὐτή, ὅτι δηλαδὴ «πάνω σ' αὐτὴν τὴν πέτρα θὰ οἰκοδομήσω τὴν Ἐκκλησία μου καὶ οἱ πύλες τοῦ ἅδη δὲν θὰ ὑπερισχύσουν αὐτῆς»[40].

Ἔπρεπε λοιπὸν νὰ ἔρθει τὸ ἀγαθό, καὶ μακάριος εἶναι ἐκεῖνος διὰ τοῦ ὁποίου ἔρχεται. Ἁρπάζετε λοιπόν, φιλόχριστοι, αὐτὸν τὸν μακαρισμό. Αὐτὸ θέλω νὰ γνωρίζει ἡ ἐνδοξότητά σας, ὅτι, ἂν ἦταν Ἕλληνας αὐτὸς ποὺ ἀνέλαβε τὴν ἀρχὴ καὶ ἐχθρὸς τῆς πίστεως καὶ ἔκανε κάτι, δὲν θὰ μπορούσαμε νὰ κάνομε τίποτε ἄλλο, παρὰ νὰ κλείσομε τὶς ἐκκλησίες μέχρι ποὺ ν' ἀνοιχθοῦν ἀπὸ τοὺς φιλόχριστους βασιλεῖς.

---

40. Ματθ. 16,18.

ΩΜ'

Ἐρώτησις

Ἐπειδὴ ἔχει ἡ Ἐκκλησία τύπους, ἵνα μὴ ἐξάγητε ὀψὲ θεώρια μηδὲ ἐν ταῖς ἑλληνικαῖς ἑορταῖς, καὶ θέλει ὁ ἄρχων ταῦτα παρατρῶσαι, πῶς κελεύεις γράψωμεν αὐτῷ;

Ἀπόκρισις

Γράψον αὐτῷ οὕτω. 'Διάκονος εἶ τοῦ Θεοῦ κατὰ τὸν Ἀπόστολον καὶ ἐνετάλθης φυλάξαι τὰς ἐντολὰς αὐτοῦ, καθὼς κἀγὼ ἐνετάλθην. Πρέπει οὖν ἡμῖν φυλάξαι τὰ προνόμια τῆς Ἐκκλησίαςα εἰς δόξαν Θεοῦ καὶ ἔπαινον ἡμέτερον. Ἀγαπῶν οὖν ὑμᾶς ὡς ἡμετέρους φίλους ὑπέμνησα ὑμᾶς· οὐκ ἔστι γὰρ δίκαιον Χριστιανοῖς ἀνθρώποις καὶ τοῖς καθ' ὑμᾶς φιλοχρίστοις, προτιμῆσαι τέρψιν ἀνθρώπων εἰς βλάβην ψυχῶν τῆς τοῦ Θεοῦ θεραπείας'.

ΩΜΑ'

Ἐρώτησις

Ἐπειδὴ ἀνήρ τις μέγας καὶ δυνατὸς πολίτης ἡμῶν, ἐν Κωνσταντινουπόλει διάγων, πάνυ ἀγωνίζεται εἰς τὸ ἀχθῆναι ταῦτα τὰ θεώρια, τί κελεύεις γράψω αὐτῷ; Κἂν θελήσῃ ἡμῖν ἐπιβουλεῦσαι, εὖξαι ἵνα μὴ ἰσχύσῃ.

Ἀπόκρισις

Γράψον αὐτῷ οὕτω· Τέκνον, ὅλη ἡ εὐχὴ ἡμῶν ἐστιν, ἵνα πλεονάσῃ ὁ Θεὸς τὴν πίστιν τῶν Χριστιανῶν κατὰ φόβον αὐτοῦ, καὶ ἵνα ὑψώσῃ τὸ κέρας τῆς Ἐκκλησίας αὐτοῦ· αὐτός ἐστιν ἡ ἐλπὶς τῆς σωτηρίας ἡμῶν. Καὶ μάθε ἐν

840

Ἐρώτηση

Ἐπειδὴ ἡ Ἐκκλησία ἔχει κανόνες νὰ μὴ πηγαίνουν οἱ πιστοὶ τὸ βράδυ στὰ θέατρα οὔτε στὶς εἰδωλολατρικὲς γιορτές, καὶ ὁ ἄρχοντας θέλει νὰ τοὺς ἀθετήσει, πῶς διατάζεις νὰ τοῦ γράψομε;

Ἀπόκριση

Γράψε του ὡς ἑξῆς. Εἶσαι διάκονος τοῦ Θεοῦ σύμφωνα μὲ τὸν Ἀπόστολο καὶ σοῦ δόθηκε ἐντολὴ νὰ φυλάξεις τὶς ἐντολές του, ὅπως καὶ ἐγὼ διατάχθηκα. Πρέπει λοιπὸν νὰ φυλάξομε τὰ προνόμια τῆς Ἐκκλησίας πρὸς δόξα τοῦ Θεοῦ καὶ δικό μας ἔπαινο. Σᾶς ὑπενθύμισα, ἐπειδὴ σᾶς ἀγαπῶ σὰν δικό μας φίλο· διότι δὲν εἶναι δίκαιο Χριστιανοὶ ἄνθρωποι καὶ φιλόχριστοι, ὅπως ἐσεῖς, νὰ προτιμήσουν τὴν ἐπιβλαβὴ στὶς ψυχὲς εὐχαρίστηση τῶν ἀνθρώπων ἀντὶ τῆς λατρείας τοῦ Θεοῦ.

841

Ἐρώτηση

Ἐπειδὴ κάποιος μεγάλος καὶ δυνατὸς ἄνθρωπος, συμπολίτης μας ποὺ ζεῖ στὴν Κωνσταντινούπολη, ἀγωνίζεται πολὺ νὰ φέρει αὐτὰ τὰ θέατρα, τί διατάζεις νὰ τοῦ γράψω; Καὶ ἂν θελήσει νὰ μᾶς ἐπιβουλευθεῖ, προσευχήσου γιὰ νὰ μὴ μπορέσει νὰ τὸ κάνει.

Ἀπόκριση

Γράψε του αὐτά. Τέκνο μου, ὅλη ἡ προσευχή μας εἶναι γιὰ νὰ μεγαλώσει ὁ Θεὸς τὴν πίστη τῶν Χριστιανῶν σύμφωνα μὲ τὸν φόβο του καὶ νὰ ὑψώσει τὸ κέρας τῆς Ἐκκλησίας του· αὐτὸς εἶναι ἡ ἐλπίδα τῆς σωτηρίας μας. Μάθε

καιρῷ τῆς ἀνάγκης, πόθεν ἔχομεν τὴν βοήθειαν, εἰμὴ ἀπὸ τῆς Ἐκκλησίας καὶ τῶν εὐχῶν τῶν ἁγίων, καὶ ὁ κλίνων πρὸς ταῦτα, εὑρίσκει αὐτὰ ἐν καιρῷ ἐπιτηδείῳ. Τὰ δὲ θέατρα ἐργαστήριά εἰσι τοῦ διαβόλου, καὶ ὁ σπουδάζων στῆσαι αὐτὰ πίπτει ἀπὸ τῆς ἀγέλης τοῦ Χριστοῦ καὶ γίνεται μέρος τοῦ διαβόλου. Οἴδαμεν δέ, ὅτι ὑμεῖς τέκνα ἐστὲ τῆς Ἐκκλησίας τοῦ Χριστοῦ καὶ πάντοτε σπουδάζετε τὰ ἀρεστὰ αὐτῷ ποιεῖν· διδασκαλίας γὰρ οὐ δεῖσθε, ἀλλ' ὑπομνήσεως, μὴ ἐπικοινωνεῖν τοῖς τρέχουσι στῆσαι τὰ θέατρα τοῦ διαβόλου. Ἐν καιρῷ γὰρ ἀνάγκης οὐδὲν δύναται ὠφελῆσαι, εἰ μὴ μόνον καταποντίσαι τοὺς τρέχοντας πρὸς αὐτά· εἴ τις δὲ ἔχει τὴν καρδίαν πρὸς τὸν Θεὸν καὶ τὰ ἀρέσκοντα αὐτῷ θέλει στῆσαι, ὁ τοιοῦτος μετὰ παρρησίας ἐπικαλεῖται αὐτὸν ἐν ἡμέρᾳ θλίψεως καὶ εἰσακούει αὐτοῦ αὐτός, ὁ παρέχων ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Οἴδατε ὅτι «τὸ σχῆμα τοῦ κόσμου τούτου παράγει», ἡ δὲ πίστις τοῦ Θεοῦ μένει εἰς τὸν αἰῶνα.

Ταῦτα γράψον, καὶ μὴ φοβηθῇς ἐπιβουλὴν ἀνθρώπων, ὑπὲρ τῆς τοῦ Θεοῦ πίστεως ἀγωνιζόμενος καὶ ἔχων αὐτὸν βοηθόν· ὁ γὰρ ἀντιστήκων αὐτῷ, καταποντίζεται ὡς ὁ Φαραὼ ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ, ὁ δὲ ἀδιστάκτως αὐτῷ πιστεύων, ἕστηκεν ἐπὶ τὴν στερεὰν Πέτραν ἀσάλευτος.

Τέλος τῶν Ἀποκρίσεων

Τῶν ἁγίων πατέρων Βαρσανουφίου καὶ Ἰωάννου, τῷ δὲ ἐν Τριάδι προσκυνουμένῳ Θεῷ δόξα. Ἀμήν.

---

41. Α' Κορ. 7,31.

ἐπίσης ἀπὸ ποῦ ἀλλοῦ ἔχομε τὴ βοήθεια κατὰ τὸν καιρὸ τῆς ἀνάγκης, ἂν ὄχι ἀπὸ τὴν Ἐκκλησία καὶ ἀπὸ τὶς προσευχὲς τῶν ἁγίων, καὶ ἐκεῖνος ποὺ κλίνει σ' αὐτά, τὰ βρίσκει στὸν κατάλληλο καιρό. Τὰ θέατρα ὅμως εἶναι ἐργαστήρια τοῦ διαβόλου, καὶ αὐτὸς ποὺ φροντίζει νὰ τὰ στήσει πέφτει ἀπὸ τὴν ἀγέλη τοῦ Χριστοῦ καὶ γίνεται ὀπαδὸς τοῦ διαβόλου. Γνωρίζομε ὅμως, ὅτι ἐσεῖς εἶσθε τέκνα τῆς Ἐκκλησίας τοῦ Χριστοῦ καὶ πάντα φροντίζετε νὰ κάνετε ἐκεῖνα ποὺ εἶναι ἀρεστὰ σ' αὐτόν· δὲν χρειάζεσθε λοιπὸν διδασκαλία, ἀλλὰ ὑπενθύμηση, νὰ μὴ ἐπικοινωνεῖτε μ' αὐτοὺς ποὺ τρέχουν νὰ στήσουν τὰ θέατρα τοῦ διαβόλου. Διότι σὲ καιρὸ ἀνάγκης τίποτε δὲν μπορεῖ νὰ ὠφελήσει, παρὰ μόνο νὰ καταποντίσει αὐτοὺς ποὺ τρέχουν σ' αὐτά. Ἂν ὅμως κάποιος ἔχει τὴν καρδιὰ πρὸς τὸν Θεὸ καὶ θέλει νὰ στήσει αὐτὰ ποὺ τοῦ ἀρέσουν, τέτοιος ἄνθρωπος μὲ παρρησία τὸν ἐπικαλεῖται κατὰ τὴν ἡμέρα τῆς θλίψεως καὶ τὸν εἰσακούει αὐτός, ὁ ὁποῖος παρέχει στὸν καθένα σύμφωνα μὲ τὰ ἔργα του. Γνωρίζετε ὅτι παρέρχεται τὸ σχῆμα αὐτοῦ τοῦ κόσμου»[41], ἐνῶ ἡ πίστη τοῦ Θεοῦ μένει στὸν αἰώνα.

Γράψε αὐτὰ καὶ μὴ φοβηθεῖς τὴν ἐπιβουλὴ τῶν ἀνθρώπων, ἀγωνιζόμενος ὑπὲρ τῆς πίστεως τοῦ Θεοῦ καὶ ἔχοντας αὐτὸν βοηθόν· διότι αὐτὸς ποὺ ἀντιστέκεται σ' Ἐκεῖνον καταποντίζεται ὅπως ὁ Φαραὼ μέσα στὴν Ἐρυθρὰ θάλασσα, ἐνῶ ἐκεῖνος ποὺ πιστεύει ἀδίστακτα σ' Αὐτόν, στέκεται ἀσάλευτος πάνω στὴ στερεὴ πέτρα.

Τέλος τῶν Ἀποκρίσεων

Τῶν ἁγίων πατέρων Βαρσανουφίου καὶ Ἰωάννου καὶ δόξα στὸν ἐν Τριάδι προσκυνούμενον Θεό. Γένοιτο.

ΕΥΡΕΤΗΡΙΑ

Οἱ ἀριθμοὶ παραπέμπουν κατὰ σειρὰ γιὰ τὰ χωρία τῆς Γραφῆς στὸ κεφάλαιο, τὸ στίχο καὶ τὴ σελίδα ποὺ βρίσκονται, ἐνῶ γιὰ τὰ ὀνόματα καὶ πράγματα ἁπλῶς στὴ σελίδα ποὺ βρίσκονται.

1. Εὑρετήριο χωρίων τῆς Γραφῆς

2. Εὑρετήριο ὀνομάτων καὶ πραγμάτων

Α

Β

K

Λ

M

N

O

Τ

Υ

Φ

Χ

Ψ

Ω

ΠΕΡΙΕΧΟΜΕΝΑ